88 In MS. cod. Medic. legitur; οὐ δὴ οἷόν τε, omisso δὴ, *sane*: alii οὐδ' εἰ οἷόν τε. Particula εἰ Gunzio abundare videtur, & nata probabiliter ex sequente οἷόν τε, cui adscribimus.

89 καταβρωθεῖσα pro βρωθεῖσα scribunt Asulana exemplaria. Paulo post ἔχοντα ἰδίως Fevr.

90 ἀλλ' εἰ καταμάθοι Imp. Sambuci. Præterea in Imp. Sambuci παρὰ τὸ ἔθος delentur, quod probat Gunzius.

καὶ ὄγκον, καὶ φῦσαν, καὶ στρόφον τῇ κοιλίῃ παρέχει, παρὰ τὸ ἔθος βρωθεῖσα τῷ ἀρτοφαγέειν εἰθισμένῳ· [91] ἢ ὁκοῖον ἄρτος βάρος καὶ τάσιν κοιλίης τῷ μαζοφαγέειν εἰθισμένῳ· ἢ αὐτός γε ὁ ἄρτος θερμὸς βρωθεὶς οἵην δίψην παρέχει καὶ ἐξαπιναίην πληθώρην, διὰ τὸ ξηραντικόν τε καὶ [92] βραδύπορον. 21 Καὶ οἱ ἄγαν καθαροί τε ″ καὶ συγκομιστοὶ παρὰ τὸ ἔθος βρωθέντες, οἷα διαφέροντα ἀλλήλων ποιέουσι· καὶ μᾶζα τε ξηρὴ παρὰ τὸ ἔθος, ἢ ὑγρὴ, ἢ γλισχρή· καὶ τὰ ἄλφιτα οἷόν τι ποιέει τὰ ποταίνια, τοῖσι μὴ εἰωθόσι, καὶ τὰ ἑτεροῖα, τοῖσι τὰ ποταίνια εἰωθόσι· καὶ οἰνοποσίη καὶ ὑδροποσίη παρὰ τὸ ἔθος εἰς θάτερα μεταβληθέντα ἐξαπίνης, καὶ ὑδαρής γε οἶνος καὶ ἄκρητος παρὰ τὸ ἔθος ἐξαπίνης ποθείς. Ὁ μὲν γὰρ πλάδον τε ἐν τῇ ἄνω κοιλίῃ ἐμποιήσει, [93] καὶ φῦσαν ἐν τῇ κάτω· ὁ δὲ παλμόν τε φλεβῶν, καὶ καρηβαρίην, καὶ δίψην. Καὶ λευκός τε καὶ μέλας οἶνος παρὰ τὸ ἔθος μεταβάλλοντι, εἰ καὶ ἄμφω οἰνώδεες εἶεν· ὅμως πολλὰ ἂν ἑτεροιώσειαν κατὰ τὸ σῶμα· ὡς δὴ γλυκύν τε καὶ οἰνώδεα οἶνον, ἧσσον ἄν τις φαίη θαυμαστὸν εἶναι, μὴ τωὐτὸ δύνασθαι ἐξαπίνης μεταβληθέντα. 22 ″ Τιμωρετέον μέντοι τοιόνδε τι μέρος τῷ ἐναντίῳ λόγῳ, ὅτι ἡ μεταβολὴ τῆς διαίτης τουτέοισιν ἐγένετο, οὐ μεταβάλλοντος τοῦ σώματος, οὔτε ἐπὶ τὴν ῥώμην, ὥστε προσθέσθαι δεῖν σιτία, οὔτ᾽ ἐπὶ τὴν ἀῤῥωστίην, ὥστε ἀφαιρεθῆναι. Προσεκμαρτέα δὴ καὶ ἡ ἰσχὺς, 23 ″ καὶ ὁ τρόπος τοῦ νουσήματος [94] ἑκάστου, καὶ τῆς φύσιος τοῦ τε ἀνθρώπου καὶ τοῦ ἔθεος, καὶ τῆς διαίτης τοῦ κάμνοντος, οὐ μόνον σιτίων· ἀλλὰ καὶ ποτῶν.

& turbationem, & tumorem, & flatum, & tormina ventri afferat præter morem comesta ab eo, qui pane vesci solet; aut qualem panis gravitatem & tensionem ventris, mazam edere solito; vel qualem panis ipse calidus devoratus sitim inducat, & repentinam repletionem, tum quod exiccet, tum quod tarde descendat. Et quam diversa inter se efficiant panes purissimi & confusanei, sive cibarii, præter consuetudinem in cibo assumpti; itemque mazá præter morem arida, aut humida, aut viscida; & quale quid polentæ efficiant recentes non assuetis, aliæque iis qui recentibus assueti sunt; & vini, & aquæ potus præter consuetudinem vicissim derepente permutatus; & aquosum vinum, & meracum derepente præter consuetudinem epotum. Illud enim in superiore ventre humiditatem excrementitiam, & in inferiore flatum inducit; hoc vero venarum palpitationem, capitis gravitatem, & sitim. Tum etiam vinum album & nigrum, præter consuetudinem immutanti, etiamsi ambo vinosa fuerint: multa tamen in corpore alterarint; ut proinde minus admiratione dignum esse aliquis dicat, dulce & generosum vinum non eandem efficaciam habere, si ab uno ad alterum repente transitus fit. At adversariorum sententiæ, sic aliqua ex parte favendum est, quod his (ægris) victus mutatio facta sit, corpore neque ad robur, ut cibos adjicere, neque ad infirmitatem, ut cibos demere oporteat, non immutato. Ad hæc autem & virium robur conjectandum est, & morbi cujusque modus, & hominis natura, & consuetudo, & ægri victus, non in cibis solum; verum etiam in potionibus.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Προσεκμαρτέον πρὸς τὸ ἀσφαλῶς τοῖς νοσοῦσι τὴν δίαιταν προγράφειν. Δεῖν δὲ ἐν ἀρχῇ τοῦ νοσήματος τοῖς ῥοφήμασι τρέφειν τοὺς κάμνοντας, καὶ τῆς πτισάνης χυλῷ· καὶ ἐν τῇ νοσήματος ἀκμῇ τῇ λεπτοτάτῃ διαίτῃ χρηστέον.

Πολλῷ δὲ ἧσσον ἐπὶ τὴν πρόσθεσιν ἰτέον· ἐπεὶ τήν γε ἀφαίρεσιν ὅλως ἀφελεῖν πολλαχοῦ λυσιτελέει, ὅκου διαρκέειν μέλλει ὁ κάμνων, μέχρις ἂν τῆς νούσου ἡ ἀκμὴ πεπανθῇ. Ἐν ὁκοίοισι δὲ τὸ

CAPUT III.

Conjectanda ad diætam tuto ægris præscribendam. Oportere autem initio morbi sorbitionibus ægros nutrire, & ptisanæ cremore; inque morbi vigore tenuissima diæta utendum esse.

MUlto autem minus ad additionem procedendum: quandoquidem ipsos detractione omnino subducere sæpenumero conducit, ubi suffecturus est æger, donec morbi vigor mitescat. In quibus autem hoc fa-

Variæ Lectiones.

91 Sic Galen. exempl. paulo post ἢ ὁκοῖον ἄρτος omnia exemplaria; verum in Imp. Sambuci particula ἢ deletur.

92 βραδύτερον scribunt Asulan. exemplaria. Postea συγκομιστοὶ ἄρτοι exponuntur Gal. in Exegesi ῥυπαροὶ διὰ τὸ πάντα ἅμα τὰ ἄλευρα συγκομίζεσθαι, καὶ μὴ διακρίνεσθαι, *sordidi panes, quod omnes simul furina colliguntur, & non secernuntur.* Etsi ubique ξυγκομιστοὶ, scribitur. Galen. ad Glauc. Libr. II. & Athenæus Libr. III. Plura Fœs. voce ἄρτος συγκομιστός. Cæterum βραδύπορον, hoc vocabulum indicat, panis calidi particulas tardius cum subire vasculorum orificia, tum per ea lentius moveri. Gunz.

93 καὶ φῦσαν ἐς τῇ κάτω Imp. Sambuc. & Fevr. ubi ἐς pro ἐν ponitur.

94 Pleraque exemplaria ἑκάστοισι scribunt; nos Servini lectionem amplectimur.

faciendum sit, scribetur. Multa vero etiam alia productis consimilia quis scribere possit. Hoc tamen melius est testimonium. Non enim solum rei, de qua plurimus a me sermo habitus est, cognatum est; sed res ipsa opportunissimum est documentum. Nam quidam per morborum acutorum exordia, nonnunquam quo tum laborare cœperunt die, cibos comederunt: quidam etiam postridie, nonnulli quoque quidvis sine delectu, alii etiam cyceonem sorpserunt. Sane hæc omnia deteriora sunt, quam siquis aliter victum instituerit: sed quæ hoc tempore præter legem fiunt, & peccata committuntur, minus damni adferunt, quam siquis primis quidem duobus, vel tribus diebus omnino vasa exinanierit, mox quarto, aut quinto talem cibum exhibuerit. Deterius etiam tamen est, siquis totis his diebus vasis prævacuatis, posterioribus deinceps diebus ita victum instituerit, priusquam morbus concoctus sit: sic enim aperte plurimis mortem adfert, nisi mitis quidam omnino morbus extiterit. Quæ vero ab initio errata fiunt, his non æque incurabilia sunt, sed multo facilius curantur. Hoc igitur maximum reor esse documentum, quod primi dies hac vel illa sorbitione non sint privandi, in his, qui paulo post his aut illis sorbitionibus usuri sunt. Funditus igitur ignorant, qui hordeacea ptisana utuntur, quod ab ea male habeant, quum duobus, aut tribus, aut etiam pluribus diebus antea exinanitis vasis, sorbere cœperint. Neque etiamnum qui cremore utuntur, quod sorbentes lædantur, intelligunt, ubi non recte sorbitionem inchoaverint: hoc tamen cavent, & agnoscunt magnam adferre læsionem, si æger, priusquam morbus concoctus fuerit, ptisanam hordeaceam sorpserit, cremore uti assuetus. Omnia igitur hæc magna testimonia sunt, quod Medici non recte ægrotantes ad cibos adducant; sed & in quibus morbis vasa exinaniri non oportet, his, qui sorbitionibus uti debent, vasa evacuant; & in quibus ex vasorum inanitione ad sorbitiones transeundum non est, in his transeant;

τοιόνδε ποιητέον, [95] γεγράψεται. Πολλὰ δ᾽ ἄν τις καὶ ἄλλα ἠδελφισμένα τοῖσιν εἰρημένοισι γράφοι. Τό γε μὴν κρέσσον μαρτύριον. [96] Οὐ γὰρ ἠδελφισμένον μόνον ἐστὶ τῷ πρήγματι, περὶ οὗ μοι πλεῖστος λόγος εἴρηται· ἀλλ᾽ αὐτὸ τὸ πρῆγμα, ἐπικαιρότατόν ἐστι διδακτήριον. Οἱ γὰρ ἀρχόμενοι [97] τῶν ὀξέων νουσημάτων ἔστιν ὅτε οἱ μὲν σιτία ἔφαγον αὐθημερὸν, ἠργμένοι ἤδη· οἱ δὲ καὶ τῇ ὑστεραίῃ· οἱ δὲ καὶ ἐῤῥόφεον τὸ προστυχόν· οἱ δὲ καὶ κυκεῶνα ἐῤῥόφεον. Ἅπαντα δὲ ταῦτα κακίω μέν ἐστιν, ἢ εἰ ἑτεροίως τὶς διαιτηθείη, πολλῷ μέντοι ἐλάσσω βλάβην φέρει ἐν τούτῳ τῷ χρόνῳ τὰ [98] ἁμαρτηθέντα, ἢ εἴ τις τὰς μὲν πρώτας ἡμέρας δύο ἢ τρεῖς κενεαγγήσειε τελείως, τεταρταῖος δὲ ὢν, τοιάδε διαιτηθείη, ἢ καὶ πεμπταῖος. Ἔτι μέντοι κάκιον, [99] εἰ ταύτας πάσας τὰς ἡμέρας προκενεαγγήσας, ἐν τῇσιν ὕστερον ἡμέρῃσιν οὕτω διαιτηθείη, πρὶν ἢ πέπειρον γενέσθαι τὴν νοῦσον· οὕτω μὲν γὰρ θάνατον φέρει φανερῶς τοῖσι πλείστοισιν, [100] ἢν μὴ παντάπασί τις εὐήθης ἡ νοῦσος εἴη. Αἱ δὲ κατ᾽ ἀρχὰς ἁμαρτάδες, οὐχ ὁμοίως ταύτῃσιν ἀνήκεστοί εἰσιν, ἀλλὰ πολλῷ εὐακεστότεραι. Τοῦτο οὖν ἡγεῦμαι μέγιστον διδακτήριον, ὅτι οὐ στερητέαι αἱ πρῶται ἡμέραι τοῦ ῥοφήματος ἢ [101] τοίου, ἢ τοίου, τοῖσι μέλλουσιν ὀλίγον ὕστερον ῥοφήμασιν ἢ 24 τοίοις ἢ τοίοις χρέεσθαι. [102] Πυθμενόθεν μὲν οὖν οὐκ ἴσασιν οὐθ᾽ οἱ τῇσι κριθώδεσι πτισσάνῃσι χρεόμενοι, ὅτι αὐτέῃσι κακοῦνται, ὁκόταν ῥοφέειν ἄρξωνται, ἢν προκενεαγγήσωσι, δύο ἢ τρεῖς ἡμέρας ἢ καὶ πλείους. Ὅτ᾽ αὖ οἱ τῷ χυλῷ χρεόμενοι γινώσκουσιν, ὅτι αὐτέοισι βλάπτονται ῥοφέοντες, ὁκόταν μὴ ὀρθῶς ἄρξωνται τοῦ ῥοφήματος· τότε μὴν φυλάσσουσι, καὶ γινώσκουσιν, ὅτι μεγάλην τὴν βλάβην φέρει, ἢν, πρὶν [103] πέπειρον γενέσθαι τὴν νοῦ- 373 σον, κριθώδεα πτισσάνην ῥοφήσῃ ὁ κάμνων, εἰθισμένος χυλῷ χρέεσθαι. Πάντα οὖν ταῦτα μεγάλα μαρτύρια, ὅτι οὐκ ὀρθῶς ἄγουσιν εἰς τὰ διαιτήματα οἱ ἰητροὶ τοὺς κάμνοντας· ἀλλ᾽ ἐν ᾗσί γε νούσοισιν [104] οὐ χρὴ κενεαγγέειν τοὺς μέλλοντας ῥοφήμασι διαιτᾶσθαι, κενεαγγέουσιν· ἐν ᾗσί τε οὐ χρὴ μεταβάλλειν ἐκ κενεαγγείης εἰς ῥοφήματα, ἐν ταύτῃσι μεταβάλλουσι· [illegible] καὶ

VARIÆ LECTIONES.

95 Pro γεγράψεται in MS. cod. Mediceo scribitur γράψεται, quam lectionem secuti sunt Interpretes. Deinde γράφει habet Bourdel. MS. cod. pro γράφοι.

96 οὐ γὰρ ἠδελφισμένον ἐστὶ τῷ πρήγματι cod. Basil. omisso μόνον.

97 Hic quædam exemplaria τῶν ὀξέων νούσων ἔστιν legunt.

98 ἁμαρτηθέντι Linden. habet ex Servino; quod non probamus ex Günzio. ἁμαρτηθέντα MS. cod. Medic. qui postea δύο ἢ τρεῖς, omisso καὶ, scribit.

99 εἰ μέντοι ταύτας ἁπάσας MS. cod. Medic.

100 εἰ μὴ παντάπασιν εὐήθης, sublata particula τὶ MS. cod. Medic.

101 ἢ τόσου ἢ τοίου MS. cod. Med.

102 Πυθμενόθεν exponit Galen. in Exegesi οὐδ᾽ ὅλως, *nullo modo.* γέγονε δὲ παρὰ τὸν πυθμένα τῶν ἀγγείων, ὡς εἰ καὶ ὁλοκλήρως ἔλεγεν, ἢ τελέως, ἢ παντάπασιν, ἢ ἐξ ἀρχῆς, ἢ παντελῶς, *facta autem est vox a vasorum fundo, ut funditus sonet, perinde ac si dixisset integre, perfecte, omnino, ex initio, aut prorsus.* Erotian. in Onomastico hanc dictionem exponens; scribit Bacchium in secundo ἐξ ἀρχῆς dicere; esse autem potius κάτωθεν καὶ οἷον ἐκ βάθους, *ex imo, & velut ex profundo,* dictam autem esse vocem ἀπὸ τοῦ πυθμένος, *a fundo.*

103 Galen. in commentario scribit: εὔδηλον δ᾽ ὅτι πέπειρον ὀνομάζει νόσον, τὴν πεπεμμένην, *quod maturum appellet concoctum, manifestum est.*

104 Duretus particulam οὐ hic sublatam ante κενεαγγέειν posuit; & quidem male, ut apparet, ex sequentibus: ᾗσί τε οὐ χρὴ κ. τ. λ. Imo probant etiam antecedentia. Gunzius. Paulo post ἁμαρτάνουσιν scribunt quædam exemplaria; hancque lectionem veram esse docent, quæ proxime sequuntur. Foesius vero, & ex eo Lindenus, ἀπαρτὶ malunt, quæ lectio in quibusdam MSS. cod. habetur. Imp. Samb. ἐνίοτε δὲ καὶ ἐν τοῖσι τοιούτοισι καιροῖσι scribit, inserta copula καί.

" καὶ ὡς ἐπιτοπολὺ ἁμαρτάνουσιν· ἐνίοτε 25 δὲ ἐν τοῖσι τοιούτοισι καιροῖσι, μεταβάλλουσιν ἐς τὰ ῥοφήματα ἐκ τῆς κενεαγγείης, ἐν οἷσι πολλάκις ἀρήγει ἐκ τῶν ῥοφημάτων πλησιάζειν τῇ κενεαγγείῃ· ἢν οὕτως τύχῃ παροξυνομένη ἡ νοῦσος.

& plerunque absolute; aliquando vero iis occasionibus, ex vasorum inanitione ad sorbitiones transeunt, quibus sæpe a sorbitionibus ad vasorum inanitionem accedere prodest; si ita morbum exacerbari contigerit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Συμπτώματα τῆς κακῆς διαίτης κατὰ τὴν ἀρχὴν τῶν νουσημάτων εἶναι θανάσιμα· τὰ περὶ σχολῆς ἢ ἀσχολίας παραπλήσια εἶναι τοῖς κατὰ κοιλίην.

ΕΝίοτε δὲ καὶ ὠμὰ ἐπισπῶνται ἀπό τε κεφαλῆς, καὶ τοῦ περὶ τὸν θώρηκα τόπου χολώδεα· ἀγρυπνίαι τε συνεμπίπτουσιν αὐτέοισι· δι᾽ ἃς οὐ πέσσεται ἡ νοῦσος· περίλυποί τε καὶ πικροὶ γίγνονται, καὶ παραφρονέουσι, καὶ μαρμαρυγώδεα [105] τουτέων τὰ ὄμματα, καὶ αἱ ἀκοαὶ ἤχου μεσταί, καὶ τὰ ἀκρωτήρια κατεψυγμένα, καὶ οὖρα ἄπεπτα, καὶ πτύσματα λεπτὰ καὶ ἁλυκά, καὶ κεχρωσμένα ἀκρήτῳ χρώματι, σμικρά, καὶ ἱδρῶτες περὶ τὸν τράχηλον, καὶ διαπορήματα, " καὶ πνεῦμα προσπταῖον ἐν τῇ 26 ἄνω φορῇ, πυκνὸν ἢ μέγα λίην, ὀφρύες δεινώσιος μετέχουσαι, λειποψυχώδεα πονηρά, καὶ τῶν ἱματίων ἀπορρίψιες ἀπὸ τοῦ στήθεος, καὶ χεῖρες τρομώδεες· ἐνίοτε δὲ χεῖλος τὸ κάτω σείεται. Ταῦτα δ᾽ ἐν ἀρχῇσιν ἐπιφαινόμενα, παραφροσύνης δηλωτικά εἰσι [106] σφοδρῆς, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν. [107] Οἱ δὲ διαφεύγοντες, ἢ μετ᾽ ἀποστήματος, ἢ αἵματος ῥεύσιος ἐκ τῆς ῥινός, ἢ πύον παχὺ πτύσαντες διαφεύγουσιν· ἄλλως δὲ οὔ. Οὐδὲ γὰρ τῶν τοιουτέων ὁρέω ἐμπείρους τοὺς ἰητρούς, ὡς χρὴ διαγιγνώσκειν τὰς ἀσθενείας ἐν τῇσι νούσῃσιν, αἵτε διὰ κενεαγγείην [108] ἀποτελοῦνται, αἵτε δι᾽ ἄλλον τινὰ ἐρεθισμόν, αἵτε διὰ πόνον, καὶ ὑπὸ ὀξύτητος τῆς νούσου, ὁκόσα τε ἡμέων ἡ φύσις, καὶ ἡ ἕξις ἑκάστοισιν ἐκτεκνοῖ πάθεα καὶ εἴδεα παντοῖα· καίτοι σωτηρίην, ἢ θάνατον φέρει γινωσκόμενα, ἢ ἀγνοούμενα τὰ τοιαῦτα. Μέζον μὲν γὰρ κακόν ἐστιν, ἢν διὰ τὸν πόνον καὶ τὴν ὀξύτητα τῆς νούσου ἀσθενέοντι προσφέρῃ τις ποτόν, [109] ἢ ῥόφημα πλεῖον, ἢ σιτίον, οἰόμενος διὰ κενεαγγείην ἀσθενέειν. " Ἀεικὲς δὲ καὶ διὰ κενεαγγείην 27 ἀσθενέοντα μὴ γνῶναι, καὶ πιέζειν τῇ διαίτῃ· φέρει μὲν γάρ τινα κίνδυνον καὶ αὕτη ἡ ἁμαρτάς· πολλῷ δὲ ἧσσον τῆς ἑτέρης· καταγελαστοτέρη δὲ πολλῷ αὕτη μᾶλλον

CAPUT IV.

Symptomata depravatæ diætæ, in principio morbi esse lethalia: exercitii & otii rationem iis similem esse, quæ ad alvum spectant.

INterdum autem & cruda a capite attrahuntur, & a thoracis regione biliosa; vigiliæque his accidunt, ob quas non coquitur morbus; pertristes & amarulenti evadunt, delirant, & splendores ipsis ob oculos obversantur, aures sonitu implentur, & extrema perfrigescunt, urinæ tenues & crudæ, sputa tenua fiunt, salsa, & colore sincero tincta, & exigua; sudores circa cervicem, & jactationes, & spiritus in ea, quæ sursum fit latione offensans, creber, aut magnus valde, supercilia gravitatem sortiuntur, pravæ animi defectiones, vestium a pectore rejectationes, manus tremulæ; interdum vero labium inferius concutitur. Hæc autem in principiis apparentia vehementis delirii sunt indicia, & plerunque (ægri) intereunt. Qui vero effugiunt, aut cum abscessu, aut sanguinis e naribus profluvio, aut puris crassi expuitione evadunt, aliter autem minime. Neque enim horum ita peritos video medicos, quo modo debilitates in morbis dignoscere oporteat, & quæ ob vasorum evacuationem, & quæ ob aliud quoddam irritamentum, & quæ ob laborem, & ab acumine morbi oboriantur, quosque affectus, ac diversas eorum species natura nostra, & habitus singulis pariat; & quidem hæc cognita aut ignorata, salutem aut mortem adferunt. Majus siquidem malum est, siquis ob laborem, & acumen morbi, debilitato potum, aut sorbitionem copiosiorem, aut cibum, exhibeat, ob vasorum vacuationem imbecillum esse arbitratus. Indecorum autem est & ob vasorum vacuationem imbecillum non cognoscere, & victu opprimere: periculum siquidem aliquod adfert & hic error, multo tamen minus quam alter; sed multo magis alte-

VARIÆ LECTIONES.

105 τουτέων τὰ ὄμματα Imp. Sambuc. habet, pro σφέων τὰ ὄμματα; in Serv. vero codice legitur τουτέων ὦριται. Nos Imp. Sambuci lectionem prætulimus.

106 Pro σφοδρῆς Serv. Cod. scribit πολλῆς, & Linden. utramque lectionem adhibuisse videtur, cum πολλῆς καὶ σφοδρῆς legat.

107 In Imp. Sambuci legitur: ὅσοι δὲ διαφεύγωσι μετὰ ἀποστήματος. Lindenus vero, οἱ δὲ διαφεύγοντες φθάνουσι μετ᾽ ἀποστήματος, quæ lectio habetur in Vatic. cod. Postea pro ῥύσιος MS. Cod. Bourdel. ῥεύσιος scribit; quod magis Homericum.

108 Sic scripsimus ex Imp. Sambuci, pro ἀσθενέοντας, prioremque lectionem adhibuit Linden.

109 ἢ ῥοφήματα πλεῖω Imp. Sambuci. Postea ἀεικὲς, exponit Erotianus in Onomast. αἰσχρὸν, καταγέλαστον, fœdum, ridiculum. Hesychio vero exponitur ἀπρεπὲς, εὐκαταφρόνητον, ἀπεοικὸς, indecens, indignum, despiciendum, minime conveniens. Plura Foes. voce Ἀεικές.

altero risu dignior hic error est. Nam si medicus alius, aut etiam plebeius accesserit, & quæ contigerunt, cognoverit, dederitque tum cibos, tum potus, quos alter prohibuit, aperte auxilium attulisse videatur; atque ista maxime artifices apud homines infamant: videtur enim ipsis qui accessit medicus, aut plebeius, hunc tanquam mortuum suscitasse. Propterea & signa scribentur, quæ de horum singulis haberi debent. Sed tamen & hæc sunt iis, quæ ad alvum spectant, consimilia. Etenim si universum corpus præter consuetudinem multum quieverit, non statim robustius evadit. Si vero sane & ubi diuturniori tempore otiatum, ad labores repente venerit, manifesto damno efficietur: ita vero & in singula corporis parte. Nam pedibus quoque & reliquis artubus, laborare non solitis, eadem evenient, si longo post tempore derepente ad laborem accesserint; eadem certe perpetientur oculi, & dentes, & quæcunque tandem pars. Quandoquidem & lectus præter consuetudinem mollis laborem facit, itemque præter solitum durus. Quin & sub dio cubile præter solitum corpus indurat. Sed & horum omnium exempla scribere satius est. Siquis enim accepto in tibia vulnere, neque admodum periculoso, neque valde benigno, cui neque admodum difficile, neque admodum facile vulnera sanentur, statim prima ab initio die decumbens curetur, & nequaquam crus moveat; sic sane vulnus inflammationis expers fuerit, multoque celerius sic sanus evaserit, quam si obambulans curaretur: si tamen quinto, aut sexto, aut etiam prius surgens ambulare voluerit, tunc magis utique ægrotabit, quam si statim ab initio oberrans curatus fuisset. Quod si repente graves labores susceperit, multo pejus afficietur, quam si illo modo curatus, illis ipsis diebus multa subito laboraverit. Hæc igitur omnia inter se perpetuo testantur, res omnes, quæ derepente supra modum in hæc vel illa magnopere mutantur, officere.

ἡ ἁμαρτὰς τῆς ἑτέρης. Εἰ γὰρ ἄλλος ἰητρὸς, ἢ καὶ ἰδιώτης εἰσελθὼν, καὶ γνοὺς τὰ ξυμβεβηκότα, δῴη καὶ φαγεῖν, καὶ πιεῖν, ἃ ὁ ἕτερος ἐκώλυσεν, ἐπιδήλως ἂν [110] δοκέῃ ὠφεληκέναι· τὰ δὲ τοιαῦτα μάλιστα καθυβρίζεται τῶν χειρωνακτέων ὑπὸ τῶν ἀνθρώπων· δοκέει γὰρ αὐτέοισιν ὁ εἰσελθὼν ἰητρὸς ἢ ἰδιώτης, ὥσπερ εἰ καὶ τεθνειότα ἀναστήσας. Γεγράψεται οὖν καὶ περὶ τούτων σημήϊα, οἷσι δεῖ ἕκαστα τουτέων διαγινώσκειν. Παραπλήσια μέντοι τοῖσι κατὰ κοιλίην ἐστὶ καὶ ταῦτα. Καὶ γὰρ ἢν ὅλον τὸ σῶμα ἀναπαύσηται πουλὺ παρὰ τὸ ἔθος, οὐκ αὐτίκα ἔῤῥωται μᾶλλον· ἢν δὲ δὴ καὶ πλείω χρόνον διελινύσας, ἐξαπίνης εἰς τοὺς πόνους ἔλθῃ, φλαῦρόν τι πρήξειεν ἐπιδήλως· οὕτω δὲ [111] καὶ ἐν ἑκάστῳ τοῦ σώματος. Καὶ γὰρ, ἢν οἱ πόδες τοιόνδε τι πρήξειαν, [112] καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα πονέειν, ἢν διὰ χρόνου ἐξαπίνης πρὸς τὸ πονέειν ἔλθῃ. Ταῦτα δ' ἂν καὶ οἱ ὀφθαλμοὶ, καὶ οἱ ὀδόντες πάθοιεν, καὶ πᾶν ὁτιοῦν. Ἐπεὶ καὶ ἡ κοίτη παρὰ τὸ ἔθος μαλθακὴ πόνον ἐμποιέει, καὶ σκληρὴ παρὰ τὸ ἔθος· καὶ ὕπαιθρος εὐνὴ παρὰ τὸ ἔθος, σκληρύνει τὸ σῶμα. Αὐτὰρ καὶ τῶν τοιῶνδε πάντων, ἀρκέει παραδείγματα γράψαι. Εἰ γάρ τις ἕλκος λαβὼν ἐν κνήμῃ, μήτε λίην ἐπίκαιρον, μήτε λίην εὔηθες, καὶ μήτε ἄγαν δυσελκὴς ὤν, μήτε ἄγαν εὐελκὴς, αὐτίκα ἀρξάμενος ἐκ πρώτης κατακείμενος ἰητρεύοιτο, καὶ μηδαμῇ [113] μετεωρίζοι τὸ σκέ-
28 λος, ἀφλέγμαντος μὲν ἂν οὕτως εἴη, καὶ ὑγιὴς πολλῷ θᾶσσον οὕτω γένοιτο, ἢ εἰ περιπλανώμενος ἰητρεύοιτο· εἰ μέντοι πεμπταῖος ἢ ἑκταῖος ἢ, ἢ καὶ ἔτι ἀνωτέρω ἀναστὰς ἐθέλοι προβαίνειν, μᾶλλον ἂν πονέοι τότε, ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο. Εἰ δὲ καὶ πολλὰ ταλαιπωρήσειεν ἐξαπίνης, πολλῷ ἂν μᾶλλον πονήσειεν, ἢ [114] ἐκείνως ἰητρευόμενος ταῦτα ταλαιπωρήσειεν ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι. Διὰ τέλεος οὖν μαρτυρέει ταῦτα πάντα ἀλλήλοισιν, ὅτι πάντα ἐξαπίνης μείζω πολλῷ τοῦ μετρίου μεταβαλλόμενα ἐπὶ τὰ καὶ ἐπὶ τὰ, βλάπτει.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

110 Alia exemplaria pro δοκέῃ scribunt δοκοίη. Paulo post ὥσπερεὶ τεθνεῶτα ἀναστῆσαι quædam exempl. pro ὥσπερ εἰ καὶ τεθνειότα ἀναστήσας.

111 Imp. Sambuci, pro καὶ ἐν ἕκαστον, scribit καὶ ἐν ἑκάστῳ, quæ lectio probatur, eamque amplectitur Linden.

112 καὶ τὰ ἄλλα ἄρθρα μὴ εἰθισμένα legunt vulgata exempl. Linden. vero καὶ τ' ἄλλα εἰθισμένα habet, rejecto ἄρθρα ex Fevr. hæcque lectio adscribitur in Imp. Samb.

113 μετεωρίζοιτο Imper. Sambuci habet, pro μετεωρίζοι τὸ. Deinde ἀφλέγμαντον ἂν οὕτω εἴη legunt exempl. quædam; & ad ἕλκος referunt, & περιπλανώμενος. Galenus tamen πλανώμενος legisse videtur.

114 ἐκείνως retulimus ad verba: ἢ εἰ αὐτίκα ἐξ ἀρχῆς πλανώμενος ἰητρεύοιτο, præeunte Gunzio, cujus versionem secuti sumus.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Βλαβερὰν εἶναι τὴν ἐκ πολλῆς κενεαγγείας ἐς πολυφαγίαν, καὶ ἐξ ἡσυχίας μακρᾶς ἐς ταλαιπωρίαν μεταβολήν· αὐτῆς εὔχρηστος ἡ διάγνωσις. Περὶ ῥοφημάτων τῆς πτισσάνης χυλοῦ, καὶ περὶ τῆς ἀγρυπνίας τε καὶ τοῦ ὕπνου συμπτωμάτων.

Πολλαπλασίη μὲν οὖν κατὰ κοιλίην ἡ βλάβη ἐστὶν, ἣν ἐκ πολλῆς κενεαγγείης ἐξαπίνης πλέον τοῦ μετρίου προσαίρηται. Ἀτὰρ καὶ κατὰ τὸ ἄλλο σῶμα, ἣν ἐκ πολλῆς ἡσυχίης ἐξαίφνης ἐς πλείω πόνον ἔλθοι, πουλὺ πλείω βλαβείη, ἢ εἰ ἐκ πολλῆς ἐδωδῆς ἐς κενεαγγείην μεταβάλλοι.[115] Δεῖ μέντοι καὶ τὸ σῶμα τουτέοισιν ἐλιννύειν, καὶ ἣν ἐκ πολλῆς ταλαιπωρίης ἐξαπίνης ἐς σχολήν τε 29 καὶ ῥαθυμίην ἐμπέσῃ· δεῖ δὲ καὶ τουτέοισι
374 τὴν κοιλίην ἐλιννύειν πλήθεος βρώμης. Ἢν δὲ μὴ, πόνον ἐν τῷ σώματι ἐμποιήσει, καὶ βάρος ὅλου τοῦ σώματος· ὁ δὴ οὖν πλεῖστός μοι λόγος γέγονε περὶ τῆς μεταβολῆς τῆς ἐπὶ τῆς διαίτης, καὶ ἐπὶ τὰ, καὶ ἐπὶ τὰ, ἐς πάντα μὲν οὖν εὔχρηστον ταῦτα εἰδέναι, ἀτὰρ καὶ περὶ οὗ ὁ λόγος ἦν, ὅτι καὶ ἐν τῇσιν ὀξείῃσι νούσοισιν ἐς τὰ ῥοφήματα μεταβάλλουσιν ἐκ τῆς κενεαγγείης· μεταβλητέον γὰρ, ὡς ἐγὼ κελεύω ἤδη· ἔπειτα οὐ χρηστέον ῥοφήμασι, πρὶν ἢ νοῦσος πεπανθῇ, ἢ ἄλλό τι σημεῖον φανῇ, ἢ κατὰ ἔντερον κενεαγγικὸν, ἢ ἐρεθιστικὸν, ἢ κατὰ τὰ ὑποχόνδρια, ὁκοῖα γεγράψεται σημεῖα. Ἀγρυπνίη ἰσχυρὴ, πόματα καὶ σιτία ὠμὰ καὶ ἀπεπτότερα ποιέει· καὶ ἡ ἐπὶ τὰ ἕτερα αὖ μεταβολὴ, διαλύει τὸ σῶμα, καὶ ἑφθότητα καὶ καρηβαρίην ἐμποιέει.

CAPUT V.

Noxiam esse mutationem a diuturna vacuatione ad cibi copiam, & a diuturno otio ad vehementem laborem: hujus mutationis cognitionem prodesse. De sorbitione cremoris hordei, deque vigiliæ somnique symptomatibus.

Multiplex itaque ventri affertur damnum, si ex multa vasorum innanitione derepente quid plus justo exhibeatur. Quin & reliquum corpus si ex multa quiete subito ad majorem laborem devenerit, multo magis lædetur, quam si ex multo cibo ad vasorum innanitionem transeat. Corpus sane his quiescere oportet, imo si ex multo labore derepente ad otium ac ignaviam exciderit: oportet autem & his ventrem a ciborum copia quiescere; sin minus, corpori ægritudinem afferet, & totius corporis gravitatem. Plurimus itaque mihi sermo habitus est de victus rationis in hæc vel illa immutatione, quod hæc nosse valde sit utile, cum ad omnia, tum ad id etiam, de quo erat oratio; quod in morbis acutis, ex vasorum inanitione, ad sorbitiones (ægros) transire jubent: sic enim transeundum est, ut jam ante præcepi; deinde sorbitionibus non utendum, priusquam morbus maturuerit, aut signum aliquod aliud apparuerit, vel in intestinis vacuatorium, vel proritatorium, vel in hypochondriis, qualia signa scribentur. Vehemens vigilia potus cibosque tum crudos, tum incoctiores efficit: ac rursus quæ in contraria fit mutatio, corpus dissolvit, & excoctionem ac capitis gravitatem inducit.

ΙΠΠΟ-

Variæ Lectiones.

115 Hic certe locus adeo obscurus apparet, ut multis ansam dederit litteram immutandi, quod & fecit Corn. Calvus sane aliud quid ex Vaticanis membranis mihi sub auguratus videtur. Quotquot tamen adhuc mihi videre licuit exemplaria, hac lectione sibi constant, quam profecto mihi immutare magna religio est, quamque secutum esse Galenum optime mihi conscius sum, etsi valde est implicata. Foes. Infra ἀγρυπνίη usque ad ἐμποιέει notat Galenus suo loco excidisse, & extra ordinem hic inserta esse ob exemplarium perturbationem. Postea per ἑφθότητα, *excoctionem* intelligit Galenus corporis segnitiem, quod ob multum somnum halituosa redundent excrementa. Deinde pro ἑφθότητα vulgato, Lindenus scribit ἀπεπτότητα.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΥΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.
HIPPOCRATIS
DE ACUTORUM MORBORUM VICTUS RATIONE
LIBER TERTIUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι

Ὁ λόγος γίνεται περὶ τῶν τοῦ οἴνου, καὶ τοῦ ὑδρομέλιτος, καὶ τοῦ ὀξυμέλιτος, καὶ τοῦ ὕδατος, καὶ τῶν λουτρῶν δυνάμεων.

ARGUMENTUM LIBRI.

Agitur de vini, mulſæ, oxymelitis, aquæ, & balneorum facultatibus.

Basil. Lat. I. 222. 497. — Foesius Sect. IV. 61. 345. — Basil. Græc pag. 374.

CAPUT I.

Vinum quale, & quibus conducit.



AT vinum dulce, & vinoſum, & album, & nigrum, & aquam mulſam, & aquam, & acetum mulſum, his notis in morbis acutis diſtinguere oportet. Dulce quidem vinoſo minus caput gravat, & minus mentem ferit; magisque ſane quam alterum, inteſtinorum dejectiones movet; viſcera vero magna lienem jecurque facit; non igitur amara bile ſcatentibus idoneum. Hisce etenim ſitiferum eſt; quinetiam ſuperiori inteſtino flatum excitat; non tamen inferiori inteſtino pro flatus ratione eſt inimicum, etſi non admodum penetrat, qui a dulci vino eſt flatus; ſed diutius circa hypochondria moratur. Etenimſane hoc in univerſum minus, quam vinoſum album, urinas omnino movet. Sputum vero altero potentius educit, quod dulce eſt. Et quibus epotum quidem ſitim facit, his minus, quam alterum vinum,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἶνον τί καί τισι ὠφέλιμον.



ΟΙΝΟΝ δὲ γλύκυν καὶ [116] οἰνώδεα, καὶ λευκὸν, καὶ μέλανα, καὶ μελίκρητον, καὶ ὕδωρ, καὶ ὀξύμελι, τοῖσιδε σημαινόμενον χρὴ διορίζειν ἐν τῇσιν ὀξείῃσι νούσοισιν. Ὁ μὲν γλυκὺς ἧσσον ἐστι καρηβαρικώτερος τοῦ οἰνώδεος, καὶ ἧσσον φρενῶν ἁπτόμενος, καὶ διαχωρητικώτερος δή τι τοῦ ἑτέρου [117] κατὰ τὸ ἔντερον· μεγαλόσπλαγχνος δὲ σπληνὸς καὶ ἥπατος. Οὐκ ἐπιτήδειος οὖν· οὐδὲ τοῖσι πικροχόλοισι· καὶ γὰρ οὖν διψώδης τοῖσί γε τοιουτέοισίν ἐστιν· ἀτὰρ καὶ φυσώδης ἐντέρου τοῦ ἄνω, οὐ μὴν πολέμιός γε αὐτῷ τῷ κάτω ἐντέρῳ· ὡς κατὰ λόγον τῆς φύσης, καίτοιγε οὐ πάνυ [118] πόριμος ἐστὶν ἡ ἀπὸ τοῦ γλυκέος οἴνου φῦσα· ἀλλ' ἐγχρονίζειν περὶ ὑποχόνδρια. Καὶ γὰρ οὖν ἧσσον οὗτος διουρητικὸς γίγνεται τὸ ἐπίπαν τοῦ οἰνώδεος λευκοῦ. Πτυέλου δὲ μᾶλλον ἀναγωγός ἐστι τοῦ ἑτέρου ὁ γλυκύς. Καὶ οἷσι μὲν διψώδης ἐστὶ πινόμενος, ἧσσον ἂν τούτοισιν ἀνάγοι, ἢ ὁ ἕτε-

VARIÆ LECTIONES.

116 *οἰνώδης οἶνος*, vinoſum vinum, de quo ſæpe Hipp. verba facit, præſertim in Libris de Diæta, eſt forte ac generoſum vinum, quod aquam vincit, ut Amineum in regione Falerna. Virg. Georg. II. *ſunt etiam Aminea vites, firmiſſima vina.* Illi opponitur *ὑδατώδης*, *aquoſum*, ſive debile.

117 Pro *κατ' ἔντερον*, in MS. cod. Medic. eſt *κατὰ τὸ ἔντερον*, nec inconcinne.

118 *πορίμη* omnia exemplaria legunt. *πόριμος* cod. Medic. habet, multo melius; & id nos ſecuti ſumus: nam duas tantum terminationes habet *ὁ καὶ ἡ πόριμος, τὸ πόριμον*. Deinde *οἴνου φῦσα περὶ ὑποχόνδρια* ſcribit MS. cod. Med.

ἕτερος οἶνος· οἷσι δὲ μὴ διψώδης, μᾶλλον ἀνάγοι ἂν τοῦ ἑτέρου. Ὁ δὲ λευκὸς οἰνώδης οἶνος, ἐπῄνηται μὲν καὶ ἔψεκται τὰ πλεῖστα καὶ τὰ μέγιστα ἤδη ἐν τῇ τοῦ γλυκέος οἴνου διηγήσει. Ἐς δὲ κύστιν μᾶλλον πόριμος ἐὼν τοῦ ἑτέρου, καὶ διουρητικὸς δὲ ὢν καὶ καταῤῥηκτικὸς αἰεὶ, πολλὰ προσωφελέοι ἂν ἐν ταύτῃσι τῇσι νούσοισι· καὶ γὰρ εἰ πρὸς ἄλλα ἀνεπιτηδειότερος τοῦ ἑτέρου πέφυκεν, ἀλλ᾽ ὅμως ἡ κατὰ τὴν κύστιν κάθαρσις, ὑπ᾽ αὐτοῦ γιγνομένη, ῥύεται, [119] ἣν προτρέπηται, ὁκοῖον δεῖ. Καλὰ δὲ ταῦτα τεκμήριά ἐστι τῆς περὶ οἴνου ὠφελείης καὶ βλάβης, ὁκόσα ἀκαταμάθητα ἦν τοῖσιν ἐμεῦ γεραιτέροισι. Κιῤῥῷ δὲ οἴνῳ, καὶ μέλανι αὐστηρῷ ἐν ταύτῃσι τῇσι νούσοισιν ἐς τάδε ἂν χρήσαιο· εἰ καρηβαρίη μὲν μὴ ἐνείη, μηδὲ φρενῶν ἅψις, μηδὲ τὸ πτύελον κωλύοιτο τῆς ἀνόδου, μηδὲ τὸ οὖρον ἴσχοιτο, τὰ διαχωρήματα δὲ πλαδαρώτερα, καὶ ξυσματωδέστερα εἴη· ἐν δὴ τοῖσι τοιουτέοισι πρέπει ἂν μάλιστα μεταβάλλειν ἐκ τοῦ λευκοῦ, καὶ ὁκόσα τουτέοισιν ἐμφερέα. Προξυνιέναι δὲ δεῖ, ὅτι τὰ μὲν ἄνω πάντα καὶ τὰ κατὰ τὴν κύστιν, ἧσσον βλάψει, ἢν ὑδαρέστερος ᾖ· τὰ δὲ κατ᾽ ἔντερον καὶ μᾶλλον ὀνήσει, ἢν ἀκρητέστερος ᾖ.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Μελίκρητον, τοὺς μὲν ὠφελεῖ· τοὺς δὲ βλάπτει.

ΜΕλίκρητον δὲ πινόμενον διὰ πάσης τῆς νούσου, ἐν τῇσιν ὀξείῃσι νούσοισι, τὸ ἐπίπαν μὲν τοῖσι πικροχόλοισι καὶ μεγαλοσπλάγχνοισιν ἧσσον ἐπιτήδειον, ἢ τοῖσι μὴ τοιούτοισίν ἐστι. Διψῶδές γε μὴν ἧσσον τοῦ γλυκέος οἴνου. Πνεύμονός τε γὰρ μαλθακτικόν ἐστι, καὶ πτυέλου ἀναγωγὸν μετρίως, [120] καὶ βηχὸς παρηγορικόν· ἔχει γὰρ σμηγματῶδές τι, ὃ μᾶλλον τοῦ μετρίου καταγλισχραίνει τὸ πτύελον. Ἔστι δὲ καὶ [121] οὐρητικὸν τὸ μελίκρητον ἱκανῶς, ἢν μή τι τῶν ἀπὸ σπλάγχνων κωλύῃ. Καὶ [122] διαχωρητικόν τε κάτω τῶν χολωδέων, ἔστι μὲν ὅτε καλῶν, ἔστι δ᾽ ὅτε κατακορεστέρων μᾶλλον τοῦ καιροῦ καὶ ἀφρωδεστέρων· μᾶλλον δὲ τὸ τοιοῦτο τοῖσι χολώδεσί τε καὶ μεγαλοσπλάγχνοισι γίνεται. Πτυάλου μὲν οὖν ἀναγωγὴν καὶ πνεύμονος μάλθαξιν τὸ ὑδαρέστερον μελίκρητον ποιέει μᾶλλον· τὰ μέντοι ἀφρώδεα διαχωρήματα, καὶ μᾶλλον τοῦ καιροῦ κατακορέως χολώδεα, καὶ μᾶλλον θερμὰ, τὸ ἄκρητον μᾶλλον τοῦ ὑδαρέος ἄγει.

educit; quibus vero siticulosum non est, his magis quam alterum educit. At vero vinum album vinosum jam plurimum ac maxima ex parte laudatum quidem, & vituperatum est in vini dulcis enarratione. Ad vesicam autem altero magis penetrans, & quum urinas provocet, ac semper perrumpat, multum his morbis contulerit: nam etsi ad alia altero minus est idoneum, quæ tamen in vesica ab eo fit purgatio, liberat, si quale oportet, propellatur. Bonæ hæ conjecturæ sunt de vini utilitate, & noxa, quas me seniores non didicerunt. Fulvo autem vino, & nigro austero in his morbis, tum quidem utaris, si capitis gravitas non affuerit, neque mentis perculsio, neque sputum ab ascensu prohibeatur, neque urina supprimatur, sed dejectiones humentiores, & ramentosiores fuerint; in his sane ex albo mutationem facere decuerit, & quæcunque his similia sunt. At insuper nosse oportet, si dilutius vinum fuerit, superiores quidem partes, & quæ circa vesicam sunt, minus lædere; si vero meracius, iis quæ circa intestina sunt, magis prodesse.

CAPUT II.

Aqua mulsa, quibus conducibilis, quibus non.

AT quæ potui datur mulsa toto morbi decursu, ex acutorum genere in universum quidem, tum amara bile redundantibus, tum quibus tument viscera, minus, quam non talibus est idonea. Sitim tamen minus, quam dulce vinum, infert. Etenim pulmonem emollit, & sputum mediocriter educit, tussimque lenit: habet nanque detergens quoddam, quod si modum excedit, efficit, ut justo viscosius reddat. Urinas quoque mulsa sufficienter ciet, siqua viscerum affectio non prohibeat. Sed & biliosa excrementa magis subducit, interdum quidem bona, interdum vero magis quam deceat colore saturata, ac spumantiora; idque biliosis magis, & magna viscera habentibus, contingit. At sputi quidem eductionem, ac pulmonis mollitionem dilutior mulsa magis efficit; spumosas vero dejectiones, & plusquam convenit sincera bile enaturatas, calidioresque, meraca mulsa, quam aquosa, magis ducit.

Variæ Lectiones.

119 Quædam exemplaria ἢ προσφέρηται, ὁκοῖον δεῖ scribunt, pro ἢ προτρέπηται κ. τ. λ. Paulo post τοῖς αὐστηροῖς Galenus legit, ad utrumque vinum referens.

120 καὶ βηχὸς παρηγορικὸν μετρίως MS. cod. Medic. inserto μετρίως. & paulo post: ὃ μᾶλλον τοῦ καιροῦ Imp. Sambuci, Servin. Fevr. & MS. Bourdel. habent, eodem sensu *magis quam opportunum sit*; nos vero Galeni lectionem retinuimus. Sed in MS. cod. Medic. legitur ὃ μᾶλλον τοῦ κιῤῥοῦ, intelligens de vino fulvo.

121 διουρητικὸν MS. cod. Servin. pro οὐρητικόν.

122 Alia exemplaria habent διαχωρητικώτερον, postremam lectionem cum interpretibus retinuimus. Lindenus καί (ἐστι) δὲ καὶ διαχωρητικὸν δὲ κάτω τῶν χολωδέων, (καὶ) ἐστι scribit: quam lectionem probat Gunzius. Notandum venit κάτω abesse in MS. cod. Medic. & pro καλῶν, in Imp. Samb. & Servin. cod. adscribi κακῶν, contrario sensu; sed Galenus legit καλῶν, eamque lectionem pluralitate exempl. confirmatam retinuimus.

Talis autem dejectio habet quidem & alias graves noxias: neque enim hypochondriorum ardorem extinguit, sed concitat; gravem, molestamque membrorum jactationem facit; intestina vero ac sedem exulcerat; sed horum auxilia scribentur. Si igitur hisce in morbis, absque sorbitionibus aqua mulsa pro alio potu utaris, ut multa feliciter consequaris, ita non multum successu frustraberis. Verum quibus danda sit, & quibus non danda, & quas ob causas non danda, maxima ex parte dictum est. Damnata vero est ab hominibus aqua mulsa, quod ipsam bibentes prorsus debilitet, ac propterea mortem accelerare existimata est. Quod quidem propter eos, qui vita per inediam discedunt dictum est: nonnulli enim sola mulsa in potu utuntur, tanquam nimirum talis sit. Verum non prorsus ita se res habet, sed si mulsa sola bibatur, aqua quidem multo valentior est, nisi alvum exturbarit. Sed & vino albo, tenui, parum aquæ ferente, & inodoro, quodammodo validior est, & quodammodo debilior. Multum tamen differt tum vini, tum mellis meracitas, ad utriusque robur. Nam etiamsi duplam vini meraci mensuram quis biberit, ratione mellis quod delinxerit, tamen a solo melle multo validior fuerit, nisi alvum turbaverit. Nam & multo plus stercoris ipsi prodibit. Si tamen pro sorbitione ptisana utatur, insuper vero aquam mulsam bibat, hunc vehementer replebit, ac flatus concitabit, & hypochondriorum visceribus erit noxia. At si ante sorbitionem mulsa bibatur, non ut superepota lædit, imo etiam aliquo modo opitulatur. Cocta autem aqua mulsa aspectu quidem quam cruda longe præstantior est. Splendida namque & tenuis, alba, & pellucida est: sed quam ipsi virtutem attribuam, qua crudam antecellat, non habeo, neque enim cruda est suavior, si mel probum esse contigerit; cruda tamen est imbecillior, ac minus ducit stercoris; quorum neutro ad præsidium mulsa indiget. Præcipue vero ejusmodi (mulsa cocta) utendum; si mel pravum fuerit, & impurum, & nigrum, neque boni odoris: coctura nanque majorem pravitatum ipsius fœditatem tollit.

Τὸ δὲ τοιοῦτον διαχώρημα ἔχει μὲν καὶ ἄλλα σίνεα μεγάλα (ὅτε γὰρ ἐξ ὑποχονδρίων καῦμα [123] σβέννυσιν, ἀλλ' ὁρμᾷ· δυσφορίην τε καὶ ῥιπτασμὸν τῶν μελέων ποιέει) ἑλκῶδές τέ ἐστι καὶ ἐντέρων καὶ ἕδρης· ἀλεξιτήρια δὲ τουτέων γεγράψεται. [124] Ἄνευ μὲν οὖν ῥοφημάτων, μελικρήτῳ χρεόμενος ἀντ' ἄλλου ποτὲ ἐν ταύτῃσι τῇσι νούσοισι, πολλὰ ἂν εὐτυχοίης, καὶ οὐκ ἂν πολλὰ [125] ἀτυχοίης· οἷσι δὲ δοτέον καὶ οἷσιν οὐ δοτέον, τὰ μέγιστα εἴρηται, καὶ δι' ἃ οὐ δοτέον. Κατέγνωσαι δὲ μελίκρητον ὑπὸ τῶν ἀνθρώπων,
31 [126] ὡς καταγυιοῖ τοὺς πίνοντας, καὶ διὰ τοῦτο ταχυθάνατον εἶναι νενόμισται. Ἐκλήθη δὲ τοῦτο διὰ τοὺς ἀποκαρτερέοντας· ἔνιοι γὰρ μελικρήτῳ μόνῳ χρέονται ποτῷ, ὡς τοιοῦδε δῆθεν ἐόντος. Τὸ δὲ οὐ παντάπασιν ὧδε ἔχει· ἀλλ' ὕδατος μὲν πολλῷ
32 ἰσχυρότερόν ἐστι πινόμενον μοῦνον, [127] ἢν μὴ ἐκταράσσῃ τὴν κοιλίην. Ἀτὰρ καὶ οἴνου λευκοῦ, καὶ λεπτοῦ, καὶ ὀλιγοφόρου, καὶ ἀνόσμου, ἢ μὲν ἰσχυρότερον, [128] ἢ δὲ ἀσθενέστερον. Μέγα μὴν διαφέρει καὶ οἴνου καὶ μέλιτος ἀκρητότης ἐς ἰσχὺν ἀμφοῖν. Ὅμως τοίνυν εἰ καὶ διπλάσιον μέτρον οἴνου ἀκρήτου πίνοι τὶς, ἢ ὁκόσον μέλι ἐκλείχοι, πολλῷ ἂν δήπου ἰσχυρότερος εἴη ὑπὸ τοῦ μέλιτος μοῦνον, εἰ μὴ ταράσσοι τὴν κοιλίην· πολλαπλάσιον γὰρ καὶ τὸ κόπριον διεξίοι ἂν αὐτέῳ. Εἰ μέντοι ῥοφήματι χρέοιτο πτισάνῃ, ἐπιπίνοι δὲ μελίκρητον, ἄγαν πλησμονῶδες ἂν εἴη, καὶ φυσῶδες, καὶ τοῖσι κατὰ τὰ ὑποχόνδρια σπλάγχνοισιν ἀσύμφορον. Προπινόμενον μέντοι [129] πρὸ ῥοφήματος μελίκρητον, οὐ βλάπτει ὡς ἐπιπινόμενον, ἀλλά τι καὶ ὠφελέει. Ἑφθὸν δὲ μελίκρητον, ἐσιδεῖν μὲν πολλῷ κάλλιον τοῦ ὠμοῦ. Λαμπρὸν γὰρ καὶ λεπτὸν καὶ λευκὸν, καὶ διαφανὲς [130] γίγνεται· ἀρετὴν δὲ ἥν τινα αὐτέῳ προσθέω διαφέρουσάν τι τοῦ ὠμοῦ, οὐκ ἔχω· οὔτε γὰρ ἥδιόν ἐστι τοῦ ὠμοῦ, ἢν τυγχάνοι γε τὸ μέλι καλὸν ἐόν· ἀσθενέστερον μέντοιγε τοῦ ὠμοῦ, καὶ ἀκοπρωδέστερόν ἐστιν, ὧν οὐδετέρου ἐς τι-
33 μωρίην προσδέεται μελίκρητον. Ἄγχιστα δὲ χρηστέον αὐτῷ τοιῷδε ἐόντι, ἢν τὸ μέλι τυγχάνοι πονηρὸν ἐὸν, καὶ ἀκάθαρτον καὶ μέλαν, καὶ μὴ εὐῶδες· ἀφέλοιτο γὰρ ἂν ἡ ἕψησις, τῶν κακοτήτων αὐτέου τὰ πλέονα τοῦ αἴσχεος.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

123 Pro σβέννυσιν, quædam exemplaria scribunt σβεννύει.

124 ἄνευ μὲν κ. τ. λ. MS. cod. Medic. ἄνευ μὲν οὖν ῥοφήματος μελικρήτῳ χρεόμεθα.

125 ἀτυχέοιεις Imp. Sambuc. & Fevr. eodem sensu legunt, pro ἀτυχοίης.

126 καταγυιοῖ exponit Galen. in Exegesi εἰς ἔσχατον ἀχρησίας, ἢ ἀσθενείας ἄγει, *extreme debilitat, & ad summam debilitatem ducit.*

127 εἰ μὴ ταράσσοι τὴν κοιλίην, *nisi alvum perturbet*, legisse videtur Galenus, uti paulo post habetur.

128 ἐόν, ἢ omnia exempl. publicata, præter Ald. cod. qui ἐνίῃ scrib[illegible]

129 πρὸ ῥοφημάτων μελίκρητον, οὐ βλάπτει ὡς ἐπιπινόμενον quidam cod. pro πρὸ ῥοφήματος μελίκρητον οὐ βλάπτει, ὅκως μεταπινόμενον.

130 γίγνεται delet Imp. Samb. deinde loco προσθέω, Fevr. & Imp. Sambuc. legunt προσφέρω. Paulo post ἄγχιστα exponitur Erotiano μάλιστα, *præcipue*, ex hoc loco.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὀξύμελι τοῖς μὲν εὔχρηστόν ἐστι· τοῖς δὲ βλαβερόν.

ΤΟ δὲ ὀξύμελι καλεόμενον ποτὸν, πολλαχοῦ μὲν εὔχρηστον ἐν ταύτῃσι τῇσι νούσοισιν εὑρήσεις ἐόν· καὶ γὰρ πτυέλου ἀναγωγόν ἐστι, καὶ εὔπνοον· καιροὺς μέντοι τοιούσδε ἔχει. Τὸ μὲν κάρτα ὀξὺ, οὐδὲν ἂν [131] μέσον ποιήσειεν πρὸς τὰ πτύελα τὰ μὴ ῥηϊδίως ἀνιόντα. Εἰ γὰρ ἀνάγοι μὲν τὰ ἐγκέρχνοντα, καὶ ὄλισθον ἐμποιήσειε, καὶ ὥσπερ εἰ διαπτερώσειε τὸν βρόγχον, παρηγορήσειεν ἂν τὸν πνεύμονα, (μαλθακτικὸν γὰρ αὐτέου.) Καὶ εἰ μὲν ταῦτα συγκυρήσειε, μεγάλην ἂν ὠφελείην ποιήσειεν· ἔστι δ' ὅτε τὸ κάρτα ὀξὺ οὐκ ἐκράτησε τῆς ἀναγωγῆς τοῦ πτυέλου, ἀλλὰ προσεγλισχρηνέ τε καὶ ἔβλαψε. Μάλιστα δὲ τοῦτο πάσχουσιν, οἵπερ καὶ ἄλλως ὀλέθριοί εἰσι, καὶ ἀδύνατοι βήσσειν τε καὶ ἀποχρέμπτεσθαι τὰ ἐνεχόμενα. Εἰς μὲν οὖν τόδε προσεκμαίρεσθαι χρὴ τὴν ῥώμην τοῦ [132] κάμνοντος· κἢν ἐλπίδα ἔχῃ, διδόναι. Διδόναι δὲ, ἢν διδῷς, ἀκροχλίαρον, καὶ κατ' ὀλίγον τὸ τοιόνδε, καὶ μὴ λάβρως. [133] Τὸ μέντοι ὀλίγον ἔποξυ ὀξύμελι ὑγραίνει μὲν τὸ στόμα καὶ φάρυγγα, ἀναγωγὸν δὲ πτυέλου ἐστὶ, καὶ ἄδιψον· ὑποχονδρίῳ δὲ καὶ σπλάγχνοισι τοῖσι ταύτῃ εὐμενὲς, καὶ τὰς ἀπὸ μέλιτος βλάβας ταύτας κωλύει· τὸ γὰρ ἐν μέλιτι χολῶδες κολάζεται· ἐστὶ δὲ καὶ φυσέων καταῤῥηκτικὸν, καὶ ἐς οὔρησιν προτρεπτικόν. Ἐντέρου μέντοι τῷ κάτω μέρει πλαδαρώτερον, καὶ ξύσματα ἐμποιέει. Ἔστι δ' ὅτε καὶ φλαῦρον τοῦτο ἐν τῇσιν ὀξείῃσι νούσοισι γίνεται, [134] μάλιστα δ' ὅτι φῦσαν κωλύει περαιοῦσθαι, ἀλλὰ παλινδρομέειν ποιέει· ἔτι δὲ καὶ ἄλλως γυιοῖ, καὶ τὰ ἀκρωτήρια ψύχει. Ταύτην καὶ οἶδα μούνην βλάβην τὴν δι' ὀξυμέλιτος γιγνομένην, ἥτις καὶ ἀξίη γραφῆς. Ὀλίγον δὲ τὸ τοιόνδε ποτὸν, νυκτὸς μὲν καὶ νήστει πρὸ ῥοφήματος ἐπιτήδειον προπίνεσθαι· ἀτὰρ καὶ ὁκόταν [135] πολὺ μετὰ ῥόφημα ᾖ, οὐδὲν κωλύει πίνειν. Τοῖσι δὲ ποτῷ μούνῳ διαιτωμένοισιν ἄνευ ῥοφημάτων, διὰ τόδε οὐκ ἐπιτήδειόν ἐστιν αἰεὶ καὶ διὰ παντὸς χρέεσθαι τούτῳ· μάλιστα μὲν διὰ ξύσιν, ἢ τρηχυσμὸν τοῦ ἐντέρου. Ἀκόπρῳ γὰρ ἐόντι, [136] μᾶλλον ἐμποιέῃ ἂν, καὶ ταῦτα κενεαγγείης παρεούσης· ἔπειτα δὲ καὶ τὸ μελίκρητον τῆς ἰσχύος

CAPUT III.

Acetum mulsum quibus conducibile, quibus noxium.

AT vero acetum, vocatum mulsum, epotum sæpenumero his in morbis esse perutile comperies: etenim sputum sursum educit, & facilem respirationem facit; hasce vero habet opportunitates. Quod sane valde acidum est, non majorem efficaciam ad sputa non facile prodeuntia habebit. Nam si exasperantia educeret, ac lubricitatem induceret, & veluti si guttur dilataret, pulmonem utique leniret; (nam ipsum emolliret.) Quod sane si hæc contingerent, magnam id utilitatem præstaret; interdum vero valde acidum, sputi eductionem non sortitur, imo & magis glutinosum reddit, & officit. Id autem maxime perpetiuntur etiam, qui alias perniciose habentes, neque tussire, neque, quæ intus retinentur, excreare possunt. Ad hoc igitur ægrotantis robur conjicere oportet; & si de eo spem habeas, exhibere. Exhibere autem oportet, si dederis; summe tepidum, idque paulatim, neque affatim. Subacidum vero oxymel os quidem & fauces humectat, sputum educit, & sitim sedat; hypochondriis ac visceribus ibi locatis placidum est, & ex melle noxias hac parte prohibet; quod enim in melle biliosum est, emendat: quin & flatus discutit, urinasque promovet. Intestini tamen inferiorem partem humectiorem reddit, & ramenta inducit. Interdum autem & in acutis morbis hoc pravum est, maxime vero, quod flatus foras prodire prohibeat, imo remeare faciat. Præterea vero etiam debilitat, & extrema refrigerat. Atque hancce noxiam solam ex aceto mulso oboriri novi, quæ etiam ut scribatur digna sit. Exiguum autem ejusmodi potum nocte quidem & jejuno ante sorbitionem propinare convenit; sed & quum a sorbitione multum intersit temporis, bibere nihil prohibet. Solo vero potu citra sorbitiones pro victu utentibus, propterea hoc uti semper & perpetuo non idoneum est; maxime quidem propter intestini abrasionem, aut exasperationem. Quum enim stercore vacuum sit, magis hæc induxerit, quum vasorum adsit vacuatio; postea vero & aqua mulsa vires di-

VARIÆ LECTIONES.

131 Pro *μέσον mediocre*, quædam exemplaria habent *μεῖζον majus*, ut etiam ætate Galeni, qui *μέσον* legendum esse demonstrat; & ita habet MS. cod. Medic. nosque retinuimus. Deinde quæ leguntur *μαλθακτικὸν γὰρ αὐτέου* pro glossemate habentur, & quidem recte. Gunz.

132 *κάμνοντος ἀνθρώπου* quædam exemplaria: Imp. Sambuci delet *ἀνθρώπου*, atque ita Lind. & Foes. quos sequimur. Aldus mendose non habet *κάμνοντος*. Postea *κἢν δίδως ἀκροχλίαρον δὸς καὶ κατ' ὀλίγον* Imp. Sambuci scribit.

133 *Τὸ μέντοι ὀλίγον ὀξύμελι*, *tenue oxymel*, sive acetum mulsum, quod dilutum sit, ad qualitatem referendo, non ad paucitatem, scribit MS. cod. Medic. Sed *ὀξύμελι* quædam exempl. non habent, & Linden.

134 *μάλιστα μὲν* quidam codd. sed pro *μὲν*, *quidem*, reposuimus *δέ*. Deinde pro *ἀκρωτήρια*, in Imp. Sambuci & Fevr. legitur *ἀκρότερα*.

135 *πολὺ μετὰ ῥοφήματος* quædam exemplaria habent, & pro *ᾖ*, Aldus habet *ἡ* mendose.

136 *μᾶλλον ἂν ἐμποιέῃ καὶ ταῦτα*, *κενεαγγείης* quædam exemplaria. Lindenus vero, pro *ἐμποιέῃ*, habet *ἐμπνοίῃ*. Nos Imp. Sambuci lectionem amplexi sumus, vel Gunzio adstipulante.

diminuerit. Si tamen opitulari apparuerit ad totum morbum copiosus hujus potionis usus, paucum aceti, quoad solum agnoscatur, affundendum est. Ita enim tum quæ lædere solet, ea minime læserit; tum quibus prodesse opus est, his proderit. Ut autem in summa dicatur, orti ab aceto acores, amara bile abundantibus magis, quam melancholicis, conferunt. Amara nanque dissolvuntur, & in pituitam abeunt, dum ab ipso attolluntur; nigra vero fermentantur, in sublime attolluntur, ac multiplicantur; acetum enim nigra per superiora evocat. Mulieribus autem longe magis, quam viris, adversatur acetum; nam uterum dolore afficit.

CAPUT IV.

Aquæ potus parum juvat in morbis acutis: ejusque rei ratio.

At vero aquæ potui acutis in morbis, aliud sane nullum munus habeo, quod ascribam. Neque enim in pleuriticis ac peripneumonicis tussim lenit, neque sputum educit; imo cæteris minus, siquis perpetuo aqua ad potum utatur. Verum si inter acetum mulsum, & aquam mulsam aquæ pauculum sorbeatur, sputum educit propter qualitatis potuum transmutationem; quandam enim intus inundationem advehit: alias neque sitim sedat, sed irritat, siquidem biliosæ naturæ biliosa est; & præcordiis mala, imo pessima, ac biliosissima, viresque maxime labefactat, ubi in vacuitatem venerit. Lienem quoque & hepar auget, quum inflammata fuerint, fluctuatque ac innatat; tarde siquidem permeat, quod subfrigida sit & coctionis expers; neque alvum, neque urinas movet. Nonnihil etiam insuper obest, quod natura fæces non educat. Quodsi sane pedibus etiamnum frigentibus aliquando epota fuerit, has omnes noxas multo graviores afferet, ad quancunque tandem inclinaverit. Quum vero in ejusmodi morbis vehementem capitis gravitatem, aut mentis læsionem suspicatus fueris, a vino penitus abstinendum est; quo in statu aqua utendum, aut vinum aquosum omnino, flavumque exhibendum, ac prorsus inodorum; atque post ipsius potum aquæ exiguum superbibendum: ita enim vini vehementia caput, ac mentem minus feriet.

ἀφαιρέοιτο ἄν. Ἢν μέντοι ἀρήγειν φαίνηται πρὸς τὴν ξύμπασαν νοῦσον, πολλῷ ποτῷ τούτῳ χρέεσθαι· ὀλίγον χρὴ τὸ ὄξος παραχέειν, ὅσον μοῦνον γινώσκεσθαι. Οὕτω γὰρ καὶ, ἃ φιλέει βλάπτειν, ἥκιστα ἂν βλάπτοι· καὶ, ἃ δεῖται προσωφελέειν, προσωφελοίη ἄν. Ἐν κεφαλαίῳ δὲ εἰρῆσθαι, αἱ ἀπὸ ὄξεος ὀξύτητες πικροχόλοισι μᾶλλον, ἢ μελαγχολικοῖσι, συμφέρουσι. Τὰ μὲν γὰρ πικρὰ διαλύεται καὶ ἐκφλεγματοῦται, μετεωριζόμενα ὑπ' αὐτέου· τὰ δὲ μέλανα ζυμοῦται, καὶ μετεωρίζεται, καὶ πολλαπλασιοῦται· ἀναγωγὸν γὰρ μελάνων ὄξος. Γυναιξὶ δὲ τὸ ἐπίπαν [137] πολεμιώτατον, ἢ ἀνδράσιν, ὄξος· ὑστεραλγὲς γάρ ἐστιν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὕδατι ποτῷ ὀλίγον ἀφελοῦνται οἱ ἐν ὀξείῃσι νούσοισιν· καὶ τούτου αἰτίαι.

Ὕδατι δὲ ποτῷ ἐν τῇσιν ὀξείῃσι νούσοισιν, ἄλλο μὲν οὐδὲν ἔχω ἔργον, ὅ, τι προσθέω. Οὔτε γὰρ βηχὸς παρηγορικόν ἐστιν ἐν τοῖσι πλευριτικοῖσι καὶ περιπνευμονικοῖσιν, οὔτε πτυέλου ἀναγωγὸν, ἀλλ' ἧσσον τῶν ἄλλων, εἴτις διὰ παντὸς ὕδατι ποτῷ χρέοιτο· μεσσηγὺ μέντοι ὀξυμέλιτος καὶ μελικρήτου ὕδωρ ἐπιρροφεόμενον, ὀλίγον πτυέλου ἀναγωγόν ἐστι, διὰ τὴν μεταβολὴν τῆς ποιότητος τῶν ποτῶν, πλημμυρίδα γάρ τινα ἐμποιέει· ἄλλως δὲ οὐδὲ δίψαν παύει, ἀλλ' ἐπιπικραίνει· χολῶδες γὰρ φύσει χολώδει, [138] καὶ ὑποχονδρίῳ κακὸν, καὶ κάκιστον ἑωϋτοῦ, καὶ χολωδέστατον, καὶ φιλαδυναμιώτατον, ὅταν ἐς κενειότητα ἐσέλθῃ. Καὶ σπληνὸς δὲ αὐξητικὸν καὶ ἥπατός ἐστιν, ὁκόταν πεπυρωμένον ᾖ, καὶ ἐγκλυδαστικόν τε καὶ ἐπιπολαστικόν· [139] βραδύπορόν τε γάρ ἐστι διὰ τὸ ὑπόψυχρον καὶ ἄπεπτον εἶναι· καὶ οὔτε διαχωρητικὸν, οὔτε διουρητικόν. Προσβλάπτει δέ τι καὶ διὰ τόδε, ὅτι ἄκοπρόν ἐστι φύσει. Ἢν δὲ δὴ καὶ ψυχρῶν ποδῶν ἐόντων ποτὲ ποθῇ, ταῦτα πάντα πολλαπλασίως βλάπτει, ἐς ὅ, τι ἂν αὐτέων ὁρμήσῃ. Ὑποπτεύσαντι μέντοι ἐν ταύτῃσι τῇσι νούσοισιν, ἢ καρηβαρίην ἰσχυρὴν, ἢ φρενῶν 376 ἅψιν, παντάπασιν οἴνου ἀποσχετέον· ὕδατι δὲ ἐν τῷ τιῷδε χρηστέον, ἢ ὑδαρέα καὶ [140] κιῤῥὸν παντελῶς δοτέον οἶνον, καὶ ἄοσμον παντάπασι, καὶ μετὰ τὴν πόσιν αὐτοῦ, ὕδωρ μεταποτέον ὀλίγον· οὕτω γὰρ ἂν ἧσσον τὸ ἀπὸ τοῦ οἴνου μένος ἅπτοιτο τῆς κεφαλῆς καὶ γνώμης. Ἐν

VARIÆ LECTIONES.

137 πολεμιώτερον Imp. Sambuc. verum superlativum pro comparativo apud Hippocratem ponitur; id quod non rarum est. Idem occurrit apud Aretæum de curatione Diuturn. Libr. I. cap. V. pag. m. 124. ἥδε γὰρ ἡ ἀφαίρεσις πολλόν τι ἐπικαιροτάτη τῆς φλεβοτομίης.

138 Pro καὶ ὑποχονδρίῳ, Imp. Sambuci habet, καὶ ἐν τῷ ὑποχονδρίῳ. Deinde pro κενεότητα, MS. cod. Medic. scribit κενεώτατον, *maxime vacuum*, ac postea καὶ τοῦ ἥπατος Imp. Sambuci inserto τοῦ.

139 Pro βραδύπορον, Imp. Sambuci & Fevr. habent βραδύτερον. Ibid. προσβλάπτει δέ τοι Servin. MS, ubi τοι pro τι scribitur, eamque lectionem secutus est Lind.

140 κιῤῥὸν, *fulvum* vinum legit Galen. & ita habet MS. cod. Medic. Verum pleraque exemplaria λευκὸν, *album* legunt, pro κιῤῥόν.

Ἐν οἷσι δὲ μάλιστα αὐτῶν ὕδατι ποτῷ χρηστέον, καὶ ὁκότε πολλῷ κάρτα, καὶ ὅκου μετρίῳ, καὶ ὅκου ψυχρῷ, καὶ ὅκου θερμῷ, τὰ μέν που καὶ πρόσθεν εἰρέαται, τὰ δὲ ἐν αὐτέοισι τοῖσι καιροῖσι ῥηθήσεται. [141] Περὶ δὲ τῶν ἄλλων ποτῶν, οἷον τὸ κρίθινον, καὶ τὰ ἀπὸ χλοίης ποιεύμενα, καὶ τὰ ἀπὸ σαφίδος, καὶ στεμφύλων, καὶ πυρῶν, καὶ κνίκου, καὶ μύρτων, καὶ ῥοιῆς, καὶ τῶν ἄλλων, ὅταν οὖν ἄν τινος αὐτέων καιρὸς ᾖ χρέεσθαι, γεγράψεται [142] παρ' αὐτῷ τῷ νουσήματι, ὅκως τε καὶ τὰ ἄλλα τῶν συνθέτων φαρμάκων.

Sed in quibus maxime ex his morbis aquæ potu utendum sit, & quando copiosissima, & quando moderata, quando frigida, & quando calida, partim quidem antea dictum est, partim vero suo quæque tempore dicetur. At de cæteris potibus, qualis est hordeaceus, & qui ex herba virente, uva passa, vinaceis, tritico, cnico, myrtis, malo punico, & ex aliis parantur, quum horum aliquo uti tempestivum fuerit, in morbo ipso scribetur, ubi & de compositis agetur medicamentis.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Οὔτε πᾶσιν, οὔτε παντάπασιν τοῖς λουτροῖς χρηστέον.

Λουτρὸν δὲ συχνοῖσι τῶν νουσημάτων ἀρήγοι ἂν χρεομένοισιν, ἐς τὰ μὲν ξυνεχέως, ἐς τὰ δὲ οὔ· ἔστι δ' ὅτε ἧσσον χρηστέον, διὰ τὴν ἀπαρασκευασίην τῶν ἀνθρώπων. Ἐν ὀλίγῃσι γὰρ οἰκίῃσι παρεσκεύασται τὰ ἄρμενα, καὶ οἱ θεραπεύοντες ὡς δεῖ· εἰ δὲ μὴ παγκάλως λούοιτο, βλάπτοιτ' ἂν οὐ σμικρά. Καὶ γὰρ σκέπης ἀκάπνου δεῖ, καὶ ὕδατος δαψιλέος, καὶ τοῦ λουτροῦ συχνοῦ, καὶ μὴ λίην λάβρου, ἤν γε μὴ οὕτω δέῃ. Καὶ μᾶλλον μὲν μὴ σμήχεσθαι· ἢν δὲ σμήχηται, θερμῷ χρέεσθαι αὐτέῳ, καὶ πολλαπλασίῳ, ἢ ὡς νομίζεται, σμήγματι· καὶ προσκαταχεῖσθαι μὴ ὀλίγῳ, καὶ ταχέως μετακαταχεῖσθαι. Δεῖ δὲ καὶ τῆς ὁδοῦ βραχείης ἐς τὴν πύελον, καὶ ἐς εὐέμβατον, καὶ ἐς εὐέκβατον. Εἶναι δὲ καὶ τὸν λουόμενον κόσμιον καὶ σιγηλὸν, καὶ μηδὲν αὐτὸν προσεξεργάζεσθαι, ἀλλ' ἄλλους καὶ καταχέειν, καὶ σμήχειν. 34 Καὶ [143] μετακέρασμα πολλὸν ἡτοιμάσθαι, καὶ τὰς ἐπαντλήσιας ταχείας ποιέεσθαι· καὶ σπόγγοισι χρέεσθαι ἀντὶ στελεγγίδος, καὶ μὴ ἄγαν ξηρὸν χρίεσθαι τὸ σῶμα. Κεφαλὴν μέντοι [144] ἀνεξηρανθῆναι χρὴ, ὡς οἷόν τε μάλιστα, ὑπὸ σπόγγου ἐκμασσομένην· καὶ μὴ διαψύχεσθαι τὴν κεφαλὴν, μήτε τ' ἄκρεα, μήτε τὸ ἄλλο σῶμα· καὶ μήτε νεοῤῥόφητον, μήτε νεόποτον λουέσθαι· μήτε ῥοφεῖν, μήτε πίνειν ταχὺ μετὰ τὸ λουτρόν. Μέγα μὲν δὴ μέρος χρὴ νέμειν τῷ κάμνοντι, ἢν ὑγιαίνων εἴη φιλόλουτρος ἄγαν, καὶ εἰθισμένος λούεσθαι. Καὶ γὰρ ποθέουσι μᾶλλον οἱ τοιοίδε, καὶ ὠφελέονται λουσάμενοι, καὶ βλάπτονται μὴ λουσάμενοι. [145] Ἁρμόζει δὲ ἐν

CAPUT V.

Non omnibus, nec semper balneis utendum esse.

Balneum vero plerisque morbis, eo utentibus contulerit, his quidem assidue, his vero minime; interdum vero & eam ob causam balneo minus utendum est, quod id homines non recte parare sciunt. At nisi quis accurate lavetur, plurimum inde damni sentiet. Tecto etenim citra fumum opus est, & copiosa aqua, & frequenti balneo, sed non immoderatius affuso, nisi res ita postulaverit. Et detersione quidem potius minime utendum est: at si detergatur, calido ipso, ac multo copiosiore, quam fieri soleat, detersorio medicamento utendum; multa subinde aqua affundenda est, & protinus (super ægro) diffundenda. Atque via brevi ad solium opus est, tum ad facilem descensum, tum ascensum. Qui lavatur, moderate se componat, ac tacitum esse oportet; ipsumque nihil agere, sed cæteros tum perfundere, tum detergere. Multa quoque aquæ contemperatio paranda est, celeresque perfusiones faciendæ; ac spongiis pro strigili utendum est, neque valde siccum corpus inungendum. Caput spongia detersum, quoad maxime fieri poterit, resiccari oportet; neque caput, neque extrema, neque reliquum corpus refrigerari, ac neque eum qui recens sorbitionem, aut potum sumpsit, lavare oportet, neque statim a balneo sorbere, neque bibere. Enimvero magna pars ægrotanti tribuenda est, si is quum sanitate frueretur, balneo valde oblectatus fuerit, & lavari consueverit. Etenim tales magis appetunt, lotique juvantur, illotique læduntur. Balneum vero pe-

VARIÆ LECTIONES.

141 Ante hæc verba MS. cod. Medic. legit κατὰ ταῦτα δὲ καὶ, omisso sequente δέ.

142 MS. cod. Medic. habet παρ' αὐτῶν τῶν νουσήματων, *in ipsis morbis*.

143 μετακέρασμα apud Hippocr. significat mediam quamdam mixturam aut temperamentum. Ubi Galen. μετακέρασμα, κέρασμα *mixtionem*, ac mixturam simpliciter exponit, additque μετακέρασμα, aut μετὰ κέρασμα legi posse, eadem notione.

144 Omnia prope exemplaria habent ἀνεξηρανθῆναι, *reficcatum* est, quod cum χρὴ sequente, *oportet*, non videtur convenire; potiusque legendum ἀναξηρῆναι *exiccare*, aut ἀναξηρανθῆναι, *reficcari*.

145 ἁρμόζει δὲ περιπνευμονίῃσι καὶ πλευρίτισι μᾶλλον, ἢ ἐν καύσοισι, balneum *vero peripneumonia, & pleuritidi magis, quam ardenti febri, idoneum est*, scribi mavult Galen.

peripneumoniæ magis, quam febribus ardentibus in universum, accomodatum est: etenim lateris, pectoris, ac dorsi dolorem balneum lenit, sputum maturat, educit, ac facilem spirationem reddit, & lassitudines tollit, (quum articulos & cutis superficiem emolliat;) sed & urinas ciet, capitis gravitatem solvit, & nares humectat. Tot igitur commoda balneum affert, quibus omnibus opus est; sin vero apparatus penuria aliqua in una re vel pluribus fuerit, periculum est ne magis lædat balneum, quam prosit; Earum enim unaquæque, nisi a ministris prout oporteat, apparata fuerit, magnam noxam advehit. At quibus alvus in morbis plus æquo liquidior est, eis balneum minime opportunum est; imo neque iis quibus magis quam deceat astricta est, neque prius soluta. Sed neque viribus defectos, lavare oportet, neque ciborum fastidio, aut vomitu jactatos, neque biliosa eructantes; neque quibus sanguis e naribus profluit, nisi minus, quam opportunum sit, fluat (tempus autem nosti) si vero parcius quam pro occasione fluat, lavare convenit, sive universum corpus in cæteris, sive caput solum juverit. Si igitur apparatus idonei fuerint, ægerque feliciter balneum suscepturus sit, quotidie lavare oportet. Quos autem balneum oblectat, eos etiamsi bis die laveris, nihil aberraveris. Tota vero ptisana utentibus multo magis uti balneo licet, quam solo cremore utentibus; licet autem & his interdum; minime vero solo potu utentibus. Sunt autem & ex iis, quibus uti licet; ex præscriptis vero conjiciendum est, tum quibus in singulis victus modis profuturum sit balneum, tum quibus minime. Quibus nanque aliquid eorum maxime deest, quæ balneum bonum efficiunt, & balneo conferunt, lavare oportet; quibus vero nihil horum deest, & adsunt ipsis signa in quibus lavari conducit, lavare oportet.

περιπλευμονίῃσι μᾶλλον, ἢ ἐν καύσοισι, τὸ ἐπίπαν· καὶ γὰρ ὀδύνης τῆς κατὰ πλευρὴν, καὶ στήθεα, καὶ μετάφρενον, παρηγορικόν ἐστι τὸ λουτρὸν, καὶ πτυέλου πεπαντικὸν καὶ ἀναγωγὸν, καὶ εὔπνοον, καὶ ἄκοπον (μαλθακτικόν γὰρ καὶ ἄρθρων, καὶ τοῦ ἐπιπολαίου δέρματος) καὶ οὐρητικὸν δὲ, καὶ καρηβαρίην λύει, καὶ ῥῖνας ὑγραίνει. Ἀγαθὰ μὲν οὖν λουτρῷ τοσαῦτα πάρεστιν, ὧν πάντων δεῖ· ἢν μέντοι τῆς παρασκευῆς ἔνδειά τις ᾖ, ἑνὸς ἢ πλειόνων, κίνδυνος μὴ λυσιτελέειν τὸ λουτρὸν, ἀλλὰ μᾶλλον βλάπτειν. Ἓν γὰρ ἕκαστον αὐτέων μεγάλην φέρει τὴν βλάβην, μὴ παρασκευασθὲν ὑπὸ τῶν ὑπουργῶν, ὡς δεῖ. Ἥκιστα δὲ λούειν καιρὸς τούτοισιν, οἷσιν ἡ κοιλίη ὑγροτέρη τοῦ καιροῦ ἐν τῇσι νούσοισιν· ἀτὰρ οὐδὲ οἷσιν ἐστήκει μᾶλλον τοῦ καιροῦ, καὶ μὴ προεληλύθῃ. Ἀλλ' οὐδὲ τοὺς γεγυωμένους χρὴ λούειν, οὔτε δὴ τοὺς ἀσώδεας, ἢ ἐμετικοὺς οὔτε τοὺς ἐπανερευγμένους χολῶδες, οὔτε τοὺς αἱμοῤῥαγέοντας ἐκ ῥινῶν, εἰ μὴ ἔλασσον τοῦ καιροῦ ῥέοι (τοὺς δὲ καιροὺς οἶδας) ἢν δὲ ἔλασσον τοῦ καιροῦ ῥέοι, λούειν, ἤν τε ὅλον τὸ σῶμα πρὸς τὰ ἄλλα ἀρήγῃ, ἤν τε τὴν κεφαλὴν μοῦνον. Ἢν οὖν αἱ παρασκευαὶ ἔωσιν ἐπιτήδειοι, καὶ ὁ κάμνων μέλλῃ εὖ δέξασθαι τὸ λουτρὸν, λούειν χρὴ ἑκάστης ἡμέρης. Τοὺς δὲ φιλολουτρέοντας οὐδ' εἰ καὶ δὶς τῆς ἡμέρης [146] λούσῃς, οὐκ ἂν ἁμάρτοις. Χρέεσθαι δὲ λουτροῖσι, τοῖσιν ὅλῃσι πτισσάνῃσι χρεομένοισι παραπουλὺ μᾶλλον ἐνδέχεται, ἢ τοῖσι χυλῷ μούνῳ χρεομένοισι· ἐνδέχεται δὲ καὶ τούτοισιν ἐνίοτε, ἥκιστα δὲ καὶ τοῖσι ποτῷ μούνῳ χρεομένοισιν. [147] Ἔστι δ' οἷσι καὶ τουτέων μὲν ἐνδέχεται· τεκμαίρεσθαι δὲ χρὴ τοῖσι προγεγραμμένοισι, οὕς τε μέλλῃ λουτρὸν ὠφελέειν ἐν ἑκάστοισι τῶν τρόπων τῆς διαίτης, οὕς τε μή. Οἷσι μὲν γὰρ προσδέεταί τινος κάρτα τουτέων, ὁκόσα λουτρὸν ἀγαθὸν ποιέει, λούειν, καὶ ὅσα ἂν λουτρῷ ὠφελέηται· οἷσι δὲ τούτων μηδενὸς προσδεῖ, καὶ πρόσεστιν αὐτέοισι τῶν σημείων, ἐφ' οἷσι λούεσθαι ξυμφέρει, δεῖ λούειν.

ΙΠΠΟ-

Variæ Lectiones.

146 λούσῃς, οὐκ ἂν ἁμάρτοις legunt vulgati codd. sed pro ἁμάρτοις, MS. cod. Medic. habet βλάπτοις, *laseris*, quam lectionem secutus est Calvus.

147 Hæc verba in priscis codd. ac in versione prisca superioribus textus verbis conjunguntur, atque id non temere. Postea τεκμαίρεσθαι κ. τ. λ. hæc omnia in antiquis codd. non reperiuntur, ac fortassis non sunt Hippocratis. Charter. in Not. Præterea paulo post legitur in codd. vulgatis: ὁκόσα λουτρὸν ἀγαθὸν ποιέει, οὐ λούειν; sed negativam omissimus cum Imp. Sambuci, hæc enim emendatio pernecessaria erat, eamque adhibuit Mercur. & post eum Lindenus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΔΙΑΙΤΗΣ ΟΞΕΩΝ ΝΟΥΣΗΜΑΤΩΝ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

HIPPOCRATIS DE ACUTORUM MORBORUM VICTUS RATIONE LIBER QUARTUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι

Περὶ τῶν ὀξέων νοσημάτων πολλῶν, καὶ τῶν ἄλλων· περὶ καύσου, συνάγχου, ἀφωνίας, ὑποχονδρίων φλεγμαινόντων, κατάῤῥου, τῆς ἀρτηρίας ἑλκώσεως, τοῦ πνεύμονος καύματος, διαφόρων πυρετῶν, τῆς πλευρίτιδος, περιπνευμονίας, δυσεντερίας, ἰκτέρου, τετάνου, ὕδρωπος, αἱμοῤῥοΐδων, ἐμπύων, καὶ τῶν τούτων συμπτωμάτων, διαφόρων ἀλγημάτων κατὰ τὸν πλευρὸν, τοὺς ὀφθαλμοὺς, καὶ ὀσφὺν, καὶ τ' ἄλλα μόρια, ὧν τὰ διαγνωστικὰ, προγνωστικὰ, καὶ θεραπευτικὰ παραδίδοται.

ARGUMENTUM LIBRI.

De multis morbis acutis, & aliis, de causo, angina, aphonia, præcordiis inflammatis, catarrho, arteriæ ulceratione, pulmonis ardore, diversis febribus, pleuritide, peripneumonia, disenteria, ictero, tetano, hydrope, hæmorrhoidibus, suppuratis, eorumque symptomatis, variis doloribus lateris, oculorum, lumborum, & aliarum partium; quorum diagnostica, prognostica & therapeutica traduntur.

BASIL. GRÆC. pag. 376. FOESIUS SECT. IV. 66. 345. BASIL. LAT. I. 227. 500.



ΚΑΥΣΟΣ [148] δὲ γίνεται, ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία ἐν θερινῇ ὥρῃ ἐπισπάσηται δριμέας καὶ χολώδεας ἰχῶρας ἐς ἑωυτά. Καὶ πυρετὸς πολὺς ἴσχει, τό τε σῶμα, [149] ὥς ὑπ' ὀστεοκόπου ἐχόμενον, κοπιᾷ καὶ ἀλγέει. Γίγνεται δὲ ὡς ἐπιτοπουλὺ καὶ ἐκ πορείης μακρῆς, καὶ δίψεος μακροῦ, ὁκόταν ἀναξηρανθέντα τὰ φλεβία, δριμέα καὶ θερμὰ ῥεύματα ἐπισπάσηται πρὸς ἑωυτά.



AT febris ardens fit, quum resiccatæ venulæ tempore æstivo, acres & biliosos serosos humores ad se attraxerint. Ac febris multa detinet; corpusque velut ossearia lassitudine affectum, laborat, ac dolet. Fit plerunque tum ex longo itinere, tum longa siti, quum arefactæ venulæ acres calidasque fluxiones ad se attraxerint. Fit

VARIÆ LECTIONES.

148 Hoc loco in Imp. Sambuci adscribitur *ἀρχὴ τῶν νόθων*, *principium spuriorum*: & quidem Gal. in hanc quartam, ut ipse dividit, libri hujus partem commentarii sui, exordio proponit suspicionem eorum, qui reliqua non ab Hippocr. scripta fuisse opinati sunt. Ipse autem materiam omnem, ab ipso Hippocrate præparatam, & vel ab aliquo ejus discipulo, vel ab ipso Hippocrate (in quam opinionem magis propendet) literis mandatam fuisse arbitratur; sed multa fuisse interjecta fatetur.

149 *ὥς ὑπ' ὀστεοκόπου* legunt omnia exemplaria. Lindenus vero *ὡς ὑπὸ κόπου* scribit.

Fit vero lingua aſpera, & ſicca, valdeque nigra; partiumque ventris morſu dolet; dejectiones tum liquidæ, tum pallidæ fiunt; ſitis adeſt vehemens, & vigiliæ, atque interdum mentis alienationes. Huic tum aquam, tum mulſam coctam aquoſam, quantum deſideret, potui dato. Quodſi os amarum fuerit, vomere confert, & alvum ſubluere. Verum ſi ad hæc non ſolvatur, cocto aſinino lacte purgato. Salſum autem nihil, neque acre exhibendum; non enim (æger) ſufferet. Sorbitionem vero, antequam extra criſes fuerit, ne dato. Et ſi ſanguis e naribus fluxerit, ſolvitur affectio; itemque ſi ſudores ſupervenerint judicatorii legitimi cum urinis albis craſſiſque, & lævibus ſedimentis. Ac ſi abſceſſus aliquis obortus fuerit. Sin vero abſque his ſolutus fuerit, reverſio morbi rurſum erit, aut coxæ, aut crurum dolor accidet, expuetque craſſa, ſi ſanus futurus ſit. Febris ardentis genus aliud. Alvus ſubducitur; ſitis lingua aſpera, ſicca, ſalſa. Urinæ ſuppreſſio, vigilia, extrema refrigerata. Tali, niſi ſanguis e naribus fluxerit, aut circa collum abſceſſus, aut crurum dolor oboriatur, & (æger) ſputa craſſa expuerit (hæc autem ſuppreſſa alvo contingunt) aut coxæ dolor, aut pudendi livor ſupervenerit, non judicatur; teſticulus quoque intenſus, judicatorius eſt. Sorbitiones dato attractorias. In acutis autem morbis venam ſecabis, ſi morbus vehemens appareat, & qui ægrotant, ætate vigeant, & virium robur ipſis adfuerit. Atenim ſi angina, aut ſiquis alius ex pleuriticis morbus fuerit, medicamentis, quæ diliguntur, repurgato; at ſi imbecilliores appareant, ac plus ſanguinis detraxeris, infuſo in alvum tertio quoque die utendum, donec in tuto æger fuerit, aut etiam fame opus habeat. Tumentia hypochondria non ſpirituum interceptione, ſepti transverſi contenſiones, aut ſpirituum protenſiones, quibus in rectæ cervicis ſpiratione ſicca pus non ſubeſt; ſed a ſpirituum interceptione hæ affectiones ſuccedunt; potiſſimum vero & vehementes jecoris dolores & lienis gravitates, atque aliæ inflammationes, & ſupra ſeptum transverſum dolores, morborumque collectiones ſolvi nequeunt, ſiquis prius medicamentis purgare aggreſſus fuerit; verum in his venæ ſectio princeps remedium eſt; deinde vero clyſteres, niſi vehemens &

Γίγνεται δὲ ἡ γλῶσσα τρηχείη καὶ ξηρὴ, καὶ μέλαινα κάρτα· [150] καὶ τὰ περὶ τὴν νηδὺν δακνόμενος ἀλγέει, τά τε ὑποχωρήματα ἔξυγρα καὶ ὠχρὰ γίγνεται, καὶ δίψαι σφοδραὶ ἔνεισι, καὶ ἀγρυπνίαι, ἐνίοτε δὲ καὶ παραλλάξιες φρενῶν. Τῷ τοιῷδε πίνειν ὕδωρ τε καὶ μελίκρητον ἑφθὸν δίδου ὑδαρὲς, ὁκόσον ἐθέλει. Καὶ ἢν πικρὸν τὸ σόμα γίγνηται, ἐμέειν ξυμφέρει, καὶ τὴν κοιλίην ὑποκλύσαι. Ἢν δὲ μὴ πρὸς ταῦτα λύηται, γάλα ὄνου ἑψήσας κάθαιρε. Ἁλμυρὸν δὲ μηδὲν, μήδε δριμὺ προσφέρειν· ȣ̓ γὰρ ὑποίσει. [151] Ῥοφῆμα δὲ, ἔς ἂν ἔξω τῶν κρισίμων γένηται, μὴ δίδου. Καὶ ἢν αἷμα ἐκ τῶν ῥινῶν ῥυῇ, λύεται τὸ πάθος· καὶ ἢν ἱδρῶτες ἐπιγίγνωνται κριτικοὶ γνήσιοι, μετ᾽ οὔρων λευκῶν καὶ παχέων καὶ λείων ὑφισαμένων. [152] Κἢν ἀπόςημά τι γένηται. Ἢν δ᾽ ἄνευ τούτων λυθῇ, ὑποςροφὴ πάλιν ἔςαι τῆς ἀῤῥωςίης, ἢ ἰσχίων, ἢ σκελέων ἄλγημα ξυμβήσεται· καὶ πτύσεται παχέα, ἢν μέλλῃ ὑγιὴς ἔσεσθαι. Καῦσȣ γένος ἄλλο. Ἡ κοιλίη ὑπάγουσα, δίψης ἐςὶ μεςή· γλῶσσα τρηχείη, ξηρὴ, ἁλυκώδης. [153] Οὔρων ἀπόληψις, ἀγρυπνίη, ἀκρωτήρια ἐψυγμένα. Τῷ τοιούτῳ, ἢν μὴ αἷμα ἐκ ῥινὸς ῥυῇ, ἢ ἀπόςημα περὶ τὸν τράχηλον γένηται, ἢ σκελέων ἄλγημα, καὶ πτύσματα παχέα πτύσῃ (ταῦτα δὲ ξυςάσης τῆς κοιλίης γίνεται) ἢ ἰσχίου ὀδύνη, ἢ αἰδοίου πελίωμα, οὐ κρίνεται· καὶ ὄρχις ἐνταθεὶς, κριτικόν. Ῥοφήματα ἐπισπαςικὰ δίδου. Τὰ δὲ ὀξέα πάθεα φλεβοτομήσεις, ἢν ἰσχυρὸν φαίνηται τὸ νούσημα, καὶ οἱ ἔχοντες ἀκμάζωσι τῇ ἡλικίῃ, καὶ ῥώμη παρῇ αὐτέοισιν. Ἢν μὲν οὖν συνάγχος ᾖ, καὶ ἐκλεικτοῖσιν ἀνακάθαιρε, ἤν τ᾽ ἄλλο τι τῶν πλευριτικῶν· ἢν δὲ ἀσθενέστεροι φαίνωνται, [154] ἢν καὶ πλέον τȣ͂ αἵματος ἀφέλῃς, κλυσμῷ κατὰ τὴν κοιλίην χρέεσθαι διὰ τρίτης ἡμέρης, ἕως ἂν ἐν ἀσφαλείῃ γένοιτο ὁ νοσέων, ἢ καὶ λιμοῦ χρήζοι. Φλεγμαίνοντα ὑποχόνδρια μὴ πνευμά-
36 των ἀπολήψει, φρενῶν ἐντάσιες, ἢ πνευμάτων [155] προτάσιες, ὀρθοπνοίης ξηρῆς, οἷσι μὴ πύον ὕπεισιν, ἀλλὰ ὑπὸ πνευμάτων ἀπολήψιος τὰ παθήματα ταῦτα ὑπογίνεται· μάλιςα δὲ καὶ ἥπατος περιωδυνίαι, καὶ σπληνὸς βαρέα, καὶ ἄλλαι φλεγμασίαι τε καὶ ὑπὲρ φρενῶν περιωδυνίαι τε καὶ ξυςροφαὶ νουσημάτων, ȣ̓ δύνανται λύεσθαι, ἤν τις πρῶτον ἐπιχειρέῃ φαρμακεύειν· ἀλλὰ φλεβοτομίη τῶν τοιῶνδε ἡγεμονικόν ἐςιν· ἔπειτα δὲ ἐπὶ κλυσμῶν, ἢν μὴ μέ- 377

VARIÆ LECTIONES.

150 καὶ περὶ τὴν νηδὺν Imp. Sambuci, omiſſo τά. Poſtea pro σφοδραὶ. idem habetur πολλαὶ, eodem ſenſu.

151 ῥοφήματα δὲ, ἕως ἂν alia ſcribunt exemplaria eodem ſenſu. Deinde pro ῥυῇ, quædam exemplaria ῥέῃ.

152 Alii καὶ ἢν ἀπόςημά που γίνηται ſcribunt.

153 οὔρων ἐπίσχεσις Imper. Sambuc. eodem ſenſu. Paulo poſt ῥοφήματα ἐπισπαςικὰ δίδου, *ſorbitiones dato attractorias.* Horatius Augen. Tom. II. Epiſt. & Conſil. Medic. p. m. 344. exponendum eſſe textum per alimenta ſorbilia, purgantibus mixta, docet.

154 ἢν καὶ πλείω, pro ἢ καὶ πλέον alia exemplaria legunt; & paulo poſt γένοιτο ὁ νόσων eadem habent.

155 Sic legimus cum Galeno, qui Libr. III. περὶ δυσπν. πνευμάτων προτάσιες ex hoc loco adducit. & τὴν διακεκομένην ἐνεργείαν indicari ſcribit, velut hic quoque τὰ προτεταμένα πνεύματα, τὰ οἷον ἐγκεκλειόμενα exponit. Etſi προτεταμένα paſſim legunt omnia exemplaria, quæ προτάσιες, *extenſiones*, etiam ferri poſſe declarant. Deinde ἀλλὰ πνευμάτων ἀπολήψιες Imper. Sambuci & Servin.

μέγα καὶ ἰσχυρὸν τὸ νούσημα ᾖ· εἰ δὲ μὴ, καὶ ὕϛερον φαρμακείης δεῖ. Δέεται δὲ καὶ ἀσφαλείης, καὶ μετριότητος μετὰ φλεβοτομίην φαρμακείη.

37 "Ὁκόσοι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ· τοῦ μὲν ξυντεταμένου καὶ φλεγμαίνοντος, οὐδὲν ἀφαιρέουσιν, οὐ γὰρ ἐνδιδοῖ, ὠμὸν ἐὸν τὸ πάθος· τὰ δ' ἀντέχοντα τῷ νοσήματι, καὶ ὑγιεινὰ, συντήκουσιν. Ἀσθενέος δὲ τοῦ σώματος γιγνομένου, τὸ νούσημα ἐπικρατέει· ὁκόταν δὲ τὸ νόσημα ἐπικρατήσει τοῦ σώματος, τὸ τοιόνδε ἀνιήτως ἔχει.

38 Τὸ δὲ ἄφωνον τινὰ ἐξαίφνης γενέσθαι," φλεβῶν ἀπολήψιες [156] ποιέουσιν, ἢν ὑγιαίνοντι τόδε ξυμβῇ ἄνευ προφάσιος, ἢ ἄλλης αἰτίης ἰσχυρῆς. Φλεβοτομέειν οὖν χρὴ τὸν βραχίονα τὸν δεξιὸν τὴν εἴσω φλέβα, καὶ ἀφαιρέειν τοῦ αἵματος, κατὰ τὴν ἕξιν, καὶ τὴν ἡλικίην διαλογιζόμενον τὸ πλεῖον καὶ τὸ ἔλασσον. Ξυμπίπτει δὲ τοῖσι πλείϛοισιν αὐτέων τοιάδε, ἐρυθήματα προσώπου, καὶ ὀμμάτων ϛάσιες, καὶ διαϛάσιες χειρῶν, τρισμοὶ ὀδόντων, σφυγμοὶ, σιηγόνων συναγωγὴ, καὶ κατάψυξις ἀκρωτηρίων, πνευμάτων ἀπολήψιες ἀνὰ τὰς φλέβας. Ὁκόταν ἀλγήματα προσγένηται, μελαίνης χολῆς, καὶ δριμέων ῥευμάτων ἐπιῤῥύσιες γίνονται. Ἀλγέει δὲ τὰ ἐντὸς δακνόμενα. Δηχθεῖσαι δὲ καὶ λίην ξηραὶ γενόμεναι αἱ φλέβες, ἐντείνονταί τε, καὶ φλεγμαίνουσαι ἐπισπῶνται τὰ ἐπιῤῥυέντα· ὅθεν διαφθαρέντος τοῦ αἵματος, καὶ τῶν πνευμάτων οὐ δυναμένων ἐν αὐτῷ τὰς κατὰ φύσιν ὁδοὺς βαδίζειν, καταψύξιες τε γίνονται ὑπὸ τῆς [157] ϛάσιος, καὶ σκοτώσιες, καὶ ἀφωνίη, καὶ καρηβαρίη, καὶ σπασμοὶ, ἢν ἤδη ἐπὶ τὴν καρδίην, ἢ τὸ ἧπαρ, ἢ ἐπὶ τὴν φλέβα διέλθῃ. Ἔνθεν ἐπίληπτοι γίνονται, ἢ παραπλῆγες, ἢν ἐς τοὺς περιέχοντας τόπους ἐμπέσῃ τὰ ῥεύματα, καὶ ὑπὸ τῶν πνευμάτων οὐ δυναμένων διεξιέναι, καταξηρανθῇ. Ἀλλὰ χρὴ τοὺς τοιούτους προπυριῶντας, φλεβοτομέειν ἐν ἀρχῇσιν εὐθέως, μετεώρων ἐόντων, πάντων τῶν λυπεόντων πνευμάτων καὶ ῥευμάτων· εὐβοηθητότερα γάρ ἐϛι. Καὶ ἀναλαμβάνοντα, καὶ τὰς κρίσιας ἐπιθεωρέοντα φαρμακεύειν, ἢν μὴ κουφίζηται, ἄνω· τὴν δὲ κάτω κοιλίην, ἢν μὴ ὑποχωρέῃ κλυσμῷ· ὄνου γάλα ἑφθὸν δίδου, καὶ πινέτω μὴ ἔλασσον δώδεκα κοτυλῶν· [158] ἢν δὲ δύναμις αὐτὸν περιέχῃ, πλεῖον ἑξκαίδεκα.

39 " Κύναγχος δὲ γίνεται, ὁκόταν ἐκ τῆς κεφαλῆς ῥεῦμα πουλὺ καὶ κολλῶδες, ὥρην χειμερινὴν, ἢ ἐαρινὴν ἐς τὰς σφαγίτιδας [159] φλέβας ἐπιῤῥυῇ, καὶ τὸ ῥεῦμα πλεῖον διὰ τὴν εὐρύτητα ἐπισπάσωνται.

magnus fuerit morbus; ſin minus, etiam poſtea medicamento purgante opus eſt. Quod & poſt venæ ſectionem purgans medicamentum ſecuritate, ac moderatione indiget.

37 Quicunque vero ſtatim per initia morborum, inflammationes purgante medicamento ſolvere conantur, ii de contenta quidem ac inflammata parte nihil detrahunt, quum nihil cedat, quæ adhuc cruda eſt affectio; verum quæ morbo reluctantur, & ſana ſunt, contabefaciunt. At debili evadente corpore, morbus invaleſcit; quum autem morbus corpori prævaluerit, is curationem non admittit.

38 Subitam autem vocis ceſſationem venarum interceptiones faciunt, ſi bene valenti citra occaſionem, aut vehementem aliam cauſam id contigerit. Vena igitur brachii dextri interna ſecanda eſt, ac ſanguis detrahendus, inita ſecundum habitum ac ætatem pluris minoriſque ratione. Horum autem quamplurimis hæc accidunt, faciei rubores, oculorum immobilitates, & manuum diſtentiones, dentium ſtridores, pulſationes, maxillarum contractio, extremarum partium refrigeratio, & ſpirituum in venis interceptiones. Cum dolores acceſſerint, ſanguinis melancholici, acriumque humorum affluxiones fiunt. Demorſæ autem partes internæ dolent. Demorſæ vero & nimis arefactæ venæ, tum diſtenduntur, tum inflammatæ conciunt, colliguntque ea, quæ affluunt: unde corrupto ſanguine, ac ſpiritibus vias, quæ in ipſo ſecundum naturam ſint, permeare nequeuntibus, perfrigerationes fiunt ob ſtabilitatem, vertigines, vocis ceſſatio, capitis gravitas, & convulſiones; ſi jam ad cor, aut hepar, aut ad venam pervenerint. Hinc epilepſiæ, aut partium reſolutiones eveniunt, ſi in ambientes locos fluxiones inciderint, atque ſpiritibus exire nequeuntibus exaruerint. At his ſane, prius adhibitis fomentis, confeſtim per initia venam ſecare oportet, quum adhuc ſublati ſunt, qui vexant omnes, tum ſpiritus, tum fluxiones; facilius etenim remediis patent. Et recreatis viribus, & proſpectis judicationibus, ſi non levetur, venter ſuperior medicamento purgandus eſt; inferior autem alvus, niſi clyſtere ſubducatur, lacte aſinino, quod coctum exhibito, neque minus quam heminas duodecim bibat; atque ſi virium robur ipſi adſit, plusquam ſexdecim.

39 Angina fit, quum ſub hyemem aut vernum tempus multa ac viſcida fluxio e capite ad jugulares venas defluxerit, eæque propter amplitudinem, copioſiorem fluxionem attraxerint.

Variæ Lectiones.

156 Sic Imp. Sambuci quam lectionem e vetuſtis membranis erutam probant Foeſius, Linden. &c. pro vulgato λυπέουσι.

157 Pro ϛάσιος in MS. Servini ſcribitur συϛάσιος, eodem ſenſu.

158 ἢν δὲ ῥώμη quædam exemplaria legunt. eodem ſenſu.

159 Alia exemplaria φλέβας διαῤῥυῇ, αἵ τε πνεῦμα, verum πνεῦμα non probatur. Poſtea pro πάγχυσι τὰ σύνεγγυς, in MS. cod. Medic. legitur πάγχυσι τὰ ἐγγύς.

Quum autem, quod & frigida & viscida sit, obstruat tum spiritus, tum sanguinis vias occludens, vicinas sanguinis partes cogit, ipsumque immobilem ac stabilem efficit, quum frigidus natura sit, & obstruendi vi præditus; ob id suffocantur, livente lingua & rotunda evadente, ac reflexa, propter venas linguæ subjacentes. Nam subsecta uvula, quam nonnulli columellam vocant, vena utrinque crassa apparet; quum igitur hæ oppletæ fuerint, linguæ, quæ ob siccitatem & rara & spongiosa est, innituntur; ea vero præ violentia ex venis humorem accipiens, ex lata, rotunda efficitur; ex bene colorata, livens, ex molli, dura, atque ex facile flexibili, inflexibilis; ita ut cito suffocet, nisi quis celeriter auxilietur, tum facta ex brachiis venarum sectione, tum sectis, quæ sub lingua sunt, venis, & medicamentis linctu medentibus, & calidis oris collutionibus: abraso quoque capite, ceratum tum collo, tum capiti admovendum, & obvolutis lanis, mollibusque spongiis ex aqua calida expressis fotus adhibendi. Aqua etiam, & mulsa non frigida bibenda est; cremor denique assumendus, quum jam ex judicatione in tuto fuerit. Quum vero æstiva vel autumnali tempestate ex capite calida & nitrosa fluxio defluxerit, ut quæ ab anni tempestate tum acris, tum calida sit; quum hujusmodi fuerit, mordet, ulcerat, & spiritu implet, erectæ cervicis spiratio, siccitasque multa accedit, quæ sub conspectum cadunt, gracilia videntur; posteriores quoque cervicis tendones contenduntur, ac velut nervorum distentione corripi videntur: vox quoque abrupta est, ac spiratio parva; spiritusque retractio densa, ac violenta oboritur. His arteria ulceratur, pulmo incenditur, neque externum aerem introducere queunt; at his (affectio) nisi ad exteriores cervicis partes ultro deferatur, gravior ac inevitabilior est, tum propter anni tempus, tum quod a calidis acribusque (fit humoribus.) Si febris prehenderit, veteri stercore non subeunte, aut recenti cibo accepto, sive cum lateris dolore, sive secus; eum quietem agere oportet, donec cibi recrementa primum ad imum ventrem descenderint. Potu autem uti aceto mulso; at quum gravitas ad lumbos devenerit, inferiorem alvum clystere subluito, aut medicamento purgato; quum vero purgatus fuerit, pro victu sorbitionem primum & aquam mulsam; deinde cibaria & elixos pisces præscribere, vinumque aquosum paucum ad noctem, interdiu vero dilutam mulsam.

Ὁκόταν δὲ ψυχρόν τε ἐὸν, καὶ κολλῶδες ἐμφράξῃ, τοῦ τε πνεύματος τὰς διεξόδους καὶ τοῦ αἵματος ἀποφράσσον, πήγνυσι τὰ ξύνεγγυς τοῦ αἵματος, καὶ ἀκίνητον καὶ στάσιμον ποιέει, φύσει ψυχρὸν ἐὸν καὶ ἐμφρακτικόν· 378
διὰ τοῦτο πνίγονται, τῆς γλώσσης ἀποπελιουμένης, καὶ στρογγυλουμένης, καὶ ἀνακαμπτομένης διὰ τὰς φλέβας, τὰς ὑπὸ τὴν γλῶσσαν. Τῆς γὰρ ὑποτεμνομένης σταφυλῆς, οἱ δὲ κιονίδα καλέουσιν, ἑκατέρωθεν φλὲψ παχεῖα· ὁκόταν οὖν πλήρεις αὗται ἐοῦσαι, ἐς τὴν γλῶσσαν ἐναποστηρίζονται, ἀραιὴν ἐοῦσαν καὶ σπογγοειδέα, διὰ τὴν ξηρασίην· ἡ δ' ὑπὸ βίης, τὸ ἐκ τῶν φλεβῶν δεχομένη ὑγρὸν, ἐκ πλατείης μὲν στρογγύλη γίνεται, ἐξ εὐχρόου δὲ πελιδνὴ, ἐκ μαλθακῆς δὲ σκληρὴ, ἐξ εὐκάμπτου δὲ ἄκαμπτος· ὥστε ταχέως ἀποπνίγεσθαι, ἢν μήτις ταχέως βοηθῇ, φλεβοτομίην τε ποιεύμενος ἀπὸ βραχιόνων, καὶ τὰς ὑπὸ τὴν γλῶσσαν φλέβας [160] ὑποτάμνων, καὶ φαρμακεύων τοῖσιν ἐκλεικτοῖσιν, καὶ ἀναγαργαρίζων θερμοῖσι, καὶ τὴν κεφαλὴν ὑποξυρῶν, καὶ κήρωμα τραχήλῳ, καὶ κεφαλῇ περιτιθέναι, καὶ εἰρίοισι περιελίσσειν, καὶ σπόγγοισι μαλθακοῖσιν, ἐν ὕδατι θερμῷ, ἐκπιεζεῦντα πυριῆν. Πίνειν τε ὕδωρ καὶ μελίκρητον, μὴ ψυχρά· χυλὸν δὲ προσφέρειν, ὁκόταν ἐκ κρίσιος ἐν ἀσφαλείῃ ἤδη ᾖ. Ὁκόταν δ' ἐν θερινῇ ἢ μετοπωρινῇ ὥρῃ ἐκ κεφαλῆς θερμὸν τὸ ῥεῦμα καταῤῥυῇ καὶ νιτρῶδες, ἅτε ὑπὸ τῆς ὥρης δριμὺ καὶ θερμὸν γεγενημένον· δάκνει δὲ τὸ τοιόνδε ἐὸν, καὶ ἑλκοῖ, καὶ πνεύματος ἐμπίμπλησι, καὶ ὀρθόπνοια παραγίνεται, καὶ ξηρασίη πολλὴ, καὶ τὰ θεωρεύμενα ἰσχνὰ φαίνεται· καὶ τοὺς ὄπισθεν τένοντας ἐν τῷ τραχήλῳ ξυντείνεται, καὶ δοκέει οἷον τέτανος ἐντετᾶσθαι· καὶ ἡ φωνὴ ἀπέῤῥωγε, καὶ τὸ πνεῦμα σμικρόν· καὶ ἡ ἀντίσπασις τοῦ πνεύματος πυκνὴ, καὶ βιαίη παραγίνεται. Οἱ τοιοίδε τὴν ἀρτηρίαν ἑλκοῦνται, καὶ τὸν πνεύμονα πίμπλανται, οὐ δυνάμενοι τὸ ἔξωθεν πνεῦμα ἐπάγεσθαι· τοῖσι τοιουτέοισι δὲ ἢν μὴ εἰς τὰ ἔξω μέρεα τοῦ τραχήλου ἑκουσίη ἀποφέρηται, δεινοτέρη καὶ ἀφυκτοτέρη ἐστὶ, διά τε τὴν ὥρην, καὶ ὅτι ἀπὸ θερμῶν καὶ δριμέων. [161] Ἢν πυρετὸς λάβῃ, παλαιῆς κόπρου οὐχ ὑπεούσης, ἢ νεοβρῶτι ἐόντι, ἤν τε σὺν ὀδύνῃ πλευροῦ, ἤν τε μὴ· ἡσυχίην ἄγειν, μέχρις οὗ καταβῇ τὰ σιτία πρῶτον ἐς τὴν κάτω κοιλίην. Πόματι δὲ χρέεσθαι ὀξυμέλιτι· ὁκόταν δὲ ἐς τὴν ὀσφὺν βάρος ἥκῃ, κάτω κλύσαι κλυσμῷ, ἢ καθᾶραι φαρμάκῳ· ὁκόταν δὲ καθαρθῇ, διαιτᾶν ῥοφήματι πρῶτον, καὶ πόματι μελικρήτῳ· ἔπειτα σιτίοισι καὶ ἰχθῦσιν ἑφθοῖσι, καὶ οἴνῳ ὑδαρεῖ εἰς νύκτα ὀλίγῳ, ἡμέρῃ δὲ, ὑδαρὲς μελίκρητον. Ὁκό-

VARIÆ LECTIONES.

160 Pro ὑποτεμὼν, Bourdelot. ὑποτάμνων, quæ lectio præcedentibus correspondet, & nos secuti sumus. Alii ὑποταμών. Postea ἐκλεικτοῖσιν scripsimus ex Imp. Sambuci pro ἐγλικτοῖσιν, *attractoriis* seu attrahentibus Bourdelot. ἐλικτοῖσι habet, fortasse melius.

161 Plurima ex iis quæ sequuntur, falsa sunt, manca, obscura, Hippocrate indigna, & de quibus potius divinare, quam conjectari licet. Quod si quædam ex iis veritatem obtineant, pauciora sunt, quum hæc antea clarius dicta sint.

Ὁκόταν δὲ αἱ φῦσαι δυσώδεες ἔωσιν οὕτως, ἢ βαλάνῳ, ἢ κλυσμῷ· εἰ δὲ μὴ, ἐπισχεῖν ὀξύμελι πίνοντα, ἕως ἂν καταβῇ ἐς τὴν κάτω κοιλίην, εἶθ' οὕτως κλυσμῷ ὑπαγαγεῖν. Ἢν δὲ λαπαρῷ ἐόντι καῦσος ἐπιγένηται, ἥν σοι δοκέῃ φαρμακεύειν ἐπιτηδείως ἔχειν, εἴσω τριῶν ἡμερῶν μὴ φαρμακεύειν, [162] ἀλλ' ἢ τεταρταῖον. Ὁκόταν δὲ φαρμακεύσῃς, τοῖσι ῥοφήμασι χρῶ, διαφυλάσσων τοὺς παροξυσμοὺς τῶν πυρετῶν, ὅκως μηδέποτε προσοίσεις ἐόντων, μηδὲ μελλόντων ἔσεσθαι, ἀλλὰ ληγόντων, ἢ παυσαμένων, καὶ ὡς ποῤῥωτάτω ἀπὸ τῆς ἀρχῆς. Ποδῶν δὲ ψυχρῶν ἐόντων, μήτε ποτὸν, μήτε ῥόφημα, μήτ' ἄλλο μηδὲν δίδου τοιόνδε, [163] ἀλλὰ μέγιστον ἡγεῖο τοῦτ' εἶναι διαφυλάσσεσθαι, ἕως ἂν διαθερμανθῇ σφόδρα, εἶθ' οὕτως τὸ ξυμφέρον πρόσφερε. Ὡς γὰρ ἐπιτοπουλὺ σημεῖόν ἐστι μέλλοντος παροξύνεσθαι τοῦ πυρετοῦ, ψύξις ποδῶν· εἰ δὲ ἐν τοιούτῳ καιρῷ προσοίσεις, ἅπαντα τὰ μέγιστα ἐξαμαρτήσεις· τὸ γὰρ νούσημα αὐξήσεις οὐ μικρῶς. Ὁκόταν δὲ ὁ πυρετὸς λήγει, τοὐναντίον οἱ πόδες θερμότεροι γίνονται τοῦ ἄλλου σώματος. Αὔξεται μὲν γὰρ ψύχων τοὺς πόδας, ἐξαπτόμενος ἐκ τοῦ θώρηκος, εἰς τὴν κεφαλὴν ἀναπέμπων τὴν φλόγα· [164] συνδεδραμηκότος δὲ ἄλεος τοῦ θερμοῦ ἅπαντος ἄνω, καὶ ἀναθυμιωμένου ἐς τὴν κεφαλὴν, εἰκότως οἱ πόδες ψυχροὶ γίνονται, ἄσαρκες καὶ νευρώδεες φύσει ὑπάρχοντες· ἔτι δὲ καὶ πολὺ ἀπέχοντες τῶν θερμοτάτων τόπων, ψύχονται, συναθροιζομένου τοῦ θερμοῦ εἰς τὸν θώρηκα. Καὶ πάλιν [165] ἀνάλογον λυομένου τοῦ πυρετοῦ, καὶ κατακερματιζομένου, ἐς τοὺς πόδας καταβαίνει· κατὰ τόνδε οὖν τὸν χρόνον ἡ κεφαλὴ, καὶ ὁ θώρηξ κατέψυκται αὐτέων· εἵνεκεν τουτέου προσαρτέον· ὅτι ὁκόταν οἱ πόδες ψυχροὶ ἔωσι, [166] θερμὴν ἀνάγκη τὴν κοιλίην εἶναι, καὶ πολλῆς ἄσης μεστὴν, καὶ ὑποχόνδριον ἐντεταμένον, καὶ ῥιπτασμὸν τοῦ σώματος διὰ τὴν ἔνδοθεν ταραχὴν, καὶ μετεωρισμὸν γνώμης, καὶ ἀλγήματα, καὶ ἕλκεται, καὶ ἐμέειν ἐθέλει, καὶ, ἢν πονηρὰ ἐμέῃ, ὀδυνῆται. Θέρμης δὲ καταβάσης εἰς τοὺς πόδας, καὶ οὔρου διελθόντος, καὶ ἢν μὴ ἱδρώσῃ, πάντα λωφᾷ· κατὰ τόνδε οὖν τὸν καιρὸν δεῖ τὸ ῥόφημα διδόναι· τότε δὲ, ὄλεθρος. Ὁκόσοισι δὲ διὰ τέλεος ἡ κοιλίη ἐν τοῖσι πυρετοῖσιν ὑγρὴ, τουτέοισι διαφερόντως τοὺς πόδας θερμαίνων, καὶ περιστέλλων κηρώμασι, καὶ ταινιδίοισι περιελίσσων, πρόσεχε, ὅκως μὴ ἔσονται ψυχρότεροι τοῦ λοιποῦ σώματος· θερμοῖσι δ' ἐοῦσι, θέρμασμα μηδὲν πρόσφερε, ἀλλὰ παρατήρει, ὅκως μὴ ψυχθήσονται· πόματι δὲ χρέεσθαι
379 ὡς ἐλαχίστῳ, ὕδατι ψυχρῷ, ἢ μελικρήτῳ.

Quum vero flatus ita graveolentes fuerint, aut glande subdititia, aut alvi infuso (utendum; sin minus, in aceti mulsi potu contineto, donec cibi ad inferiorem alvum descenderint; deinde sic clystere subducito. At si liquidam alvum habenti febris ardens oboriatur, si purgare tibi idoneum esse videatur, intra tres dies ne purgaveris, sed vel quarto. Quum autem purgaveris, sorbitionibus utere, observatis febrium accessionibus, ut nequaquam quum adsunt, neque quum futuræ sunt, exhibeas, sed quum cessant, vel quieverunt, & quam longissime ab eorum initio. Frigentibus autem pedibus, neque potum, neque sorbitionem, neque aliud quicquam hujusmodi dabis. Verum maximum esse ducito, si expectaveris, quousque valde incaluerint; deinde id quod utile est, exhibe: frigus enim pedum plerunque febris accessuræ signum est; at eo tempore siquid exhibueris, maxime per omnia peccaveris; morbum namque non parum auxeris. At quum febris desinit, vice versa pedes reliquo corpore calidiores fiunt; quum enim pedes refrigerat, augetur, & ex thorace accensa, flammam ad caput remittit; at confertim calore universo sursum concurrente, atque ad caput exhalante, merito pedes frigescunt, quum natura excarnes & nervosi sint: præterea & a calidissimis locis multum distantes, refrigerantur, sese colligente ad thoracem calore. Ac rursum eadem ratione, quum febris solvitur, & in minutas partes distribuitur, ad pedes (calor) descendit; hoc igitur tempore caput & thorax refrigerantur: eas ob res (sorbitio) exhibenda; quod quum pedes frigidi fuerint, calidum ventriculum esse necesse est, multoque fastidio plenum, intentum esse hypochondrium, & corporis jactationem propter internam turbationem, mentis abalienationem, & dolores; (æger) vellicatur, vomere cupit, & si prava vomuerit, dolet. At quum calor ad pedes descenderit, urinaque prodierit, etiamsi non sudaverit, omnia cessant; eo igitur tempore sorbitio exhibenda est, alias perniciosa. Quibus autem alvus per febres perpetuo liquida est, his ubi pedes eximie calefeceris, ceratis contexeris, fasciisque obvolveris, animum attende, ne sint reliquo corpore frigidiores; quod si caleant, calefactorium nullum admove, sed cave ne frigescant: potu est utendum quam paucissimo, aqua frigida, aut mulsa.

Variæ Lectiones.

162 Lindenus post hæc verba: ἀλλ' ἢ τεταρταῖον addit ἢ πεμπταῖον, *aut quinto*. Paulo post χρεόμενος legunt vulgati codd. Galenus vero χρῶ.

163 ἀλλὰ μέγιστον ἡγεῖο alia exemplaria, ubi ἡγεῖο pro ἡγεῖο adscribitur. Postea pro διαθερμανθῇ vulgato, alii scribunt διάθερμοι γένωνται.

164 συνδεδραμηκότος δὲ ἄλεος Galeni exempl. ubi ἄλεος pro ἄλεος, eodem sensu scribitur. Deinde pro ἄσαρκες Galeni exempl. habent ἄσαρκοι.

165 Pro ἀνάλογον Imp. Samb. habet ἀναλόγως, eodem sensu.

166 θερμὴν ἀνάγκη τὴν κάτω κοιλίην Aldina exemplaria, & postea pro ἔνδοθεν quidam codd. ἔνδον.

At quibus in febribus alvus liquida eſt, & mens perturbata, & horum multi floccos vellunt, nareſque fodiunt, & parum quidem ad interrogata reſpondent, ipſi vero per ſe nihil compoſitum dicunt; ſane talia mihi melancholica eſſe videntur. His autem ita ſe habentibus, ſi alvus liquida fuerit, & colliqueſcens; ſorbitiones frigidiores & craſſiores exhibendæ mihi videntur, & potiones, quæ alvum ſiſtant, vinoſiores potius, quam aſtringentes. Quibus autem per febres ab initio tum vertigines, tum capitis pulſationes fiunt, ac urina tenuis, in his dum ad criſes febris exacerbetur, expectandum eſt; neque ſi delirarent, mirarer. At quibus principio urinæ nebuloſæ, aut etiam craſſæ ſunt, hos, ſi cætera quoque conferant, ſubpurgare oportet; quibus vero urinæ inter initia tenues, eos ne purgato; ſed ſi videatur, alvum ſublue. Hos ita curare confert. Corpus quieti conciliare, ungere, & æqualiter contegere oportet; at pro potu mulſa aquoſa uti, & in ſorbitione cremore hordei ad veſperam; alvum ab initio ſubluito, ſed his purgantia medicamenta ne exhibeto. Siquid enim circa ventrem commoveris, urina non concoquitur, ſed febris ſine ſudore, & judicatione, diu perdurabit. Sorbitiones autem, quum prope judicationes fuerint, ne dederis, ſi perturbetur; ſed quum (turbatio) remiſerit, reſque in melius proceſſerit. Omnium autem febrium judicationes obſervandæ ſunt, atque eo tempore ſorbitiones detrahendæ. Hæ vero febres longæ fieri conſueverunt, & abſceſſus habere circa aures & cervicem, ſi quidem infernæ partes frigidæ fuerint; quod ſi frigidæ non fuerint, alias habent mutationes. Fluit autem & ſanguis e naribus, & his alvi exturbantur. Quibuſcunque vero febres anxioſæ ſunt, & hypochondria contendunt, quique decumbentes eodem in loco ſtare nequeunt, & extremis omnibus frigeſcunt, hi maximam diligentiam & cuſtodiam requirunt; eos autem ſic degere oportet, ut non niſi acetum mulſum dilutum exhibeas, neque ſorbitionem offeras, donec (febris) deſierit, & urina concocta fuerit. Decumbere autem in conclavi obſcuro (debent) & in ſtratis quam molliſſimis reclinati, longo tempore eundem decubitum perferre, & quam minime ſeſe jactare; id enim eos maxime juvat. Supra vero hypochondrium lini ſemen illitum admove, cavendo ne inhorreſcat (æger) quum apponitur; ſit autem ſumme tepidum,

Ὀκόσοισι δὲ ἐν πυρετοῖσί κοιλίη ὑγρὴ, καὶ γνώμη τεταραγμένη, καὶ οἱ πολλοὶ τῶν τοιουτέων τὰς κροκίδας ἀφαιρέουσι, καὶ τὰς ῥῖνας σκάλλουσι, καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον, αὐτοὶ δὲ ἀφ᾽ ἑωϋτῶν οὐδὲν λέγουσι κατηρτημένον· δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. [167] Ἢν δὲ τῶν τοιῶνδε ἐόντων, ἢν ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ συντήκῃ, δοκέει μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα προσφέρειν, καὶ τὰ πόματα ςατικὰ καὶ οἰνωδέςερα, ἢ καὶ ςυπτικώτερα. Ὀκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ᾽ ἀρχῆς, καὶ σφυγμοὶ κεφαλῆς εἰσὶ, [168] καὶ οὖρον λεπτὸν, τουτέοισι δεῖ προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνόμενον τὸν πυρετόν· οὐ θαυμάσαιμι δ᾽ ἂν, οὐδ᾽ εἰ παραφρονήσειαν. Οἷσι δ᾽ ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα, ἢ καὶ παχέα, τοὺς τοιούσδε ὑποκαθαίρειν, ἢν καὶ τ᾽ ἄλλα ξυμφέρῃ· ὁκόσοισι δὲ ἐν ἀρχῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούτουσδε· ἀλλ᾽ ἢν δοκέῃ κλύσαι. Τούτους ξυμφέρει, οὕτως θεραπεύεσθαι. Τῷ σώματι ἡσυχίην [169] ἄγοντα, ἀλείφοντά τε καὶ περιςέλλοντα ὁμαλῶς· ποτῷ δὲ χρέεσθαι μελικρήτῳ ὑδαρεῖ, καὶ ῥοφήματι χυλῷ πτισσάνης ἐς ἑσπέρην· κοιλίην δ᾽ ὕπαγε κατ᾽ ἀρχὰς κλυσμῷ, φάρμακα δὲ μὴ πρόσαγε τούτοισιν. Ἢν γάρ τι κινήσῃς κατὰ κοιλίην, τὸ οὖρον οὐ πεπαίνεται, ἀλλ᾽ ἀνιδρώς τε καὶ ἄκριτος ὁ πυρετὸς ἐπὶ πολὺν χρόνον ἔςαι. Τὰ δὲ ῥοφήματα, ὁκόταν τῶν κρίσεων ἐγγὺς ᾖ, μὴ δίδου, ἢν θορυβῆται· ἀλλ᾽ ὁκόταν ἀνῇ καὶ ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον. Φυλάσσεσθαι δὲ χρὴ καὶ πάντων τῶν πυρετῶν τὰς κρίσιας, καὶ ἀφαιρέειν τὰ ῥοφήματα κατὰ τοῦτον τὸν καιρόν. [170] Μεμαθήκασι δὲ μακροὶ οἱ πυρετοὶ οἵδε γίγνεσθαι, καὶ ἀποςήματα ἴσχειν, ἢν μὲν τὰ κάτω ψυχρὰ ᾖ, περὶ ὦτα καὶ τράχηλον· ἢν δὲ μὴ ψυχρὰ ᾖ, ἄλλας ἴσχειν μεταβολάς. Ῥέει δὲ καὶ αἷμα ἐκ ῥινῶν, καὶ αἱ κοιλίαι τοῖσι τουτέοισιν ἐκταράσσονται. Ὀκόσοισι δὲ πυρετοὶ ἀσώδεές εἰσι, καὶ ὑποχόνδρια συντείνουσι, καὶ κεκλιμένοι οὐκ ἀνέχονται ἐν τῷ αὐτέῳ, καὶ τὰ ἄκρεα ψύχονται πάντα, πλείςης ἐπιμελείης καὶ φυλακῆς δέονται· διάγειν δὲ τούτοισι προσφέροντας μηδὲν ἄλλο ἢ ὀξύμελι ὑδαρές· ῥόφημα δὲ μὴ πρόσφερε, ἕως ἂν λήξῃ, καὶ οὖρον πεπανθῇ. Κατακλίνειν δὲ εἰς ζοφερὰ οἰκήματα, καὶ κατακεκλίσθαι ὡς ἐπὶ μαλθακωτάτοισι ςρώμασι, πολὺν χρόνον ἐπὶ τὰ αὐτὰ καρτεροῦντα, καὶ ὡς ἥκιςα ῥιπτάζειν· μάλιςα γὰρ τοῦτο τοὺς τοιούσδε ὠφελέει. Ἐπὶ δὲ τὸ ὑποχόνδριον, λίνου σπέρμα ἐγχρίων ἐπιτίθει, φυλασσόμενος, ὅκως μὴ φρίξῃ προσιθέμενος· ἔςω δὲ ἀκροχλίαρον, ἑφθὸν

VARIÆ LECTIONES.

167 ὅταν κατῶνδε ἐόντων omnia exemplaria: alia exempl. ἢν δὲ τῶν τοιῶνδε ἐόντων. Deinde pro ςαλτικὰ, Imp. Sambuci ςατικὰ habet, & quidem recte ex interpretum mente. ἀςακτικὰ Aſulanus cod.

168 καὶ οὖρον λεπτὸν, τουτέοισι προσδέχεσθαι omiſſo δεῖ, ſcribunt vulgati codd.

169 ἄγοντας, ἀλείφοντας, περιςέλλοντας ſcribit Serv. ex MSS. codd.

170 μεμαθήκασι exponit Erotianus εἰώθασι, *conſueverunt.* Ibidem ἀποσκήμματα, *humorum decubitus* habet Aſul. cod. nec male, pro ἀποςήματα: verum interdum unum & idem eſt.

ἑφθὸν ὕδατι καὶ ἐλαίῳ. Τεκμαίρεσθαι δὲ ἐκ τῶν οὔρων, τὸ μέλλον ἔσεσθαι· ἢν μὲν γὰρ παχύτερα καὶ ὠχρότερα ᾖ, βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. Ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνον τε σημαίνει, [171] καὶ ἀνάγκη τῷ νουσήματι μεταβάλλειν καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίην. Τοὺς δὲ ἀκαταστάτους τῶν πυρετῶν, ἐᾷν μέχρις ἂν καταστῶσιν· ὁκόταν δὲ στῶσιν, ἀπαντῆσαι διαίτῃ καὶ θεραπείῃ τῇ προσηκούσῃ, κατὰ φύσιν θεωρέων. Εἰσὶ δὲ ὄψιες πολλαὶ τῶν καμνόντων· διὸ προσεκτέον τῷ ἰωμένῳ, [172] ὅκως μὴ διαλήσεταί τις τῶν προφάσιωνι· μήτε τῶν κατὰ λογισμὸν, μήτε ὁκόσαι εἰς ἀριθμὸν ἄρτιον, ἢ περισσὸν δεῖ φανῆναι. Μάλιστα μὲν, ὧν δεῖ, τὸν περισσὸν ἀριθμὸν εὐλαβέεσθαι, ὡς αὗται αἱ ἡμέραι ἑτεροῤῥεπέας ποιέουσι τοὺς κάμνοντας. Φυλάσσεσθαι οὖν δεῖ τὴν πρώτην ἡμέρην, ἐν ᾗ ἦρκται ἀσθενέειν ὁ κάμνων, ἰδόντα τὴν ἀρχὴν, ἐξ ὅτου καὶ ὅτε· ἡγέεται γὰρ τοῦτο τὸ πρῶτον εἰδῆσαι. Ὁκόταν δὲ ἔρῃ αὐτὸν, καὶ διασκέψῃ ταῦτα πάντα, πρῶτον μὲν κεφαλὴν, ὅκως ἔχῃ, εἰ ἀνάλγητος, καὶ μὴ βάρος ἔχῃ ἐν ἑωϋτῇ· ἔπειτα ὑποχόνδρια, καὶ τὰ πλευρὰ, [173] εἰ ἀνάλγητα. Ὑποχόνδριον μὲν γὰρ εἰ ἐπίπονόν ἐστιν, ἢ ἐπηρμένον, ἢ ἔχει τινὰ σκολιότητα, ἢ κόρον, ἢ πλευροῦ ἀλγηδὼν ἐνῇ, καὶ ἅμα τῷ ἀλγήματι, ἢ βηχίον, ἢ στρόφος, ἢ πόνος κοιλίης· ὁκόταν δὲ τι τουτέων παρῇ ἐν ὑποχονδρίῳ μὲν, μάλιστα λύειν τὴν κοιλίην κλυσμοῖσι· πινέτω δὲ μελίκρητον θερμὸν ἀφηψημένον. Καταμανθάνειν δὲ καὶ ἐν τῇσιν ἐξαναστάσεσιν, εἰ λειποθυμέῃ, καὶ εἰ τοῦ πνεύματος εὐφορίη αὐτὸν ἔχει. Ἰδεῖν δὲ καὶ διαχώρησιν, μήτε μέλαν ἰσχυρῶς διεχώρησεν χρῶμα, καὶ εἰ καθαρὸν, ὁκοῖα ὑγιαίνοντος ἂν εἴη διαχωρήματα· καὶ ὁ πυρετὸς εἰς τὴν τρίτην ἐπιπαροξυνόμενος. Κατιδὼν δὲ εὖ μάλα τοὺς τοιούσδε ἐν ταύτῃσι τῇσι νούσοισι τριταίους, πρὸς ταῦτα ἤδη καὶ τὰ ἄλλα συνορέειν· καὶ ἢν ἡ τετάρτη τῇ τρίτῃ ἡμέρῃ ὅμοιον ἔχῃ τὶ τῶν αὐτῶν τουτέων, κινδυνώδης ὁ κάμνων γίγνεται. Τὰ δὲ σημεῖα, ἡ μὲν μελαίνη διαχώρησις θάνατον σημαίνει· ἡ δὲ ὁμοίη τῷ ὑγιαίνοντι, [174] ὁκόταν ἀνὰ πάσας τὰς ἡμέρας φαίνηται, σωτήριον. Ὁκόταν δὲ μὴ ὑπακούῃ τῇ βαλάνῳ, ἐνῇ δὲ τοῦ πνεύματος εὐφορίη, διαναστὰς ἐπὶ τὸν θρόνον, ἢ αὐτοῦ ἐν τῇ κλίνῃ ἢν ἀψυχίη ἐνῇ· ταῦτα δὲ ὁκόταν προσῇ τῷ κάμνοντι, ἢ τῇ καμνούσῃ κατ᾽ ἀρχὰς, παραφροσύνην οἴου προσδέχου ἐσομένην.

ex aqua & oleo coctum. Conjectare vero oportet ex urinis, quid futurum ſit; ſi namque craſſiores pallidioresque fuerunt, meliores: ſi vero tenuiores & nigriores, deteriores. Si autem mutationes habeant, temporis diuturnitatem indicant; morbusque neceſſario tum ad deterius, tum ad melius commutat inæqualitatem. Inconſtantes vero febres, donec conſtent, ſinere oportet: quum autem conſtiterint, victu & curatione convenienti occurrere, facta ſecundum naturam ſpeculatione. Sunt autem facies ægrotantium multæ: quare medenti animadvertendum eſt, ne aliqua ipſum manifeſta cauſa lateat; neque earum quæ ratiocinatione cognoſcuntur, neque earum quas die pari aut impari apparere oportet. Maxime igitur numerus impar verendus eſt; quod hi dies in alterutram partem ægrotos inclinare faciant. Obſervare itaque oportet primum diem, quo æger debilis eſſe cœpit, cognito principio ex quo, & quando; id enim noſſe præcipuum exiſtimatur. Quum autem ipſum interrogaveris, etiam hæc omnia conſiderabis, imprimis quidem, quomodo caput habeat, an dolore vacet, neque gravitatem in ſe habeat; deinde an hypochondria, lateraque dolore careant. Si videlicet hypochondrium doleat, aut attollatur, aut obliquitatem aliquam habeat, aut ſatietatem, aut lateris dolor affuerit, ſimulque cum dolore aut tuſſicula, aut tormina, aut ventris dolor; quum autem horum quicquam hypochondrio adfuerit, alvum potiſſimum per clyſterem ſolvere oportet; bibat autem mulſam calidam coctam. Sed & perdiſcendum, an in exurrectionibus defectu animi corripiatur, & an ſpiritum facile ducat. Inſpicienda quoque alvi dejectio, num vehementer atro colore prodierit, an ſincera, quales ſunt ſanorum dejectiones, & an tertio die exacerbetur febris. Ubi autem hujusmodi tertianos circuitus in his morbis probe admodum inſpexeris, præterea jam & alia conſideranda ſunt; & ſi quartus dies tertio quicquam his in ipſis ſimile habuerit, æger in periculo verſatur. Ex ſignis autem, nigra dejectio mortem ſignificat; quæ vero ſani dejectioni ſimilis eſt, ubi per omnes dies apparuerit, ſalutaris. Quum autem alvus glandi ſubditæ non ceſſerit, & facilis ſpiratio affuerit, ſurgensque æger ad ſedem, aut in ipſo lecto animi defectu corripiatur; quum hæc ægro, aut ægræ inter initia affuerint, delirium affore expecta.

Q 3 Mens

VARIÆ LECTIONES.

171 Aldina exemplaria habent, *καὶ ἀνάγκη τῷ σώματι.* Ibidem *εἶτα δὲ στῶσι* ſcribit Imp. Sambuci, ubi *εἶτα* pro *ὁκόταν* habetur.

172 *ὅκως μὴ διαλύσηταί τις* legunt Aldina exempl. Imp. Sambuci *διαλύσηταί τι.* Servin. *διαλησηταί τι*, hancque lectionem adhibuit Lind. Paulo poſt *ἑτερορροπέας* Lind. pro *ἑτεροῤῥεπέας.*

173 *εἰ τὰ μὲν ἀνάλγητα, τὰ δὲ ἐπίπονα, ἢ ἐπηρμένα* MS. Servini. Alii *εἰ ἀνάλγητα ὑποχόνδριον μὲν, εἰ ἐπίπονον ᾖ, ἢ ἐπηρμένον.* Paulo poſt *ἀλγήματι μὴ βηχίον* negative habet Imp. Sambuci.

174 *Ὁκόταν ἀνὰ* non habet Lindenus, ſed pro *ἡ ὁμοίη τῷ ὑγιαίνοντι, κ. τ. λ.* ut & alii codd. habet: *ἢν δὲ ὁμοίη τῷ ὑγιαίνοντι κ. τ. λ.* quo caſu poſſunt abeſſe verba *ὁκόταν ἀνὰ*, quæ deſunt in multis exemplaribus. Deinde pro *σωτήριον* Imp. Sambuci *ὑγιεινόν*. alii *σωτηρίην.*

Mens vero manibus quoque adhibenda est; nam si tremulæ fuerint, huic sanguinis e naribus destillationem futuram expecta. Inspicere vero ipsas quoque nares oportet, an per utrasque spiritus æqualiter trahatur; & si multus e naribus fertur, convulsio fieri assolet; si vero convulsio fiat, huic mors expectanda est, & bene habet, si quis prædicat. At si in febre hyberna, lingua aspera fiat, adsintque animi defectus, huic etiam remissio febris contingere consuevit; verumtamen eum summa inedia curare oportet, & aquæ, ac mulsæ potione, ptisanæque cremore conservato nihil febris remissioni fidens, quod hujusmodi signa habentes, in mortis periculo versentur. Quum autem hæc cognoveris, optimeque contemplatus fueris, ita fore, si lubeat tibi, prædicendum. Quum autem in febribus quinto die quid terrificum contigerit, aut alvus repente liquida dejecerit, & animi defectus inciderit, aut vocis suppressio prehenderit, aut convulsio vel singultus evenerit, ex his jactari æger consuevit, & sudores sub naso, & circa frontem, ac cervicem posteriore capitis parte suboriri; at qui hæc patiuntur, suspiriosi non multo post intereunt. Quibus autem per febres crura scatent tuberculis, quæ diu immorantia, febribus etiamnum perseverantibus non maturantur, faucibusque irruit suffocatio, quum nullus tumor in faucibus, neque tubercula maturuerint, sed extincta fuerint, iis sanguis e naribus fluere consuevit; qui si copiosus fluxerit, morbi solutionem portendit; sin minus, longitudinem: quo vero parcius fluxerit, eo deterius, & diuturnum. Quod si & cætera facillima fuerint, huic dolores ad pedes expectandi: qui si pedem attigerint, isque dolere perseveret, inflammetur, & non levetur; dolores paulatim ad cervicem pervenient, & ad claviculam, ad humerum, ad pectus, & ad articulum; huncque tuberculosum fieri oportebit. His vero extinctis, si manus contrahantur, vel tremulæ fiant, eum convulsio prehendit, ac delirium; quin etiam in superciliis pustulas ferventes, & rubores habet, & palpebra altera ad alteram pergerminat, dura tenet inflammatio, tumet vehementer oculus, & delirium valde increscit; at noctes magis, quam dies, delirii significationem præbent. Multa vero signa ad numerum imparem magis, quam parem, contingunt:

Προσέχειν δὲ χρὴ καὶ τῇσι χερσίν· ἢν γὰρ τρομεραὶ ἔωσι, [175] προσδέχου τῷ τοιῷδε ἀπόςασιν αἵματος ἐκ ῥινῶν ἐσομένην. Ὁρῆν δὲ χρὴ αὐτοὺς τοὺς μυκτῆρας, ἢν ὁμοίως τὸ πνεῦμα δι' ἀμφοτέρων ἕλκηται· καὶ ἢν πολὺ φέρηται ἐκ τῶν μυκτήρων, φιλέει γίνεσθαι σπασμός· ἢν δὲ σπασμὸς γένηται, τῷ τοιῷδε [176] θάνατος προσδόκιμος, καὶ καλῶς ἔχει προλέγειν. Ἢν δὲ ἐν πυρετῷ χειμερινῷ, ἡ γλῶσσα τρηχείη γένηται, καὶ ἀψυχίαι ἐνέωσι, φιλέει τῷ τοιῷδε καὶ ἐπάνεσις εἶναι τοῦ πυρετοῦ· ἀλλ' ὅμως τὸν τοιόνδε παραφυλάσσειν τῇ λιμοκτονίῃ, καὶ τῇ ὑδατοποσίῃ, καὶ μελικρήτου πόσει, καὶ χυλοῖσι [177] παραφυλάσσε· μηδὲ πιςεύων τῇ ἀνέσει τῶν πυρετῶν, ὡς οἱ τὰ τοιάδε ἔχοντες σημεῖα, ἐπικίνδυνοί εἰσι θνήσκειν. Ὁκόταν δὲ ταῦτα συνειδῇς, οὕτω προλέγειν, ἤν σοι ἀρέσκῃ, θεωρήσας εὖ μάλα. Ὁκόταν δ' ἐν πυρετοῖσι φοβερόν τι γένηται πεμπταίοισιν ἐοῦσιν, [178] ἢ κοιλίη τε ἐξαίφνης ὑγρὰ διαχωρήσει, καὶ ἀψυχίη γένηται, ἢ ἀφωνίη ἐπιλάβῃ, ἢ σπασμώδης γένηται, ἢ λυγμώδης, ἐπὶ τούτοισι καὶ ἀσώδης φιλέει γενέσθαι, καὶ περὶ [179] ὑπορίνιον καὶ μέτωπον ἱδρῶτες, καὶ αὐχένα ὄπισθεν τῆς κεφαλῆς· οἱ δὲ ταῦτα πάσχοντες, θνήσκουσι πνευματωθέντες οὐκ εἰς μακρόν. Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ σκέλεα γίγνεται φυματώδεα, καὶ ἐγχρονιζόμενα, μὴ ἐκπεπαίνηται, ἔτι ἐόντων ἐν πυρετοῖσι, καὶ προσπέσῃ πνιγμὸς ἐν φάρυγγι, ἰσχνῶν ἐόντων τῶν περὶ φάρυγγα, [180] καὶ μηδὲ πεπαίνηται, ἀλλὰ σβεσθῇ, φιλέει τῷ τοιῷδε, αἷμα ἐκ τῶν ῥινῶν ῥέειν· κἢν μὲν πολὺ ῥυῇ, λύσιν σημαίνει τῆς νούσου· ἢν δὲ μή, μακρήν· ὁκόσῳ δ' ἂν ἔλασσον ῥυῇ, τοσῷδε χεῖρον, [181] καὶ ἐπίμηκες. Ἢν δὲ τἄλλα ῥήϊςα γένηται, προσδέχεσθαι τῷ τοιῷδε ἐς πόδας ἀλγήματα· ἢν δὲ ἅψηται τοῦ ποδὸς, καὶ ἐπώδυνος γενόμενος παραμένει, πυριφλεγὴς γενόμενος, καὶ μὴ λυθῇ, κατὰ σμικρὸν ἥξει καὶ ἐς αὐχένα ἀλγήματα, καὶ ἐς κληΐδα, καὶ ἐς ὦμον, καὶ ἐς ςῆθος, καὶ ἐς ἄρθρον, καὶ τοῦτο δεήσει φυματῶδες γενέσθαι. Σβεννυμένων δὲ τούτων, ἢν αἱ χεῖρες ἑφέλκωνται, ἢ τρομεραὶ γένωνται, σπασμὸς τὸν τοιόνδε ἐπιλαμβάνει, καὶ παραφροσύνη· ἀτὰρ καὶ φλυζάκια ἐπὶ τὴν ὀφρὺν, καὶ ἐρυθήματα ἴσχει, καὶ βλέφαρον τὸ ἕτερον παρὰ τὸ ἕτερον παραβλαςάνει, καὶ σκληρὴ φλεγμονὴ κατέχει, καὶ οἰδέει ἰσχυρῶς ὁ ὀφθαλμὸς, καὶ παραφροσύνη μέγα ἐπιδιδοῖ· αἱ δὲ νύκτες μᾶλλον ἐπισημαίνουσιν, ἢ αἱ ἡμέραι, τὰ περὶ τὴν παραφροσύνην. Τὰ δὲ σημεῖα μάλιςα γίνεται πολλὰ ἐπὶ τὸν περισσὸν ἀριθμὸν, ἢ ἐπὶ τὸν ἄρτιον· ὁκο-

VARIÆ LECTIONES.

175 *προσδέχου τῷ τοιῷδε ἀπόςασιν* omnia exemplaria; sed in Imp. Sambuci legitur *προσδέχου ἀπόςασιν*, omissis *τῷ τοιῷδε*.

176 Pro *θάνατος προσδόκιμος*, *mors expectanda*. Imp. Sambuci habet *ἐπακολουθήσει θάνατος*, *insequetur mors*.

177 *παραφυλάσσειν* alii codd. & pro *ὡς οἱ*, alii legunt *ὅσοι δέ*. Deinde *ὁκόταν δὲ τοιαῦτα* Imper. Sambuci eodem sensu.

178 Imp. Sambuci legit *ἢν ἡ κοιλίη*; hancque lectionem habent vulgati codd. prætermisso articulo *ἡ*.

179 Pro *ὑπορίνιον*, Lind. & Servin. habent *ὑποῤῥίνιον*, quod Polluci exponitur, *μύσταξ*, *προπωγώνιον*, *πρώτη βλάστησις αἱ ὑπὸ τῇ ῥινὶ τρίχες*.

180 *καὶ μηδὲ πεπαίνηται* omisit Lindenus, & postea *καὶ μὴ σβεσθῇ* habet. *ἀλλὰ μηδὲ σβεσθῇ*, *sed nec extincta sint*, legunt codd. quidam; quam lectionem sequitur Calvus. Nos Galenum probavimus.

181 *καὶ μῆκος*, pro *καὶ ἐπίμηκες*, quidam Codd.

ὁκοτέρῳ δ' ἂν τούτων τῶν ἀριθμῶν γίνηται, ὀλέθριοι ἐπιγίνονται. Τοὺς τοιούτους δὲ, ἢν μὲν ἐξ ἀρχῆς φαρμακεύειν προαιρῇ, πρὸ τῆς πέμπτης, ἢν βορβορύζῃ ἡ κοιλίη· ἢν δὲ μὴ, ἐᾶν ἀφαρμακεύτους εἶναι· ἢν δὲ διαβορβορύζῃ, καὶ τὰ ὑποχωρήματα χολώδεα ᾖ, [182] σκαμμωνίῳ ὑποκάθαιρε μετρίως. Τῇ δὲ ἄλλῃ θεραπείῃ, ὡς ἐλάχιστα προσφέρειν ποτὰ καὶ ῥοφήματα, ἵνα βελτιόνως ἔχῃ, ἢν μὴ ὑπερβῶσι τὴν τεσσαρεσκαιδεκάτην, ἐπανέντες. Ὁκόταν πυρέσσοντι τεσσαρεσκαιδεκαταίῳ ἐόντι ἀφωνίη προσγένηται, οὐ φιλέει ἥκειν λύσις ταχείη, οὐδ' ἀπαλλαγὴ τοῦ νοσήματος γίγνεσθαι, ἀλλὰ χρόνον τῷ τοιῷδε σημαίνει· ὁκόταν δὲ φανῇ ἐπὶ τῇ ἡμέρῃ ταύτῃ, μακρότερον ξυμπίπτει. Ὁκόταν δὲ πυρέσσοντι τεταρταίῳ, ἡ γλῶσσα ἐκτεταραγμένα [183] διαλέγηται, καὶ ἡ κοιλίη χολώδεα ὑποχωρέει ὑγρὰ, φιλέει παραληρεῖν ὁ τοιόσδε· ἀλλὰ χρὴ παραφυλάσσειν παρεπόμενον τοῖσιν ἀποβαίνουσι. Θερινῆς καὶ μετοπωρινῆς ὥρης ἐπὶ τῶν ὀξέων, αἵματος ἀπόσταξις ἐξαπίνης, συντονίην καὶ πολλὴν φλεγμασίην κατὰ τὰς φλέβας δηλοῖ, καὶ ἐς τὴν ὑσεραίην λεπτῶν οὔρων ἐπιφάσιας· καὶ, ἢν ἀκμάζῃ τῇ ἡλικίῃ, καὶ τὸ σῶμα ἐκ γυμνασίων, ἢ εὐσαρκώσιος ἔχῃ, ἢ μελαγχολικὸς, ἢ ἐκ πόσιος χεῖρες τρομεραὶ, καλῶς ἔχει παραφροσύνην προειπεῖν, ἢ σπασμόν. Κἢν μὲν ἐν ἀρτίῃσιν ἐπιγένηται, βέλτιον· ἐν κρισίμῃσι δὲ, ὀλέθριον· ἢν μὴ πουλὺ ἅλις [184] ἀποσσυθὲν αἷμα ἐξόδους ποιήσηται τῆς πλεονεξίης κατὰ τὰς ῥῖνας, ἢ καθ' ἕδρην, ἢ ἐμπυήσεις, ἢ μεταστάσεις, ἢ ἀποστάσεις, ἢ πόνους τῶν ὑποχονδρίων, ἢ ἐς ὄρχιας, ἢ ἐς σκέλεα· πεφθέντων δὲ τουτέων, ἔξοδοι γίγνονται πτυσμῶν, καὶ παχέων οὔρων, ἢ λείων, λευκῶν. Πυρετῷ λυγγώδει ὀπὸν σιλφίου, ὀξύμελι, δαῦκον τρίψας πιεῖν δίδου, καὶ χαλβάνην ἐν μέλιτι, καὶ κύμινον ἐκλεικτικὸν, καὶ χυλὸν πτισσάνης ἐπὶ τουτέοισι ῥοφέειν. Ἄφυκτος δ' ὁ τοιοῦτος, ἢν μὴ ἱδρῶτες κριτικοὶ καὶ ὕπνοι ὁμαλοὶ ἐπιγένωνται, καὶ οὖρα παχέα, καὶ δριμέα καταδράμῃ, [185] ἢ εἰς ἀπόστασιν στηρίζῃ. Κόκκαλος καὶ σμύρνα ἐκλεικτόν· πίνειν δὲ τοῖσι τοιουτέοισιν διδόναι ὀξύμελι ὡς ἐλάχιστον· ἢν δὲ διψώδεες ἐῶσι σφόδρα, τοῦ κριθίνου ὕδατος. Τὰ δὲ περιπνευμονικὰ καὶ πλευριτικὰ ὧδε χρὴ σκέπτεσθαι· ἢν ὀξύς τε ὁ πυρετὸς ᾖ, καὶ τὰ ὀδυνήματα τοῦ ἑτέρου πλευροῦ, ἢ καὶ ἀμφοῖν, καὶ τοῦ πνεύματος δὲ [186] ἀναφερομένου, ἢν πονέῃ, καὶ βῆχες ἐνεῶσι, καὶ πτύσματα ἀνιῇ πυῤῥὰ, ἢ πελιὰ, ἢ καὶ λεπτὰ, καὶ ἀφρώδεα, καὶ ἀνθηρὰ, καὶ εἴτι ἄλλο διαφέρον ἔχοι παρὰ τὰ

utro tamen horum numerorum contingant, lethales (morbi) succedunt. Hos vero si per initia quidem medicamentis purgare volueris, ante quintum (facito) si venter murmuraverit; si non, impurgatos finito: verum si murmuraverit, aluique dejectiones biliosæ fuerint, scammonio moderate subpurgato. In reliqua vero curatione potus ac sorbitiones parcissime exhibeto, quo melius æger habeat, nisi remissione facta decimum quartum transgressus fuerit. Quum febricitanti decimo quarto die vocis interceptio accesserit, non cita morbi fieri solutio, neque liberatio solet, sed tali temporis diuturnitatem indicat; quum itaque hoc die apparuerit, diuturnior morbus evadit. Quum febricitanti lingua quarto die perturbate sermocinatur, & alvus biliosa liquida dejicit, is delirare consuevit; sed ex eventis, quid consequatur, observandum. Æstiva ac autumnali tempestate in acutis repentina sanguinis destillatio, venarum contentionem, multumque fervorem significat, ac postero die urinas tenues futuras; & si (æger) ætate viguerit, fueritque corpore ob exercitationes bene carnoso, aut melancholico, vel ex potatione manus tremulæ fuerint, delirium, aut convulsionem prænunciare decet. Et si paribus quidem (diebus) supervenerint, melius: judicatoriis vero, perniciosum: nisi copiosus cu-
41 mulate concitatus sanguis redundantiæ exitum fecerit per nares, aut per sedem, aut puris excretiones, aut abscessus, aut humorum translationes, aut hypochondriorum dolores, aut ad testes, aut ad crura: his autem concoctis, viæ patent sputis, urinisque crassis, lævibus, albis. Febri singultuosæ silphii succum, acetum mulsum, daucum tritum potui dato; galbanumque ex melle, & cuminum delingendum; posteaque ptisanæ cremorem sorbendum. Is autem evadere non potest, nisi judicatorii sudores, & somni æquales accesserint, urinæque crassæ, & acres defluxerint, aut in abscessum (morbus) decubuerit. Nux pinea & myrrha ad delingendum (exhibeantur;) his vero acetum mulsum quam paucissimum potui dato: sed si vehementer siticulosi fuerint, aquam hordei. Peripneumonicos & pleuriticos affectus ita considerare oportet; an febris acuta sit, & dolores lateris alterius, aut utriusque, & quum sursum fertur spiritus, num laboret, tusses adsint, & sputa educantur rufa, aut livida, aut etiam tenuia, & spumosa, & florida, & siquid aliud discrepet ab iis, quæ illis con-

VARIÆ LECTIONES.

182 Pro σκαμμωνίῳ Imo. Sambuci σκαμμωνίῃ legit, quod idem est.

183 διαλέγεται MS. cod. Medic. pro διαλέγηται.

184 ἐπίσσυθὲν, *cum impectu erumpens* cod. Basil. scribit. Paulo post λυθέντων pro πεφθέντων habent quidd. codd.

185 Pro ἢ εἰς ἀπόστασιν στηρίζῃ, vulgati codd. ἢ ἐς ἀπόσταξιν στηρίξῃ scribunt.

186 Pro ἄνω φερομένου, cum Linden. ἀναφερομένου scripsimus. Postea ἀνιῇ cum Servin. emendavimus pro ἀνίῃ, alii ἀνίει legunt.

consueta sunt; ita degere oportet. Si dolor quidem sursum ad claviculam, aut circa mammam, & brachium pertingat, internam brachii venam secare oportet, utracunque fuerit parte, ea in ipsa. Sanguinem vero detrahere pro corporis habitu, anni tempore, ætate, & colore copiosius, & audacter, & si dolor acutus fuerit, ad animi usque deliquium ducere: postea clystere alvum subducere. Si vero deorsum sub thorace dolor fuerit, valdeque urgeat, pleuritico alvum subpurgato; at medio purgationis tempore nihil dato, post purgationem autem acetum mulsum. At quarto die purgandum, verum per tres ab initio dies alvus subluenda; quod si ita non levetur, subpurgato. Custodia vero adhibeatur adusque febris decessionem, ac septimum diem: deinde si in tuto esse videatur, in primis exiguum ac tenuem cremorem admisto melle dato: quod si facile sputum educat, facile spiret, & laterum dolore careat, paulo crassiorem & copiosiorem, ac bis die dato. Quod si non facile liberetur, pauciorem potionem, modicam sorbitionem, cremorem tenuem, & semel, eo quo melius degit tempore; quod ex urinis deprehendes. Sorbitionem autem his in morbis prius afferre non oportet, quam urinas, aut sputa concocta esse videris. Quod si medicamento purgatus multum dejecerit, dare necesse est, verum pauciorem ac tenuiorem; non enim poterit præ vasorum vacuatione dormire, neque concoquere similiter, neque judicationes sustinere: verum ubi crudorum colliquationes factæ fuerint, & quæ renituntur rejecerit, nihil obstabit. Concocta autem sputa quidem sunt, quum puri similia apparuerint; urinæ vero, ubi sedimenta subrubra habuerint, quale eruum est. Cæteris autem laterum doloribus tepefactoria ac cerata admovere nihil prohibet; crura & lumbos (oleo) calido inungere, & pinguedine illinere; hypochondriis autem adusque mammas ex lini semine cataplasma imponere. Quum autem peripneumonia ad statum pervenerit, nisi repurgetur, auxilium non admittit, ac prava est, si æger difficile spiraverit, urinæ tenues & acres sint, sudoresque circa cervicem, & caput oboriantur; hi enim sudores pravi sunt, præ suffocatione, & impetu,

μεμαθηκότα τούτοισιν· οὕτω χρὴ διάγειν. Ἢν μὲν ὀδύνη ἄνω περαίνῃ πρὸς κληῖδα, ἢ περὶ μαζὸν, ἢ περὶ βραχίονα, τάμνειν χρὴ 381
τὴν ἐν τῷ βραχίονι φλέβα τὴν εἴσω, ἐφ' ὁκότερον ἂν ᾖ τῶν μερέων, κατὰ τόδε. Ἀφαιρέειν δὲ κατὰ τὴν τοῦ σώματος ἕξιν, καὶ ὥρην, καὶ ἡλικίην, καὶ χροιὴν [187] πλεῖον, καὶ θαρσέων, καὶ ἢν ὀξὺ τὸ ἄλγημα ᾖ, ἀγαγεῖν πρὸς [188] λειποθυμίην· ἔπειτα ὑποκλύζειν μετὰ τοῦτο. Ἢν δὲ ὑποκάτω τοῦ θώρηκος ᾖ τὸ ἄλγημα, καὶ συντείνῃ λίην, τῷ πλευριτικῷ τὴν κοιλίην ὑποκάθαιρε· μεσσηγὺ δὲ τῆς καθάρσιος μηδὲν δίδου, μετὰ κάθαρσιν δὲ, ὀξύμελι. Φαρμακεύειν δὲ ταταρταῖον· τὰς δὲ ἐξ ἀρχῆς τρεῖς ὑποκλύζειν· καὶ, ἢν μὴ κουφίζῃ οὕτως, ὑποκάθαιρε. Φυλακὴ δὲ ἔσω, ἕως ἀπυρέτου καὶ ἑβδόμης· ἔπειτα, ἢν ἀσφαλὴς ἐὼν φαίνηται, οὕτω χυλῷ ὀλίγῳ, καὶ λεπτῷ τὸ πρῶτον, σὺν μέλιτι μίσγων δίδου· ἢν δὲ ἀνάγηται ῥηϊδίως, καὶ εὔπνοος ᾖ, καὶ ἀνώδυνος τὰ πλευρὰ, κατὰ σμικρὸν παχυτέρῳ τε καὶ πλείονι καὶ δὶς τῆς ἡμέρης. Ἢν δὲ μὴ ῥηϊδίως ἀπαλλάσσῃ, ἔλασσόν τε τὸ πόμα, καὶ τὸ ῥόφημα ὀλίγον χυλὸν λεπτὸν, καὶ ἅπαξ, καὶ ἐν ὁκοτέρῃ ἂν ὥρῃ βέλτιον διάγῃ· γνώσῃ δὲ καὶ ἐκ τῶν οὔρων. Δεῖ δὲ ῥόφημα προσφέρειν τοῖσιν ἐκ τῶν νουσημάτων μὴ πρότερον, ἢ πέπονα τὰ οὖρα, ἢ πτύσματα ἴδῃς γεγενημένα. Ἢν δὲ φαρμακευθεὶς, συχνὰ καθαρθῇ, ἀναγκαῖον διδόναι, ἔλασσον τε καὶ λεπτότερον· οὐ γὰρ δυνήσεται ὑπὸ κενεαγγείης ὑπνώσσειν, οὐδὲ πέσσειν ὁμοίως, οὐδὲ τὰς κρίσιας ὑπομένειν· ἀλλ' ἐπειδὰν ξυντήξιες ὠμῶν γένωνται, καὶ τὰ ἀντέχοντα ἀποβάλλῃ, ἀνθέξει οὐδέν. Πέπονα δέ ἐστι τὰ μὲν πτύελα, ὁκόταν φαίνηται ὅμοια τῷ πύῳ· [189] τὰ δὲ οὖρα τὰς ὑποστάσιας ἔχοντα ὑπερύθρους, ὁκοῖον ὄροβος. Οὐδὲν δὲ κωλύει καὶ πρὸς τὰ ἄλλα ἀλγήματα τῶν πλευρέων, καὶ χλιάσματα προστιθέναι, καὶ κηρώματα· ἀλείφειν δὲ τὰ σκέλεα καὶ ὀσφὺν θερμῷ, καὶ λίπος ἐγκαταλείφειν· ἐπὶ δὲ ὑποχόνδρια, λίνου σπέρμα καταπλάσσειν ἕως μαζῶν. Ἀκμαζούσης δὲ τῆς περιπλευμονίης, ἀβοήθητον μὴ ἀνακαθαιρομένου, καὶ πονηρὸν ἢν δύσπνοος ᾖ, καὶ τὰ οὖρα λεπτὰ καὶ δριμέα, καὶ οἱ ἱδρῶτες περὶ τράχηλον, καὶ κεφαλὴν γίγνωνται· οἱ τοιοῦτοι γὰρ ἱδρῶτες πονηροὶ, ὑπὸ πνιγμοῦ, καὶ ῥωγμῆς, καὶ

VARIÆ LECTIONES.

187 τὸ πλεῖον καὶ διὰ καθάρσιων, *plus & per purgationes*, Imp. Sambuci, Fevr. & Servin. habent; Lindenus & Foesius scribunt πλεῖον καὶ θᾶσσον, *plus & celerius*; sed ex Galeni commentario apparet, θαρσέων *audacter*, legendum, quod probamus.

188 λειποθυμίην alii legunt pro λειποψυχίην; priorem lectionem prætulimus, eamque adhibuisse videtur Galenus. Quomodo autem inter se differant, parum interest; qua de re consulatur Galen. Libr. XII. Meth. medendi cap. 5. conferri etiam meretur Just. Cortnummius de morbo Attonito Cap. LXXII. pag. 382.

189 ὁκόταν φαίνηται ex MS. Fevr. emendavimus, pro ὁκότα γίνηται. Ex hoc loco de urinis ostendit Galenus, auctorem hujus quartæ partis non ubique eundem esse, ac trium antecedentium, ac proinde non solum esse Hippocratem; quippe qui non ita superius de coctis urinis scripserit, atque alibi dixerit: οὖρον δὲ ἄριστον, ὁκόταν ὑπόστασις λευκή τε, καὶ λείη, καὶ ὁμαλὴ, *urinam optimam esse, quum sedimentum est tum album, tum leve, tum æquale.* de subrubro sedimento nihil, quod ad urinæ bonitatem attinet, & coctionem in hisce morbis. Ibidem ὁκοῖον ὀρόβων quædam exemplaria habent.

καὶ βίης ἐπικρατεόντων τῶν νουσημάτων,
ἢν μὴ οὖρα πολλὰ καὶ παχέα ὁρμήσῃ,
καὶ πτύσματα πέπονα ἔλθῃ· ὅ, τι δ᾽ ἂν
τούτων αὐτοματίσῃ, [190] λύσει τὸ νούση-
μα. Περιπνευμονίης ἐκλεικτόν. Κόκκαλος,
καὶ χαλβάνη ἐν μέλιτι Ἀττικῷ· ἀβρότονον
ἐν ὀξυμέλιτι· πέπερι, ἐλλέβορον μέλανα
ἀποζέσας, καὶ πλευριτικῷ ἐν ἀρχῇσι
περιωδύνῳ ἐόντι πίνειν δίδου. Ἀγαθὸν δὲ
καὶ τὸ πάνακες ἐν ὀξυμέλιτι ἀναζέσαντα
καὶ διηθέοντα, διδόναι πίνειν, καὶ ἡπατι-
κοῖσι, καὶ τῇσιν ἀπὸ τῶν [191] Φρενῶν πε-
ριωδυνίῃσι· καὶ ὁκόσα δεῖ ἐς κοιλίην, ἢ ἐς
οὔρησιν, ἐν οἴνῳ καὶ μέλιτι· τὰ δὲ ἐς
κοιλίην, ξὺν ὕδατι μελικρήτῳ πίνειν πλείω
δίδου. Δυσεντερίη ἀπόςημα, ἢ ἔπαρμά τι
παυσαμένη ποιήσει, ἢν μὴ ἐς πυρετοὺς,
ἢ ἱδρῶτας, " [192] καὶ οὖρα παχέα, καὶ 42
λευκὰ λίαν ἐπιφανῆ, ἢ ἐς τριταίους, ἢ
ἐς κιρσὸν, ἢ ἐς ὄρχιν, ἢ ἐς σκέλεα, ἢ
ἐς ἰσχίον ςηρίξῃ ὀδύνη. Ἐν πυρετῷ χο-
λώδεϊ πρὸ τῆς ἑβδόμης ἡμέρας, μετὰ ῥί-
γεος ἴκτερος ἐπιγενόμενος, λύει τὸν πυρε-
τόν· ἄνευ δὲ ῥίγεος ἢν ἐπιγένηται ἔξω
τῶν καιρῶν, ὀλέθριον. Τέτανος δὲ ὀσφύος,
καὶ ἀπὸ μελαγχολικῶν διὰ Φλεβῶν πνευ-
μάτων ἀπολήψιες ὁκόταν ἔωσι, φλεβοτο-
μίῃ λύεται. Ὁκόταν δὲ ἀπὸ τῶν τενόν-
των σφοδρῶς ἔμπροσθεν ἀντισπῶνται, καὶ
ἱδρῶτες, περὶ τὸν τράχηλον καὶ πρόσωπον
ὑπὸ τοῦ πόνου δακνομένων καὶ ξηραινο-
μένων τῶν [193] τενόντων " καὶ τῶν οὐρω- 43
δέων, οἱ παχύτατοι μὲν τὴν ῥάχιν ξυνέ-
χουσιν, ᾗ οἱ μέγιςοι σύνδεσμοι καταπε-
φυκότες, ἕως εἰς πόδας ἀποτελευτῶσι· τῷ
τοιῷδε, ἢν μὴ πυρετὸς καὶ ὕπνος ἐπιγένη-
ται, καὶ τὰ ἑπόμενα οὖρα πέψιν ἔχοντα
ἔλθῃ, καὶ ἱδρῶτες κριτικοὶ, πίνειν οἶνον
κρητικὸν οἰνώδεα, καὶ ἄλητον ἑφθὸν ἐσθίειν,
καὶ κηρωτῇ ἀλείφειν, καὶ ἐγχρίειν, τά τε
σκέλεα περιελίσσειν ἕως τῶν ποδῶν, θερμῷ
προσβρέχων ἐν σκάφῃ, καὶ βραχίονας ἕως
δακτύλων κατελίσσειν, καὶ ὀσφὺν ἀπὸ
τοῦ τραχήλου ἕως τῶν ἰσχίων, σινδόνιον
ἐγκηρώσας μαλακῷ δέρματι, ὅκως καὶ τὰ
ἔμπροσθεν περιέξῃ· καὶ διαλίπων πυρία
τοῖσιν ἀσκίοισι, θερμὸν ὕδωρ ἐγχέων, καὶ
περιτείνων σινδόνιον, ἐπανάκλινε αὐτόν.
Κοιλίην δὲ μὴ λίην λύσῃς, ἢν μὴ βαλά-
νῳ· ἢν μὴ πολὺν χρόνον ᾖ ἀδιαχώρητος
ἐοῦσα· καὶ ἢν μὲν τί σοι ἐπιδιδῷ ἐπὶ
τὸ βέλτιον· [194] εἰ δὲ μὴ, " τοῦ μόδου 44

& violentia morbis ſuperantibus, niſi urinæ copioſæ ac craſſæ proruperint, & ſputa cocta prodierint; horum autem quidquid ſua ſponte evenerit, morbum ſolvet. Peripneumoniæ medicamentum ad delingendum. Nux pinea, & galbanum ex melle Attico; abrotanum ex aceto mulſo, piper, & veratrum nigrum fervefacta pleuritico etiam per initia perdolenti bibenda dato. Confert etiam panacem ex aceto mulſo fervefactum, percolatumque propinare tum hepaticis, tum in ſepti transverſi doloribus; & quæcunque per alvum, aut mictionem deducere voles, hæc ex vino, & melle (dabis:) quæ ad alvum, illa cum mulſa aquoſa copioſiore propinato. Dyſenteria ſedata abſceſſum aut tumorem aliquem faciet, niſi (deſierit) aut in febres, aut ſudores, aut urinas craſſas, albas valde perſpicuas, aut in tertianas, aut in varices; aut in teſticulum, aut in crura, aut in coxam dolor decubuerit. In biliosa febre morbus regius ante ſeptimum diem cum rigore ſuccedens febrem ſoluit; citra rigorem vero intempeſtive obortus, lethale. Lumborum diſtentio, & ex atrabilariis humoribus per venas ſpirituum interceptiones quum affuerint, venæ ſectione ſolvuntur. Quum autem a tendonibus vehementer in anteriorem partem revelluntur, ſudoresque circa cervicem & faciem oriuntur, dum præ dolore mordentur, ac reſiccantur tendines adusque oſſis ſacri extremum porrecti, qui quidem craſſiſſimi ſpinam continent, qua parte maxima ligamenta exorta ad pedes usque deſinunt; huic niſi febris, & ſomnus ſucceſſerit, & quæ ſequuntur coctionem habentes urinæ, ſudoresque judicatorii prodierint, vinum Creticum vinoſum bibendum, & pultem ſeu farinam coctam edendam exhibeto; cerato quoque perungere, atque illinere convenit, & crura ad pedes usque calida in pelvi madefacta, velamentis contegere, ac brachia ad digitos usque involvere, lumbosque a cervice ad coxas usque, molli pelle, exungia & cera illita obducere, ita ut anteriora etiam contineat; & ex intervallis per utriculos calida aqua affuſa foveto, ac linteo obvoluto, ipſum decumbere jubeto. Alvum autem ne admodum, niſi ſubditia glande, ſolvas, ſi ex longo tempore non dejecerit; & ſi quid tibi proceſſerit in melius, (ſatis:) ſin minus, modi radicem

Variæ Lectiones.

190 Sic Imp. Sambuci vulgati codd. λύει, *ſolvit*, ſcribunt.

191 In Imp. Sambuci habetur φρενῶν καὶ περιωδυνίῃσι, inſerta copula καὶ.

192 Hoc loco, pro καὶ οὖρα παχέα, καὶ λευκὰ, καὶ λίαν ἐπιφανῆ, contendit Foes. legendum eſſe καὶ οὖρα παχέα, καὶ λευκὰ λίαν ἐπιφανῆ, *& urinas craſſas, albas valde perſpicuas*, ſublata particula καὶ, *&*, ante λίαν; quem ſecuti ſumus, & in Græco textu conjunctionem καὶ ſuſtulimus ex Foeſii conjectura, & ratione, quod tales urinæ craſſæ, & albæ, & valde perſpicuæ conſiſtere non poſſint: ait vero aliquos interpretes de lævibus urinarum ſedimentis accepiſſe, ita ut λεῖα, *levia* legiſſe videantur.

193 τενόντων οὐρωδέων legit Galenus in commentario omiſſis καὶ τῶν, tendones intelligens porrectos ad oſſis ſacri extremum, quod οὐραῖον appellari dicit. Plura qui cupit, adeat Foeſii Oeconom. voce ὀῤῥωδέειν.

194 εἰ δὲ μὴ, τοῦ μόδου τῆς ῥίζης. Cœl. Aurelianus Libr. III. capit. 7. Acutor. intelligit potiones ex radice Bryoniæ, dauco, & vino confectas, ut notat Foeſius. Lindenus autem legit μάδου, quam vocem exponit Heſychius ψίλωθρον; eſt autem apud Nicandr. ψίλωθρον herba, quæ & καρκίνωθρον, & κλῆμα vocatur: hoc nomine etiam ab aliquibus appellatur ἄμπελος λευκὴ, *vitis alba*, cujus acini uſum habent in depilandis coriis.

in vino odorato tritam & daucum mane jejuno ante calidæ perfusionem propina; & post hæc cito farinam coctam tepidam quam plurimam edat, vinumque quum voluerit bene temperatum superbibat; & si res quidem in melius tibi processerit, (bene habet;) sin minus, prædicendum. At morbi omnes solvuntur, aut per os, aut per alvum, aut per vesicam, aut alium aliquem ejusmodi articulum; sudoris autem species morbis omnibus communis est. Quibus a capite fluxio fertur, his veratrum dare oportet. Quicunque vero ex abscessibus, aut venæ ruptione, aut ob intemperantiam, aut ob aliam vehementem quandam causam suppurati fiunt, his ne elleborum dederis; nihil enim proderit; & siquid patiatur æger, in causa esse videbitur elleborus. Si vero corpus dissolvatur, aut dolor in capite sit, aut oppletæ aures, aut nares, aut sputatio, aut genuum gravitas, aut corporis præter consuetudinem tumor; quidquid horum contigerit, dabis, si hæc neque a potibus, neque a rebus venereis, neque a mœrore, neque a curis, neque a vigiliis oriantur; & siquid sane horum causa fuerit, ad id curationem instituere oportet. Dolores autem laterum, dorsi, lumborum, coxarum, qui ex itinere contingunt, & quæcunque inter spirandum ex causa manifesta dolent; sæpius enim dolores ex crapulis, cibisque flatulentis, ad lumbos & coxas venire consueverunt. Quibus vero ipsorum talia fuerint, his urinæ difficultas accedit: horum autem iter causa est, gravedinis quoque & raucedinis. Quæcunque ex victus ratione contingunt, multa quidem unusquisque, prout præter consuetudinem victu usus fuerit, maxime observat; etenim qui prandere non consueverunt, si pransi fuerint, his ingens ventris tumor (oboritur,) tum dormitatio, tum plenitudo; si vero supercœnaverint, alvus exturbatur. His a balneo dormire confert, & a somno lenta deambulatione multos conficere circuitus: quod si quidem alvus evacuata fuerit, cœnare, & parcum vinum, sed meracius bibere; si vero alvum non exoneraverint, corpus oleo calido illinere: &, si sitis urgeat, epoto vino aquoso albo, aut dulci, quiescere; si vero non dormierit, amplius quiescere: in reliquis similis victus ratio, qualis crapula gravatis, instituatur. Ex potionibus autem quæ quidem aquosiores sunt, tardioris sunt transitus, ac velut in orbem actæ circum hypochondria fluitant, & ad mictionem non decurrunt: tali vero potione repletus, nullum celeriter ex iis absolvet opus, quæ contendenti corpori vi & celeritate elaborare accidit; quam maxime autem

τῆς ῥίζης τρίβων ἐν οἴνῳ εὐώδει καὶ δαῦκον, πίνειν δίδου πρωῒ νήσει, πρὸ τοῦ βρέχειν· καὶ ταχὺ ἐπὶ τούτοισι τὸ ἄλευρον ἑφθὸν χλιαρὸν, ἐσθιέτω ὡς πλεῖστον· καὶ οἶνον ὁκόταν βούληται εὔκρητον ἐπιπινέτω· καὶ ἢν μέν σοι ἐπιδιδῷ ἐπὶ τὸ βέλτιον· ἢν δὲ μὴ, προλέγειν. Τὰ δὲ νουσήματα πάντα λύεται, ἢ κατὰ στόμα, ἢ κατὰ κοιλίην, ἢ κατὰ κύστιν, ἤ τινος ἄλλου τοιούτου ἄρθρου· ἡ δὲ τοῦ ἱδρῶτος ἰδέη κοινὴ ἁπάντων. Ἐλλεβορίζειν δὲ χρὴ, οἷσιν ἀπὸ κεφαλῆς φέρεται ῥεῦμα. Ὁκόσοι δ' ἐξ ἀποστημάτων, ἢ φλεβοῤῥαγίης, ἢ δι' ἀκρησίην, 382 ἢ δι' ἄλλην τινὰ ἰσχυρὴν αἰτίην ἔμπυοι γίνονται, μὴ δίδου ἐλλέβορον τοῖσι τοιουτέοισιν· οὐδὲν γὰρ ὠφελήσει· καὶ ἤν τι πάθῃ, αἴτιον δόξει εἶναι ὁ ἐλλέβορος. [195] Ἢν δὲ διαλύηται τὸ σῶμα, ἢ πόνος ἐν κεφαλῇ, ἢ ἐμπεπλασμένα τὰ ὦατα, ἢ ῥὶς, ἢ πτυελισμὸς, ἢ τῶν γουνάτων βάρος, ἢ σώματος ὄγκος παρὰ τὸ ἔθος, ὅ, τι ἂν συμβαίνῃ, μήθ' ὑπὸ πότων, μήθ' ὑπὸ ἀφροδισίων, μήθ' ὑπὸ λύπης, μήθ' ὑπὸ φροντίδων, μήθ' ὑπὸ ἀγρυπνιῶν· κἢν μέν τι τουτέων ἔχῃ αἴτιον, πρὸς τοῦτο ποιέεσθαι τὴν θεραπείην. Τὰ δὲ ἐκ πορείης ἀλγήματα πλευρέων, νώτου, ὀσφύος, ἰσχίων, καὶ ὁκόσα ἀναπνέοντες ἀλγέουσι πρόφασιν ἔχοντες· πολλάκις γὰρ μεμάθηκε φοιτᾷν ἐκ κραιπαλέων καὶ βρωμάτων φυσωδέων ἀλγήματα, καὶ εἰς ὀσφὺν καὶ ἐς ἰσχία. Οἷσι δ' ἂν αὐτέων ᾖ τοιάδε, δυσουρέεται· τούτων δὲ πορείη αἰτίη, καὶ κορυζέων καὶ βράγχων. Ὁκόσα δὲ ἀπὸ διαιτημάτων, τὰ μὲν πολλὰ ἕκαστος, ὡς ἂν παρὰ τὸ ἔθος διαιτηθῇ, 45 μάλιστα ἐπισημαίνει· καὶ γὰρ ὁκόσοι ἂν μὴ μεμαθηκότες ἀριστᾷν, ἢν ἀριστήσωσιν, ὄγκος πολὺς αὐτοῖσι τῆς γαστρὸς, καὶ νυσταγμὸς καὶ πληθώρη· ἢν δὲ ἐπιδειπνήσωσι, κοιλίη ἐκταράσσεται. Ξυμφέρει δὲ τουτέοισιν ἐκλουσαμένοισι καθεύδειν, κοιμηθέντας δὲ περιπατῆσαι βραδέως συχνὴν περίοδον· καὶ ἢν μὲν λαπαχθῇ, δειπνῆσαι, καὶ πιεῖν οἶνον ἐλάσσονα ἀκρητέστερον· ἢν δὲ μὴ λαπαχθῇ, ὑποχρίσασθαι τὸ σῶμα θερμῷ· καὶ, ἢν διψῇ, ὑδαρέα οἶνον λευκὸν, ἢ γλυκὺν ἐπιπιόντα, ἀναπαύεσθαι· ἢν δὲ μὴ ἐγκοιμηθῇ, πλείω ἀναπαύεσθαι· τὰ δὲ ἄλλα ὁμοίως τοῖσιν ἐκ κραιπάλης διαιτάσθω. Τὰ δὲ ἀπὸ πομάτων, ὁκόσα μὲν ὑδαρέα, βραδυπορώτερά ἐστι, καὶ ἐγκυκλέεται, καὶ ἐπιπολάζει περὶ ὑποχόνδρια, καὶ εἰς οὔρησιν οὐ κατατρέχει· τοιούτου δὲ πόματος πληρωθεὶς, μηδὲν ἔργον ὀξέως διαπράξῃ, ὁκόσα τῷ σώματι ξυνταθέντι βίῃ, ἢ τάχει πονέειν ξυμβαίνει· ὡς μάλιστα δὲ ἡσυ-

VARIÆ LECTIONES.

195. ἢν δὲ διαλυνῆται scribit cod. Medic. sed Galenus in commentario διαλύηται legit, ac multa in hac periodo reprehendit, quæ scitu digna sunt.

ἡσυχαζέτω, ἔων ἂν καταπεφθῶσι μετὰ τῶν σιτίων. Ὁκόσα δὲ τῶν πομάτων ἀκρητέσερά ἐςιν ἢ αὐςηρότερα, παλμὸν ἐν τῷ σώματι καὶ σφυγμὸν ἐν τῇ κεφαλῇ ἐμποιέει· τούτοισι καλῶς ἔχει ἐπικοιμᾶσθαι, καὶ θερμόν τι ῥοφέειν, πρὸς ἅπερ μάλιςα ἥδιςα ἔχουσι. Νηςείη δὲ πονηρὸν πρὸς τὴν κεφαλαλγίην, καὶ κραιπάλην·
46 ὁκόσοι δὲ μονοσιτέουσι, κεῖνοί καὶ ἀδύνατοί εἰσιν, καὶ οὐρέουσι θερμὸν παρὰ τὸ ἔθος κενεαγγέοντες· γίνεται δὲ καὶ ςόμα ἁλικὸν καὶ πικρὸν, καὶ τρέμουσιν ἐν παντὶ ἔργῳ, καὶ κροτάφους ἐπιξυντείνονται, καὶ τὸ δεῖπνον οὐ δύνανται πέσσειν, ὅκως περ ἢν ἠριςηκότες ἔωσι. Τούτους δὲ χρὴ πίνειν ἔλασσον, ἢ μεμαθήκασιν, καὶ ὑγροτέρην μάζαν ἀντὶ ἄρτου· καὶ λαχάνων, λάπαθα, ἢ μαλάχην, ἢ πτισσάνην, ἢ σεῦτλα. Πίνειν δὲ κατὰ τὸ σιτίον, οἶνον, ὁκόσον σύμμετρον, καὶ ὑδαρέςερον· καὶ ἀπὸ δείπνου περιπατῆσαι ὀλίγον, ἕως οὖρα καταδράμῃ, καὶ οὐρήσει· χρήσθω δὲ καὶ ἰχθύσιν ἑφθοῖσι. Βρώματα δὲ μάλιςα ἐπισημαίνει. Σκόροδον φῦσαν καὶ θέρμην περὶ τὸν θώρηκα, καὶ κεφαλῆς βάρος, καὶ ἄσην, καὶ εἴτι ἄλλο ἄλγημα εἴη μεμαθηκὸς πρόσθεν, παροξύνειεν ἂν· οὐρητικὸν δὲ, καὶ τοῦτο ἔχει ἀγαθόν. Ἄριςον δὲ αὐτοῦ φαγέειν, ἢ μέλλοι τις ἐς πόσιν ἰέναι, ἢ [196] μεθύειν. Τυρὸς δὲ φῦσαν, καὶ ςεγνότητα, καὶ σιτίων ἔξαψιν ποιέει, ὠμὸν, καὶ ἄπεπτον· κάκιςον δ᾽ ἐν τῷ ποτῷ φαγεῖν, πεπληρωμένοισιν. Ὄσπρια δὲ πάντα φυσώδεα, καὶ ὠμὰ, καὶ ἑφθὰ, καὶ [197] πεφρυγμένα, ἥκιςα δὲ βεβρεγμένα, ἢ χλωρά· τούτοισι δὲ μὴ χρέεσθαι, εἰ μὴ καὶ μετὰ σιτίων. Ἔχει δὲ καὶ ἰδίας μοχθηρίας ἕκαςον αὐτέων. Ἐρέβινθος φῦσαν μὲν ὠμὸς, καὶ πεφρυγμένος, καὶ πόνον ἐμποιέει. Φακὸς δὲ ςύφει, καὶ ἄραδον ἐμποιέει, ἢν μετὰ τοῦ φλοιοῦ ᾖ. Θέρμος δὲ ἥκιςα τούτέων κακὰ ἔχει. Σιλφίου δὲ καυλὸς καὶ ὀπὸς, ἐςὶ μὲν οἷσι μάλιςα· τοῖσι δὲ ἀπείροισιν οὐ διέρχεται τῇ κοιλίῃ. Ἀλλὰ καλέεται ξηρὴ χολέρη· μάλιςα δὲ γίνεται, ἢν μετὰ πολλοῦ τυροῦ μιχθῇ, ἢ κρεηφαγίης βοείων κρεῶν. Τὰ μὲν γὰρ μελαγχολικὰ παθήματα καὶ παροξυνθείη ἂν ὑπὸ βοείων κρεῶν ἐδωδῆς· ἀνυπέρβλητος γὰρ ἡ φύσις αὐτέων, καὶ οὐ τῆς τυχούσης κοιλίης καταπέψαι· βέλτιςα δ᾽ ἂν ἀπαλλάσσοιεν, εἰ διέφθοισί τε χρέοιντο, καὶ ὡς παλαιοτάτοισι. [198] Αἴγεια
47 δὲ κρέα συμφορώτερα· πλὴν ὅσα τε ἐν βοείοισιν ἔνι κακὰ, πάντ᾽ ἔχει· ἤγουν τήν τε ἀπεψίην καὶ φυσωδέςερα καὶ ἐρευγματωδέςερα, καὶ χολέρην ποιέει. Ἔςι δὲ τὰ εὐωδέςατα, ςερεὰ, καὶ ἥδιςα, ταῦτ᾽ ἄριςα διέφθα καὶ ψυχρά· τὰ δ᾽ ἀηδέςατα, καὶ δυσώ-

quiescat, donec una cum cibis concoctæ fuerint. At vero potiones meraciores, & austeriores sunt, palpitationem in corpore, atque in capite pulsationem efficiunt; his belle fuerit, si superdormiant, & calidum quid ex iis, quæ potissimum suavissima ipsis sunt, sorbeant. At vero jejunium ad capitis dolorem & crapulam, malum est; qui semel die cibum sumunt, hi & imbecilli sunt, & calidum mejunt, præter consuetum vasis vacuatis; os ipsis salsum, & amarum efficitur, in omni opere tremunt, tempora distenduntur, cœnamque perinde ac si pransi fuissent, concoquere nequeunt. Hos autem minus bibere oportet quam consueverunt, liquidioremque mazam pro pane edere; atque ex oleribus rumicem, aut maluam, aut ptisanam & betas. At vinum in cibo, quantum est moderatum, ac dilutius bibendum est, atque a cœna paululum deambulandum, donec excurrat urina, minxerintque; piscibus etiam coctis utantur. Edulia vero de se potissimum præbent indicia. Allium flatum, & calorem circa thoracem facit, capitis gravitatem, & anxietatem, & siquis alius dolor antea fieri consueverit, eum exacerbaverit; urinas autem ciet, idque habet bonum. Optimum vero est, ut quis ipsum edat, si aut ebrius est, aut ad potationem ire volet. Caseus flatum, & adstrictionem, & ciborum incendium facit, crudum, & incoctum (edulium:) repletos autem in potu edere, deterrimum est. Legumina omnia flatulenta sunt, & cruda, & elixa, & frixa, minime vero vel macerata, vel viridia; his autem nisi cum cibariis utendum non est. Sed horum singula suum vitium habent. Cicer quidem flatum, tum crudum tum frixum, & molestiam affert. Lens astringit, ac turbationem inducit, si cum cortice sit. Lupinus autem horum malorum habet minima. Laserpitii tum caulis, tum succus, nonnullis quidem maxime; inexpertis vero per alvum non descendit. Verum sicca cholera (hoc malum) vocatur; fit autem maxime, si cum multo caseo, aut bubularum carnium edulio mixtus fuerit. Nam & melancholicæ affectiones bubularum carnium esu ingravescunt, quod earum natura insuperabilis sit, neque omnis eas ventriculus concoquere possit: at optime liberabuntur, qui perelixis, & perquam vetustis utentur. At caprinæ carnes optimæ; nisi quæ bubulis insunt vitia, habeant omnia, & cruditatem; flatusque, & ructus magis movent, & choleram generant. Verum quæ odoratissimæ, solidæ, & suavissimæ sunt, hæ optimæ sunt tum perelixæ, tum frigidæ; quæ vero insuavissimæ, graveolentes,

VARIÆ LECTIONES.

196 Galeni exemplaria μεθύοντι, *inebriato*; quod si illud retineas, legendum erit, ἢ μέλλοντι ἐς πόσιν ἰέναι, ἢ μεθύοντι, *aut ad potandum ituro, aut inebriato.* cui lectioni favere videtur lectio cod. Basil. quæ habet μέλλοι τι κ. τ. λ.

197 Quædam exemplaria πεφρυγμένα καὶ βεβρεγμένα, καὶ χλωρά· τούτοισι δὲ μὴ χρέεσθαι· ἢν μὴ μετὰ καὶ ἑτέρων σιτίων.

198 αἴγεια δὲ κρέα, ὅσα τε ἐν βοείοισιν ἔνι κακὰ, ἅπαντ᾽ ἔχει, quædam exemplaria.

tes, & duræ, hæ deterrimæ; imo etiam quæ recentes. Optimæ autem ſunt æſtatis tempore; autumno vero peſſimæ. Porcelli carnes pravæ, quum crudiuſculæ, & ambuſtæ fuerint: magis autem tum choleram, tum turbationem efficiunt. Suillæ autem carnium omnium optimæ ſunt; præſtantiſſimæ vero, quæ neque vehementer pingues, neque contra vehementer graciles ſunt, neque veteris victimæ ætatem aſſequutæ. Edendæ vero ſunt absque pelle, ac frigidiuſculæ. In cholera ſicca venter inflatur, & ſtrepitus inſunt, & dolor tum laterum, tum lumborum; nihilque alvus dejicit, ſed adſtricta eſt. Ita affectum, ne vomat, ſervato, verum alvus ſubducatur. Clyſterem itaque calidum, ac pinguiſſimum celeriter injice; perunctumque in aquam calidam, & quam plurimam, in ſolio collocatum, & calida ſenſim affuſa demittito; ac ſi calefacto ipſi alvus ſubducatur, liberatus eſt. Huic etiam dormire confert, ac vinum tenue, & vetus, & meracius bibere: oleum quoque dato, ut quieſcat, & alvus ſubducatur, & ſolvitur (morbus;) a cibis autem, atque cæteris abſtineat; verum ſi dolor non remiſerit, lac aſininum bibendum, donec purgatus fuerit, exhibeto. At ſi alvus liquida fuerit, ac bilis dejiciatur, vexentque tormina, vomitus, & ſuffocationes; quieſcere his eſt optimum, mulſam bibere, & non vomere. Hydropum duæ naturæ ſunt, quorum alter ſub carne, ſi fieri incipit, vitari non poteſt; alter vero cum flatibus, multam proſperam curationem expoſtulat; maxime autem laboribus, fotu, & temperantia. Sicca autem, & acria edat; ſic enim maxime urinam excreverit, ac viribus pollebit. Si vero difficulter ſpiraverit, fueritque tempus vernum, & ætas viguerit, & virium robur adſit; ſanguinem e brachio detrahere oportet, deinde calidos panes vino nigro, & oleo intinctos edat, & quam minimum bibat, & quam plurimum laboret; ſuillasque carnes carnoſas cum aceto coctas edat, ut acclives obambulationes ſuſtinere poſſit. Quicunque ventres inferiores calidos habent, ipſis & acres, & inæquales dejectiones a colliquatione prodeunt. Quibus quidem ſi vires validæ fuerint, revelles elleboro albo; ſin minus, trimeſtris tritici cremor craſſus & frigidus exhibendus, & lenticulæ pulmentum, paneſque ſubcinericii, ac piſces: febricitanti quidem elixi; non febricitanti vero, aſſi. Vinum etiam non febricitanti nigrum; ſin minus, aqua ex meſpilis, aut myrti baccis, aut malis, aut ſorbis, aut

δεα, καὶ σκληρὰ, ταῦτα κάκιστα· ἀλλὰ δὴ
καὶ τὰ πρόσφατα. Βέλτιστα δέ ἐστιν ἐν θέ-
ρεος καιρῷ· ἐν δὲ μετοπώρου καιρῷ κάκι-
στα. Χοίρου δὲ πονηρὰ, ὁκόταν ᾖ ἐνωμότε-
ρα καὶ περικαῆ· χολερώτερα δ' ἂν εἴη,
καὶ [199] ἐκταρακτικά. Ὕεια δὲ βέλτιστα
τῶν κρεῶν ἁπάντων· κράτιστα δὲ τὰ μήτε
ἰσχυρῶς πίονα, μήτε πάλιν ἰσχυρῶς λε- 383
48 πτὰ, μηθ' ἡλικίην φέροντα ἱερείου πα-
λαιοῦ. Ἐσθίειν δὲ ἄνευ τῆς φορινῆς, καὶ
ὑπόψυχρα. Χολέρης δὲ ξηρῆς ἡ γαστὴρ
πεφύσηται, καὶ ψόφοι ἔνεισι, καὶ ὀδύνη
πλευρέων καὶ ὀσφύος· διαχωρέει δὲ οὐδὲν
κάτω, ἀλλ' ἀπεστέγνωται. Τὸν τοιόνδε δια-
φύλαξον, ὅκως μὴ ἐμέσηται, ἀλλ' ἡ κοιλίη
ὑπελεύσηται· κλύσον οὖν ὅτι τάχος θερμῷ,
καὶ ὡς λιπαρωτάτῳ, καὶ ἐς ὕδωρ ἀλεί-
φων ὡς πλεῖστον κάθιζε θερμὸν, ἐν σκάφῃ
κατακλίνων, καὶ τοῦ θερμοῦ κατὰ μικρὸν
παράχεε· καὶ ἢν θερμαινομένῳ αὐτέῳ ἡ
κοιλίη [200] ὑπίῃ, λέλυται. Ξυμφέρει
δὲ καὶ ἐγκοιμᾶσθαι τῷ τοιῷδε· καὶ πίνειν
οἶνον λεπτὸν, καὶ παλαιὸν, καὶ ἀκρητέ-
στερον· καὶ ἔλαιον δίδου, ὥστε ἡσυχίη καὶ
ἡ κοιλίη ὑπίῃ, καὶ λέλυται· σιτίων δὲ
καὶ τῶν ἄλλων ἀπεχέσθωσαν· ἢν δὲ μὴ
ἀνῇ ὁ πόνος, ὄνου γάλα δίδου πίνειν, ἕως
καθαρθῇ. Ἢν δὲ ὑγρὴ ἡ κοιλίη ᾖ,
καὶ χολὴ ὑποχωρέει, καὶ στρόφοι,
καὶ ἔμετοι, καὶ πνιγμοί· τούτοισι κρά-
τιστον ἀτρεμίζειν, πίνειν δὲ μελίκρητον,
[201] καὶ μὴ ἐξεμέειν. Ὑδρώπων δύο φύσιες,
ὧν ὁ μὲν ὑποσαρκίδιος ἐγχειρέων γίνεσθαι,
ἄφυκτος· ὁ δὲ μετ' ἐμφυσημάτων, πολ-
49 λῆς εὐτυχίης δεόμενος· μάλιστα δὲ ὑπὸ
ταλαιπωρίης, καὶ πυρίης, καὶ ἐγκρατείης.
Ξηρὰ δὲ καὶ δριμέα ἐσθιέτω· οὕτω γὰρ
οὐρητικώτατος ἂν εἴη, καὶ ἰσχύοι μάλιστα.
Ἢν δὲ δύσπνοος εἴη, [202] καὶ ἡ ὥρη ἐαρινὴ
ἐοῦσα τύχῃ, καὶ ἡλικίη ἀκμάζῃ, καὶ ῥώμη
ᾖ, ἀπὸ τοῦ βραχίονος αἷμα ἀφαιρέειν·
εἶτα θερμοὺς ἄρτους ἐξ οἴνου μέλανος, καὶ
ἐλαίου ἀποβάπτων ἐσθιέτω, καὶ ὡς ἐλάχι-
στα πίνων, ὡς πλεῖστα πονεέτω· καὶ κρέα
ὕεια σαρκώδεα ἐσθιέτω μετὰ ὄξους ἑφθὰ,
ὅκως πρὸς τοὺς προσάντεας περιπάτους ἀν-
τέχῃ. Ὁκόσοι κοιλίας τὰς κάτω θερμὰς
ἔχουσι, καὶ δριμέα τὰ ὑποχωρήματα καὶ
ἀνώμαλα διέρχεται ὑπὸ συντήξεως αὐτέοι-
σιν. Ἢν μὲν δυνατοὶ ἔωσιν, ἐλλεβόρῳ τῷ
50 λευκῷ ἀντισπᾶσαι· ἢν δὲ μὴ, ὁ χυ-
λὸς τῶν σητανίων πυρῶν παχὺς, καὶ
ψυχρὸς, καὶ τὸ φάκιον ἔτνος, καὶ ἄρτοι
ἐγκρυφίαι, καὶ ἰχθύες· πυρέσσοντι μὲν
ἑφθοί· ἀπυρέτῳ δ' ἐόντι, ὀπτοί. Καὶ οἶνος
μέλας ἀπυρέτῳ· ἢν δὲ μὴ, ὕδωρ ἀπὸ
μεσπίλων, ἢ μύρτων, ἢ μήλων, ἢ οὔων, ἢ
φοι-

VARIÆ LECTIONES.

199 Imp. Samb. habet ἐκκαταρακτικὰ eodem ſenſu.
200 Pro ὑπίῃ, quædam codd. ὑπάγῃ ſcribunt. Ibidem pro ἀπεχέσθωσαν, iidem codd. ἀπεχέσθω.
201 καὶ μὴ ἐξεμέειν omnia legunt exemplaria; quædam vero μὴ omittunt; ſed ex Galeni commentario requiritur.
202 καὶ ἡ ὥρη ἐαρινὴ ἐοῦσα τύχῃ, *& tempus vernum fuerit* vulgati omnes codd. ſed Galeni ex quibusdam exemplaribus θερινὴ, *æſtiva* ſcilicet anni tempeſtas legiſſe videtur pro ἐαρινὴ; verum vitiatam innuit eſſe lectionem.

φοινικοβαλάνων, ἢ οἰνάνθης [203] ἀμπελικῆς. Ἢν δὲ πυρετὸς μὴ ἔχοι, καὶ στρόφοι ἔωσι, γάλα ὄνειον θερμὸν ὀλίγον τὸ πρῶτον· ἔπειτα ἐκ προσαγωγῆς πλεῖον, καὶ λίνε σπέρμα, καὶ πύρινα ἄλφιτα, καὶ τῶν Αἰγυπτίων κυάμων ἐξελὼν τὰ πικρὰ, [204] καταλεπίσας, ἐπιπάσσων πινέτω· ἢ ὠὰ ἡμιπάγεα ἐσθιέτω ὀπτὰ, καὶ σεμίδαλιν, καὶ κέγχρον, καὶ χόνδρον ἑφθὸν ἐν γάλακτι, ἑφθὰ ψυχρὰ ἐσθίειν· καὶ τὰ τουτοισιν ὅμοια καὶ ποτὰ καὶ ἐδέσματα προσφερέσθω. Τῆς διαιτητικῆς ἐστὶ μέγιστον, παρατηρεῖν καὶ φυλάσσειν, ὥσπερ ἐν τοῖς ὀξέσι καὶ ἐν τοῖσι μακροῖσιν ἀῤῥωστήμασι, καὶ τὰς ἐπιτάσιας τῶν πυρετῶν, καὶ τὰς ἀνέσιας, ὥστε τοὺς καιροὺς διαφυλάσσειν, ὁκότε μὴ δεῖ τὰ σιτία προσενεγκεῖν, καὶ ἀσφαλέως, ὁκότε δέῃ προσενεγκεῖν, εἰδέναι· ἔτι δὲ ὁκότε πλεῖστον ἀπέχωσι τῆς ἐπιτάσεως. Εἰδέναι δὲ τοὺς κεφαλαλγικοὺς ἐκ γυμνασίων, ἢ δρόμων, ἢ πορειῶν, ἢ κυνηγεσιῶν, ἢ ἄλλου τινὸς πόνου ἀκαίρου, ἢ ἐξ ἀφροδισίων· τοὺς ἀχρόους, τοὺς βραγχαλέους, τοὺς σπληνώδεας, τοὺς λειφαίμους, τοὺς πνευματώδεας, καὶ ξηρὰ βήσσοντας, καὶ διψώδεας, τοὺς φυσώδεας, τὰς φλεβῶν ἀπολήψιας· τοὺς ἐντεταμένους ὑποχόνδρια καὶ πλευρὰ καὶ μετάφρενον, καὶ τοὺς ἀπονεναρκωμένους, καὶ [205] ἀμαυρὰ βλέποντας, καὶ οἷσιν ἦχοι τῶν οὐάτων ἐμπίπτουσι, καὶ τὰς οὐρήθρας ἀκρατῶς διακειμένους, τοὺς ἰκτεριώδεας, καὶ ὧν αἱ κοιλίαι ὠμὰ ἐκβάλλουσιν, καὶ αἱμοῤῥαγέοντας ἐκ ῥινῶν ἢ καθ' ἕδρην σφοδρῶς, ἢ ἐν ἐμφυσήμασιν ἐόντας, ἢν πόνος αὐτοῖς ἐπιτρέχει σφοδρὸς, καὶ μὴ ἐπικρατέωσι· τῶν τοιῶνδε μηδένα φαρμακεύειν· κίνδυνόν τε γὰρ ἕξεις, καὶ οὐδὲν ὀνήσεις, τάς τε ἀπὸ ταυτομάτου ἀπαλλάξιας, καὶ κρίσιας ἀφαιρήσεις. Ἢν δὲ αἷμά τινι ξυμφέρῃ ἀφαιρέειν, στερεὴν πρότερον ποιέειν τὴν κοιλίην, καὶ οὕτως ἀφαιρέειν· καὶ λιμοκτονέειν, καὶ οἶνον ἀφαιρέειν αὐτῷ· ἔπειτα τῇ διαίτῃ τῇ προσηκούσῃ τὰ ἐπίλοιπα αὐτέων, καὶ πυρίῃσιν ἐνίκμοισι θεράπευε. Ἢν δέ σοι κατάπυκνος ἡ κοιλίη δοκῇ εἶναι, μαλθακῷ κλύσματι ὑπόκλυζε. Ἢν δὲ φαρμακεῦσαι δόξῃ, ἐλλεβόρῳ ἀσφαλέως ἄνω κάθαιρε, κάτω δὲ μηδενὶ τῶν τοιούτων. Κράτιστον δὲ ἐς οὔρησιν, καὶ ἐς ἱδρῶτας, καὶ ἐς περιπάτους ἄγειν, καὶ τρίψει ἡσύχῳ χρέο, ἵνα μὴ πυκνώσῃς τὴν ἕξιν· ἢν δὲ κλινοπετὴς ᾖ, ἄλλοι τριβέτωσαν αὐτόν. Κἢν μὲν ἐν τῷ θώρηκι ὑπὲρ τῶν φρενῶν λυπέῃ τὸ πάθος αὐτὸν, ἀνακαθίζειν ὡς πλειστάκις, καὶ ὡς ἥκιστα προσκλινέσθωσαν [206] ἐς ὅτε δυνατοί εἰσι, καὶ καθίζοντα ἀνατρίβειν μὲν πολὺν χρόνον πολλῷ θερμῷ· ἢν δὲ ἐν τῇ κάτω κοιλίῃ ὑπὸ φρένας ἴσχῃ τὰ ἀλγήματα,

palmulis, aut labruſcæ florentis racemulis. Si vero febris non detineat, adſintque tormina, lac aſininum calidum, modicum primum; deinde ſenſim progreſſu facto amplius bibat, & lini ſemen, & triticeam polentam, & fabas Ægyptias, exempto amaro quod ineſt, detracto cortice inſpergens, potui exhibeto: aut ova ſemiconcreta edat aſſa, & ſimilam, & milium, & alicam ex lacte coctam: hæc cocta frigida edenda, hisque ſimilia & pocula, & edulia exhibenda. Diætetices maximum eſt, febrium tum intentiones, tum remiſſiones ut in acutis, ſic & longis morbis obſervare, ac cavere, ut tempora quibus cibi offerendi non ſunt, ſerves, & quando tuto offerendi ſint, cognoſcas; atque etiam quando plurimum ab intentione adfuerint. At noſſe oportet eos, quibus caput dolet ob exercitationes, aut curſus, aut itinera, aut venationem, aut quemvis alium intempeſtivum laborem, aut res venereas; decolores, raucedinoſos, lienoſos, exangues, difficile ſpirantes, ſicca tuſſi laborantes, ſiticuloſos, flatulentos, & venarum interceptiones; & eos, quibus intenta ſunt tum hypochondria, tum latera, tum dorſum, ac torpore detentos, & obſcure videntes, & eos quibus aurium tinnitus incidunt, & qui urinas non continent, morbo regio laborantes, & quorum alvi cruda dejiciunt, quibus ſanguis e naribus, aut ſede vehementer erumpit, aut inflationibus obſeſſos, ſi his vehemens dolor incurſet, neque ſuperiores ſint: horum nullum medicamento purgandum eſſe; etenim periculum invehes, nihilque juvabis, ſpontaneasque liberationes, ac judicationes adimes. At ſicui ſanguinem detrahere conferat, firmam prius alvum facere oportet, atque ita detrahere; & ægrum inedia macerare, eique vinum demere; poſtea congruenti victu, & fotibus humidis reliquam curationem perage. At ſi conſtricta alvus eſſe tibi videatur, eam molli clyſtere ſublue. Si vero purgandum eſſe viſum fuerit, tuto per veratrum ſurſum purga, deorſum vero talium neminem. Optimum autem eſt, ad urinas, ad ſudores, & ad deambulationes adducere, & leni frictione uti, ut ne habitum denſiorem efficias; ſi vero in lecto decumbat, alii eum fricent. Et ſi in thorace quidem ſupra ſeptum transverſum affectus læſerit, eum ut plurimum deſidere convenit, & quam minimum reclinari, quoad vires ferant, ſedentemque longo tempore oleo multo calido perfricari; ſi vero in inferiore alvo ſub ſepto transverſo doloribus afficiatur, de-

VARIÆ LECTIONES.

203 Sic ſcripſimus pluralitatem codd. ſecuti, in aliis ἀμπέλων legitur. Paulo poſt γάλα βόειον, *lac bubulum*, alia legunt exemplaria.

204 Pro καταλεπίσας, *detracto cortice*, alii ſcribunt καταλέσας, *ubi molueris*. Deinde pro πινέτω, Imp. Sambuci habet ἐκπινέτω.

205 Pro ἀμαυρὰ habet MS. cod. Medic. ἀμυδρὰ eodem ſenſu.

206 ὡς ὅτε δυνατοί εἰσι Imp. Sambuci habet.

decumbere confert, nulloque motu moveri, præterquam frictione, tali corpori conducit. Qui vero ex inferiore alvo solvuntur dolores, per urinas, & sudores, si moderate delabantur, qui parvi sunt, sua sponte solvuntur; vehementes autem pravi sunt: tales enim aut intereunt, aut aliorum malorum expertes non convalescunt; verum quæ ejusmodi sunt, incumbunt ac firmantur. Potio hydropi idonea. Cantharidas tres ablatis cujusque capite, pedibus, & alis, earum corpora in tribus aquæ cyathis trita (exhibe;) & quum ex epoto medicamento laboraverit, calida perfundatur; illitus autem prius, jejunus bibat, & ex oleo panes calidos edat. Sanguinem sistens medicamentum. Fici succum lana exceptum intus ad venam appone. Aut coagulum involutum in nares immitte. Aut chalcitidem digito prius formatam apprime, & cartilagines utrinque foris comprime, alvumque lacte asinino cocto solve, & caput rade, & refrigerantia, si anni tempestas calida fuerit, admove. Sesamoides sursum purgat, sesquidrachmæ pondere ex aceto mulso tritum, & potui datum; commiscetur autem & veratris tertia potionis pars, ac minus suffocat. Ad Trichosin, Immissum acui foramen habenti filum in summa superioris palpebræ margine deorsum versus facta perpunctione transmitte, aliudque sub hoc inferne trajicito; extensa fila consue, ac colliga, quoad decidant. Et si satis quidem habuerit, bene cedat; sin minus, siquid deficiat, rursus eadem facienda. Hæmorrhoidas quoque eodem modo, impulso per acum crassissimo & quammaximo lanæ succidæ filo deligabis, (securior enim evadit hæc curatio) deinde iis compressis, septico medicamento utere, neque priusquam deciderint, perfunde; unamque perpetuo relinque; & postea refectis viribus, elleboro purgandum, deinde exerceatur, & exudet, & ante exercitationem mane frictio multa fiat; cursu abstineat, ebrietate, & acribus, excepto origano. Vomat septimo quoque die, aut ter in mense: sic enim optime corpus habuerit. Vinum fulvum bibat, austerum, & aquosum, & modicum. Purulentis dissectos scillæ orbiculos in aqua coquito; & ubi valde efferbuerit, effunde, & alia affusa coquito, quoad tactui percocti, & molles apparuerint. Deinde læviter tritis cuminum frixum commisce, alba sesama, & amygdalas recentes tritas, atque hæc melle excepta, delingenda exhibeto;

ἀνακέεσθαι ξυμφέρει, καὶ μηδεμίην κίνησιν
κινέεσθαι τῷ τοιῷδε σώματι ξυμφέρει, ἔξω
τῆς ἀνατρίψεως. Τὰ δ' ἐκ τῆς κάτω κοι- 384
λίης λυόμενα δι' οὔρων καὶ ἱδρώτων, ἢν ὀλι-
σθῇ μετρίως, ὑπὸ αὐτοματισμοῦ λύεται τὰ
σμικρά· τὰ σφόδρα δὲ, πονηρόν· οἱ τοιοῦ-
τοι γὰρ ἢ ἀπόλλυνται, ἢ ἄνευ κακῶν ἄλ-
λων οὐ γίνονται ὑγιεῖς, ἀλλ' ἀποστηρίζει,
51 καὶ τὰ τοιουτότροπα. [207] Πόμα ὑδρωπιῶν-
τι. Κανθαρίδας τρεῖς, ἀφελὼν τὴν κεφα-
λὴν ἑκάστης, καὶ πόδας, καὶ πτερὰ, τρί-
ψας ἐν τρισὶ κυάθοις ὕδατος τὰ σώματα·
ὁκόταν δὲ πονέῃ ὁ πιὼν, θερμῷ βρεχέ-
σθω· ὑπαλειφόμενος δὲ πρότερον, νῆστις δὲ
πινέτω, ἐσθιέτω δὲ ἄρτους θερμοὺς ἐξ ἀ-
λείφατος. Ἴσχαιμον. Ὀπὸν συκῆς ἐν εἰ-
ρίῳ προσθεῖναι εἴσω πρὸς τὴν φλέβα. Ἢ
πιτύην συστρέψαντα ἐμβῆσαι εἰς τὸν μυ-
κτῆρα. Ἢ χαλκίτιδος τῷ δακτύλῳ προ-
σεπισπασάμενος πίεσον, καὶ τοὺς χόνδρους
ἔξωθεν προσπίεζε ἑκατέρωθεν, καὶ τὴν
κοιλίην λῦσον ὄνου γάλακτι ἑφθῷ, καὶ
τὴν κεφαλὴν ξυρῶν, ψυκτικὰ πρόσφερε,
ἢν ὥρη θερμὴ γίγνηται. Σησαμοειδὲς
ἄνω καθαίρει, ἡ πόσις ἡμιόλιον δραχμῆς
[208] ὁ σταθμὸς ἐν ὀξυμέλιτι τετριμμένον·
ξυμμίσγεται δὲ καὶ τοῖσιν ἐλλεβόροισι, καὶ
ἧσσον πνίγει, τὸ τρίτον μέρος τῆς πόσιος.
[209] Τριχώσιος. Ὑποθεὶς τὸ ῥάμμα τῇ βε-
λόνῃ τῇ τὸ κύαρ ἐχούσῃ, κατὰ τὸ ὀξὺ
τῆς ἄνω τάσιος τοῦ βλεφάρου ἐς τὸ κάτω
διακεντήσας, δίες καὶ ἄλλο ὑποκάτω τούτου·
ἀνατείνας δὲ τὰ ῥάμματα, ῥάψον καὶ κατά-
δει, ἕως ἂν ὑποπέσῃ. Κῆν μὲν ἱκανῶς ἔχῃ·
εἰ δὲ μὴ, ἢν ἐλλείπῃ, ὀπίσω ποιέειν τὰ
αὐτά. Καὶ τὰς αἱμοῤῥοΐδας τὸν αὐτὸν τρόπον
διώσεις, τῇ βελόνῃ ὡς παχύτατον εἰρίου οἰσυ-
πηροῦ ῥάμμα, καὶ ὡς μέγιστον ἀποδήσας·
(ἀσφαλεστέρη γὰρ γίνεται ἡ θεραπείη) εἶτα
ἀποπιέσας τῷ σηπτῷ χρέο, καὶ μὴ βρέχε
πρὶν ἀποπέσῃ, καὶ αἰεὶ μίην καταλίμπανε·
καὶ μετὰ ταῦτα ἀναλαβὼν, ἐλλεβορίσαι·
εἶτα γυμναζέσθω, καὶ [210] ἀφιδρούτω,
γυμνασίου δὲ τρῖψις πολλὴ ἀπὸ ὄρθρου·
δρόμου δὲ ἀπεχέσθω, καὶ μέθης, καὶ
τῶν δριμέων ἔξω ὀριγάνου. Ἐμεέτω δὲ δι'
ἑπτὰ ἡμερέων, ἢ τρὶς ἐν τῷ μηνί·
οὕτω γὰρ ἂν ἔχοι ἄριστα τὸ σῶμα. Οἶ-
νον δὲ κιῤῥὸν, αὐστηρὸν, ὑδαρέα τε, καὶ
ὀλίγον πινέτω. Τοῖσι δὲ ἐμπύοισι, σκυλ-
λης καταταμὼν κυκλίσμους, ἑψεῖν ὕδατι,
καὶ ἀποζέσας εὖ μάλα ἀπόχεον, καὶ ἐ-
πιχέας ἄλλο ἕψε, ἕως ἂν ἁπτομένῳ δι-
εφθὸν καὶ μαλθακὸν φανῇ. Εἶτα τρί-
ψας λεῖον, ξύμμισγε κύμινον πεφρυγμέ-
νον, καὶ λευκὰ σήσαμα, καὶ ἀμυγδάλας
νέας, τρίψας ἐν μέλιτι ἐκλεικτὸν δίδου,
καὶ

VARIÆ LECTIONES.

207 Hoc medicamentum notat Galenus infeliciter evenisse, ob tumorem in femore enatum, qui deinde sectus fuit; atque æger interiit.

208 Imp. Samb. & Lind. delent ὁ σταθμὸς, *pondus.*

209 τρίχωσις est ortus pilorum in palpebris enascentium, ac pungentium.

210 Alii διϊδρούτω hoc in loco habent pro ἀφιδρούτω.

καὶ ἐπὶ τούτῳ οἶνον γλυκύν. Ῥοφήματα δὲ, μήκωνος τῆς λευκῆς ὑποτρίψας ὁκόσον λεκίσκιον, ὕδατι διεὶς σηπανίου πλύματι ἀλεύρου, ἑψήσας, μέλι ἐπιχέας, χλιαρὸν ἐπιῤῥοφέων, οὕτω διαγέτω τὴν ἡμέρην· εἶτα ἐς τὰ ἀποβαίνοντα λογιζόμενος, τὸ δεῖπνον δίδου. Δυσεντερίης. Κυάμων καθαρῶν τεταρτημόριον, [211] καὶ ἐρυθροδάνου δυοκαίδεκα κάρφεα λεῖα ξυμμίξαντα, καὶ ἑψήσαντα, λιπαρὰ διδόναι ἐκλείχειν. [212] Ὀφθαλμῶν. Σποδὸς πεπλυμένη, λιπαρῶς πεφυρημένη ὡς στέαρ, μὴ ὑγρὸν, λεῖον τρίψας, ὀμφακίῳ τῷ τῆς πικρῆς ὄμφακος ἀνυγρήνας, ἐν ἡλίῳ τε ἀναξηρήνας, ὑγραίνειν ὡς ἐνάλειπτον· ὁκόταν δὲ ξηρὸν γένηται, λείῳ τετριμμένῳ ξηρῷ ὑπάλειφε τοὺς ὀφθαλμοὺς, καὶ παράπασσε τοὺς κανθούς. [213] Ὑγρῶν. Ἐβένου δραχμὴν, χαλκοῦ κεκαυμένου ἐννέα ὀβολοὺς ἐπ' ἀκόνης τρίβων, κρόκου τριώβολον, ταῦτα τρίψας λεῖα, παράχεε οἴνου γλυκέος κοτύλην Ἀττικήν· κἄπειτα ἐς τὸν ἥλιον θεὶς, κατακαλύψας, ὁκόταν συνεψηθῇ, τούτῳ χρέο. [214] Πρὸς τὰς περιωδυνίας. Χαλκίτιδος δραχμὴ, σταφυλῆς ὁκόταν δύο μέρεα ληφθῇ, ἐκπιέσας, σμύρναν καὶ κρόκον τρίψας, ξυμμίξας τὸ γλεῦκος, ἕψησον ἐν τῷ ἡλίῳ, καὶ τούτῳ ὑπάλειφε τοὺς περιωδυνέοντας· ἔστω δὲ ἐν χαλκῷ ἀγγείῳ. Ὑπὸ ὑστερικῶν πνιγομένων γνῶσις· πιέσαι τοῖσι δυσὶ δακτύλοισι, καὶ ἢν αἴσθηται, τὰ ὑστερικά ἐστιν· ἢν δὲ μὴ, σπασμώδεα. Τοῖσιν ὑδρωπιώδεσι. Μηκώνιον, λεκίσκιον Ἀττικὸν στρογγύλον πόσις. Λεπίδος μηλαὶ τρεῖς τῷ πλάτει, καὶ [215] ἀλήτου σηπανίου, κολλήσαντα ταῦτα, λεῖα τρίψας, καταποτὰ ξυστρέψας, δίδου· κάτω ὕδωρ καθαίρει, καὶ κοιλίην ἐκκοπρεῖ. Ἐς ἰσχάδας, ὀποῦ τοῦ τιθυμάλλου ἀπόσταζε ὁκόσον ἑπτάκις ἐς ἑκάστην, εἶτα ἐς καινὸν ἄγγος συνθεὶς ταμιεύεσθαι, δίδου τῷ εἰρημένῳ πρὸ τῶν σιτίων. [216] Τοῖς ὑδρωπικοῖς τὸ μὲν κώνιον τρίβων, ὕδωρ ἐπιχέας, δίδου ἐσθίειν καὶ ἐπιπίνειν· καὶ τὸ μηκώνιον τρίβων; ὕδωρ ἐπιχέων καὶ διηθέων, ἄλευρον φυρῶν, ἴτριον ὀπτῶν, [217] μέλι ἑφθὸν παραχέων, τοῖσιν ὑδρωπικοῖσι τρώγειν δίδου, καὶ ἐπιπίνειν οἶνον γλυκὺν ὑδαρέα, ἢ μελίκρητον ὑδαρές. Τὸ δὲ ἀπὸ τῶν κοπρίων μηκώνιον ξυλλέγων, ταμιεύου καὶ θεράπευε.

& postea vinum bibat dulce. Sorbitiones autem, papaveris albi subtriti parvum acetabulum, aqua loturæ farinæ hornæ maceratum, melleque affuso coctum, tepidum sorbeat; sicque diem transigat: deinde quæ contingunt expendens ratione, cœnam dato. Ad Dysenteriam. Fabarum purarum quadrantem, surculosque rubiæ duodecim tritos commisceto, & coquito, ac pingui addito, delingenda præbeto. Ad Oculos. Spodium lotum, tanquam farinæ massam probe subactum, non liquidum, læviter teras, acerbo uvæ immaturæ & amaræ succo humectatum, & in sole resiccatum, ut illini queat, humectato: quum autem siccum evaserit, læviter tritum, siccum oculis illine, eorumque angulis insperge. Ad eosdem humidos. Ebeni drachmam, æris usti obolos novem in cote terito, croci obolos tres, his læviter tritis, vini dulcis heminam Atticam affundito; deinde Soli exponito, & contegito, atque ubi cocta exaruerint, his utere. Ad vehementes eorum dolores. Chalcitidis drachmam, uvæ expressæ reliquas partes duas, myrrham, crocumque terito, musto admixto, in Sole coquito, & eo vehementer dolentes illinito; sit autem in vase æneo. Earum, quæ ab utero suffocantur, cognitio; digitis duobus comprime, quod si senserit, uteri strangulatio est; si non, convulsio. Ad hydropicos. Meconii seu pepli, acetabulum parvum Atticum rotundum potui dato. Squamæ æris quantum specilla tria lata capiunt, cum farina recenti agglutinentur, hæc læviter trita, in catapotia convolvens dato; deorsum aquam purgant, & ex alvo stercus deturbant. In caricas singulas succi tithymalli guttas septem instilla; deinde in vas novum compositas reconde, ac prædicto ante cibum exhibe. Hydropicis cicutam tritam, aqua affusa, dato edendam, & superbibendum: & meconium seu peplum terito, aqua affusa percolato, & farina subactum in placentam coque, mel coctum affundens, hydropicis edendum exhibe, ac superbibendum (vinum) dulce aquosum, vel dilutam mulsam porrige. Quod autem ab excrementis meconium colligis, asserua, & cura.

ΙΠΠΟ-

Variæ Lectiones.

211 καὶ ἐρυθροῦ δαύκου cod. Basil. Gal. habet.

212 ἄλλο περὶ ὀφθαλμῶν Servin. ex MS. cod.

213 Pro indicatura MS. Servin. habet ὑγρῶν θεραπεία.

214 Servin. pro indicatura legit πρὸς τὴν περιωδυνίην καὶ ῥεύματα. qui postea σταφυλῆς περκαζούσης scribit.

215 Hoc in loco pro ἀλήτου, Galeni exemplaria scribunt ἀλεύρου, quam lectionem adhibuit Charterius. Paulo post ξυστρέψας cum Galeno legimus, quam vocem non habent exemplaria vulgata.

216 Τοῖς ὑδρωπικοῖς τὸ μὲν κώνιον τρίβων, ὕδωρ ἐπιχέας, δίδου ἐσθίειν καὶ ἐπιπίνειν legunt Galeni exemplaria, quæ sententia in vulgatis codd. deest, adscribere tamen perplacuit.

217 μέλι παραχέων, *mel affundens*, vulgati quidam codd. omisso ἑφθὸν, *coctum*, quod sequimur cum Galeno.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΤΟΠΩΝ ΤΩΝ ΚΑΤ ΑΝΘΡΩΠΟΝ ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE LOCIS IN HOMINE LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Περὶ τῶν τοῦ σώματος κατὰ γένος μορίων τινά· περὶ τῶν αἰσθήσεων τῶν ἔξωθεν· περὶ τῶν φλεβῶν τὰ πλεῖστα· περὶ τῶν νεύρων, καὶ τῶν ῥαφῶν, καὶ τῶν ἄρθρων, καὶ τῶν ἄλλων μορίων· περὶ τῶν ῥόων, καὶ τῶν πυρετῶν, καὶ τῶν ἑλκῶν, καὶ τῶν ἄλλων νοσημάτων· καὶ περὶ τῆς μεθοδικῆς τῶν βοηθημάτων πλείστων χρείας.

ARGUMENTUM LIBRI.

De corporis partibus in genere quædam; de sensibus exterioribus; de venis plurima; de nervis, suturis, articulis, aliisque partibus; de fluxionibus, febribus, ulceribus, aliisque morbis; ac de methodico auxiliorum plurimorum usu.

Basil. Lat. II, 1. pag. 88. — Foesius Sect. IV. 78. 407. — Basil. Græc 343. pag. 63.

SECTIO I.

CAPUT I.

Corporis, circuli, ac morborum principium ac finis; morbis aridiora corpora magis obnoxia, minus humidiora; proprium partis alicujus affectum, affectus per consensum, & secundarios excitare; interseptum humorem fluxionum & morborum causam esse; a primogenito morbo curationis principium ducendum; partium cognatio, consensio, communicatio; partis unius affectu, universum corpus affici.



Rincipium corporis mihi quidem nullum esse videtur, sed partes omnes peræque principium, omnesque finis. 1
Descripto namque circulo, prin- 2

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ τοῦ σώματος, καὶ κύκλου, καὶ νοσημάτων ἀρχὴ καὶ τελευτή· τὰ ξηρότερα σώματα τὰς νόσους λάζεσθαι καὶ πονεῖν μᾶλλον, τὰ ὑγρὰ ἧσσον· τὸ ἴδιον τινος μορίου νοσήματα κατὰ συμπάθειαν νοσήματά τε καὶ τὰ δευτέρια ποιεῖν· τὴν ὑγρότητα ἀποφρασσομένην τῶν ῥευμάτων καὶ τῶν νοσημάτων αἰτίαν εἶναι· ἀπὸ τῆς πρωτογόνου νόσου ἀρκτέον τὴν θεραπείαν· ἡ τῶν μορίων συγγένεια, καὶ συμπάθεια, καὶ κοινωνία· τῇ τοῦ ἑνὸς μορίου διαθέσει τὸ ἅπαν σῶμα διακεῖσθαι.



ΜΟΙ " δοκέει ἀρχὴ μὲν οὖν οὐδεμία εἶναι τοῦ σώματος, ἀλλὰ ' πάντα ὁμοίως ἀρχὴ, καὶ πάντα τελευτή. " [1] Κύκλου γὰρ γραφέντος, ἀρχὴ οὐχ

Variæ Lectiones.

Cum multa ex hoc libro citentur a Cornelio Celso, Cæl. Aurel. Ruffo Ephesio; atque ab ipso Gal. & Erotiano in explicatione vocum Hippocr. eum si non genuinum, saltim Hipp. doctrina dignum antiquitus esse judicatum facile colligitur. Quinimo Ruffus Ephes. Libr. I. part. altera. cap. I. pag. 111. Hippocr. vere illius auctorem facere videtur, eum appellans divinissimum *auctorem. Compendium est hic liber totius medicinæ: physiologiam enim continet partium corporis humani, earumque affectiones describit breviter, tum naturales & non naturales; unde inscriptionem meruit* περὶ τόπων τῶν κατ' ἄνθρωπον.

1 Similis locus habetur Libr. περὶ ὀστέων φύσιος, hisce verbis: κύκλου γὰρ γεγενημένου ἀρχὴ οὐχ εὑρέθη. Postea pro νούσους λάζεσθαι, quædam exemplaria legunt νούσοις, *morbis*, scilicet obnoxium; hancque lectionem probat Lindenus præeunte Foesio.

οὐχ εὑρέθη· [2] καὶ τῶν νουσημάτων ἐπὶ παντὸς ὁμοίως τοῦ σώματος. Τὸ μὲν ξηρότερον, πεφυκὸς νούσους λάζεσθαι, καὶ μᾶλλον πονέειν· τὸ δὲ ὑγρὸν, ἧσσον. Τὸ μὲν γὰρ ἐν τῷ ξηρῷ νούσημα πήγνυταί τε καὶ οὐ διαπαύει· τὸ δ᾽ ἐν τῷ ὑγρῷ, διαῤῥεῖ, καὶ τοῦ σώματος ἄλλοτ᾽ ἄλλο μάλιστα ἔχει, καὶ αἰεὶ μεταλλάσσον, ἀνάπαυσιν ποιέει, καὶ θᾶσσον παύεται, ὥστε οὐ πεπηγός. Τοῦ δὲ σώματος τὰ μέλεα ἕκαστα τὸ ἕτερον τῷ ἑτέρῳ, ὁκόταν ἔνθα ἢ ἔνθα ὁρμήσῃ, νοῦσον παραυτίκα ποιέει· ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ· καὶ τἄλλα πάντα οὕτω κατὰ λόγον, ὥσπερ ἡ κοιλίη τῇ κεφαλῇ, καὶ ἡ κεφαλὴ τῇσί τε σαρξὶ καὶ τῇ κοιλίῃ. Ἡ γὰρ κοιλίη ὁκόταν ὑπεκχώρησιν μὴ ποιέῃ τὴν μετρίην, [3] καὶ ἐσίῃ (τὸ σιτίον) ἐς αὐτὴν, ἄρδει τῇ ὑγρότητι τὸ σῶμα τῇ ἀπὸ τῶν σιτίων τῶν προσφερομένων· αὐτὴ δὲ ἡ ὑγρότης ἀπὸ τῆς κοιλίης [4] ἀποφρασσομένη, ἐς τὴν κεφαλὴν ὡδοιπόρησεν ἀθρόη· καὶ ἐς τὴν κεφαλὴν ἐπὴν ἀφίκηται, οὐ χωρευμένη ὑπὸ τῶν τευχέων τῶν ἐν τῇ κεφαλῇ, ῥεῖ ᾗ ἂν τύχῃ, καὶ πέριξ τῆς κεφαλῆς, καὶ ἐς τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου, καὶ ἡ μὲν ἐν τῷ ὀστέῳ ἐνδέδυκεν, ἡ δὲ περὶ τὸν ἐγκέφαλον διὰ λεπτοῦ τοῦ ὀστέου. Καὶ ἢν μὲν ἐς τὴν κοιλίην πάλιν ἀφίκηται, [5] τῇ κοιλίῃ νοῦσον ἐποίησεν· ἢν δ᾽ ἄλλῃ πῃ τύχῃ, ἄλλῃ νοῦσον ποιέει. Καὶ τἄλλα οὕτως, ὥσπερ τοῦτο, τὸ ἕτερον τῷ ἑτέρῳ νοῦσον ποιέει. Καὶ κάλλιστον οὕτως, εὐτρεπίζειν τὰ νοσεύμενα, διὰ τῶν τὰς νούσους ποιεύντων. Οὕτω γὰρ ἂν κάλλιστα τὴν ἀρχὴν τοῦ νοσευμένου τὶς ἰῷτο. Τὸ δὲ σῶμα αὐτὸ ἑωυτῷ τωὐτόν ἐστι, καὶ ἐκ τῶν αὐτῶν σύγκειται· [6] ὁμοίως δὲ οὐκ ἔχοντος καὶ τὰ σμικρὰ αὐτοῦ, καὶ τὰ μεγάλα, καὶ τὰ κάτω καὶ τὰ ἄνω· καὶ εἴτις βούλεται τοῦ σώματος ἀπολαβὼν μέρος κακῶς ποιέειν τὸ σμικρότατον, πᾶν τὸ σῶμα αἰσθήσεται τὴν πεῖσιν, ὁποίη ἄν τις ᾖ, διὰ τόδε, ὅτι τοῦ σώματος τὸ σμικρότατον πάντα ἔχει, ὅσαπερ καὶ τὸ μέγιστον. Τοῦτο δ᾽ ὁποῖον ἄν τι πάθῃ τὸ σμικρότατον, ἐπαναφέρει πρὸς τὴν [7] ὁμοεθνίην, ἕκαστον πρὸς τὴν ἑωϋτοῦ, ἤν τε κακὸν, ἤν τε ἀγαθὸν ᾖ· καὶ διὰ ταῦτα καὶ ἀλγέει, καὶ ἥδεται ὑπὸ ἔθνεος τοῦ σμικροτάτου τὸ σῶμα, ὅτι ἐν τῷ σμικροτάτῳ πάντ᾽ ἔνι τὰ μέρεα, καὶ ταῦτα ἐπαναφέρουσιν ἐς τὰ σφῶν αὐτῶν ἕκαστα, καὶ διαγγέλλουσι, πάντα.

cipium non invenitur: eademque ratio morborum in toto corpore. Quod enim ſiccius eſt, morbos ſuſcipere, magisque laborare conſuevit; humidum vero, minus. Morbus enim qui in ſicco eſt, figitur, neque ceſſat; qui vero in humido, diffluit, & alias aliam præcipue corporis partem occupat, & ſemper commutando quietem facit, celeriusque ſedatur, quod non fixus ſit. Unaquæque vero corporis pars altera alteri, quum hinc vel illinc proruperit, ſtatim morbum facit; venter capiti, & caput carnibus, ac ventri; & reliquæ omnes eadem ratione, quemadmodum venter capiti, & caput carnibus ac ventri. Quum enim venter moderatam dejectionem non fecerit, & in eum (cibus) immittatur, aſſumptorum ciborum humore corpus irrigat; ipſe vero humor a ventre interſeptus, confertim ad caput viam molitur: quumque ad caput pervenerit, a capitis vaſis haud exceptus, fluit quocunque fors tulerit, & in capitis ambitum, & in cerebrum per os tenue, & partim quidem os ſubit, partim vero circum cerebrum per os tenue fertur. Quod ſi ad ventrem rurſus quidem ſe contulerit, ventri morbum inducit; ſi vero in aliam quampiam partem decubuerit, ei ipſi morbum facit. Ita etiam reliquæ partes ut hæc, altera alteri morbum inducit. Atque ſic optimum fuerit ægrotantium partium per eas, quæ morbos faciunt, curationem ſuſcipere. Sic enim quam optime quis ægrotantis principio medebitur. Corpus autem ipſum ſibi ipſi idem eſt, & ex eisdem conſtat;
3 etſi vero non eodem modo ſe habent ejus partes parvæ & magnæ, itemque inferiores & ſuperiores; ſiquis tamen interceptam corporis partem minimam male afficere velit, eam affectionem, qualiscunque tandem fuerit, totum corpus ſentiet, propterea quod minima corporis pars eadem habet omnia, quæcunque & maxima. Eaque minima pars quicquid tandem
4 pertulerit, ad cognatas refert, unaquæque ad ſuam, ſive bonum, ſive malum id fuerit; ac propterea corpus ob minimæ partis cognationem tum dolet, tum oblectatur, quod in minima partes omnes inſint, eæque ad ea, quæ ſui ſunt generis, ſingula transferunt, & omnia denunciant.

Variæ Lectiones.

2 Vulgati codd. καὶ τῶν νουσημάτων legunt. Linden. vero vulg. lect. immutavit, & ſic habet: καὶ τῶν μελέων ἐπὶ παντὸς ὁμοίως τοῦ σώματος, *ſimiliter etiam membrorum in toto corpore*, quæ lectio Foeſio probatur in verſione, & quamvis ratione non deſtituatur, tamen vulgatam prætulimus ope Codd. deſtituti. Ibid. pro ἐπὶ quidam legunt ἀπό.

3 καὶ ἐσίῃ τὸ σιτίον ἐς αὐτὴν Imp. Corn. codex, quam lectionem ſecuti ſunt Interpretes additis τὸ σιτίον, quæ lectio probatur.

4 ἐμφρασσομένη Imp. Corn. cod. pro ἀποφρασσομένη.

5 τῇ κοιλίῃ νοῦσον ἐμποιέει Lind. legit, ubi ἐμποιέει pro ἐποίησεν ponitur.

6 Sic legunt omnia exempl. Cornarius tamen legiſſe videtur ὁμοίως δὲ ἔχοντος, omiſſo οὐκ, & cum ſequentibus connectit. Linden. vulgatam quidem retinet lectionem, ſed pro ἔχοντος legit ἐχόντων.

7 Ὁμοεθνίη dicitur gentilitas, *cognatio* & partium corporis inter ſe *conſenſio*, qua altera alteri affectum communicat, & quadam inter ſe mutua conſenſione conſpirat. Cæterum ὁμοεθνίη ex Scholio cod. Reg. explicatur ἡ τοῦ σώματος συμμετρία καὶ ὁμοτονία.

CAPUT II.

De auditu, odoratu, ac visu; eorumque organis, ac venis; de tribus oculorum membranis; & cerebri duabus; de venarum a capite distributione, & communicatione; de venæ cavæ distributione. Unde infæcunditas, visionis extinctio, læsio, turbatio, sanguinis mictus.

At vero corporis natura principium sermonis in arte Medica. Primum qua parte audimus, perforatum est. Vacua namque in aurium circuitu nil aliud, præter strepitum & clamorem, inaudiunt; quidquid vero per membranam ad cerebrum pervenerit, id aperte hac parte auditur; ac unicum foramen per membranam cerebrum circumvolventem est. In naribus quidem foramen nullum, sed laxum quiddam inest, velut spongia; eamque ob causam per longius intervallum audit, quam olfacit. Longe enim ab olfactu odor dispergitur: ad oculos etiam venulæ tenues ad visionem ex cerebro per ambientem membranam feruntur. Hæ autem venulæ humore purissimo de cerebro affluente visionem alunt, qui etiam in oculis apparet. Eædem venæ quoque ubi resiccatæ fuerint, visionem extinguunt. Membranæ vero tres sunt oculos ipsos custodientes, superna quidem, crassior; media vero, tenuior; & tertia tenuis, quæ humorem conservat. Ex his superior quidem & crassissima, si læsa fuerit, morbum facit; media vero, ipsa etiam periculi plena est, & ubi rupta fuerit, foras veluti vesica prominet. Tertia tenuissima, omnino periculosa, quæ humorem conservat. Cerebri autem membranæ duæ sunt, altera superna quidem crassior, altera, quæ cerebrum contingit, tenuis, non amplius eadem, ubi vulnerata fuerit. Venæ autem ad verticem quidem per carnem permeant ossi proximæ. Ex vertice vero, duæ quidem recta per carnem feruntur, qua parte

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς ἀκοῆς, ϗ ὀσφρήσεως, ϗ ὄψεως· ϗ τῶν αὐτῶν ὀργάνων, ϗ φλεβῶν· περὶ τῶν τριῶν ὀφθαλμῶν μηνίγγων· ϗ δυοῖν τῆς κεφαλῆς· περὶ τῆς τῶν φλεβῶν ἀπὸ τῆς κεφαλῆς διαδόσεώς τε ϗ κοινωνίας· περὶ κοίλης φλεβὸς διαδόσεως· ὅθεν ἀκαρπία, ἡ τῆς ὄψεως ἀπόσβεσις, ϗ βλάβη, ϗ τάραξις, ϗ τοῦ αἵματος οὔρησις.

5 Φύσις " δὲ τοῦ σώματος, [8] ἀρχὴ τοῦ ἐν
ἰητρικῇ λόγου. Πρῶτον διατέτρηται
ᾗ ἐσακούομεν. Τὰ μὲν γὰρ περὶ τὰ ὦτα
πέριξ κενεὰ, οὐκ εἰσακούει ἄλλο ἢ ψόφον
καὶ ἰαχήν· ὅ, τι δ' ἂν διὰ τῆς μήνιγγος ἐς
6 τὸν ἐγκέφαλον ἐσέλθῃ, " τοῦτο διαφραδέως ἀκούεται ταύτῃ· καὶ μόνη τρῆσις
διὰ τῆς μήνιγγός ἐστι τῆς περὶ τὸν ἐγκέφαλον περιτεταμένης. Κατὰ δὲ τὰς ῥῖνας
7 τρῆμα μὲν οὐκ ἔνεστιν, " [9] σομφὸν δὲ,
οἷον σπογγιά· καὶ διὰ τοῦτο διὰ πλέονος
ἀκούει ἢ ὀσφραίνεται· κατὰ πολὺ γὰρ
σκίδναται ἡ ὀδμὴ τῆς ὀσφρήσιος· καὶ ἐς
τοὺς ὀφθαλμοὺς φλέβια ' λεπτὰ ἐς τὴν
ὄψιν ἐκ τοῦ ἐγκεφάλου διὰ τῆς μήνιγγος
τῆς περιεχούσης φέρονται. Ταῦτα δὲ τὰ
φλέβια τὴν ὄψιν τρέφουσι τῷ ὑγρῷ τῷ καθαρωτάτῳ τῷ ἀπὸ τοῦ ἐγκεφάλου, [10] ὃ
καὶ ἐμφαίνεται ἐν τοῖσιν ὀφθαλμοῖσι. Ταῦτα δὲ τὰ φλέβια καὶ ἀποσβεννύασι τὰς ὄψεις,
ὅταν ξηρανθῶσι. Μήνιγγες δὲ τρεῖς εἰσιν αἱ
τοὺς ὀφθαλμοὺς φυλάσσουσαι· ἡ μὲν ἐπάνω, παχυτέρη· ἡ δὲ διὰ μέσου, λεπτοτέρη· ἡ δὲ τρίτη, λεπτὴ, ἡ τὸ ὑγρὸν φυλάσσουσα. Τούτων ἡ μὲν ἐπάνω καὶ παχυ-
8 τάτη, νοῦσος, ' ἣν " [11] κωφωθῇ· ἡ δὲ διὰ
μέσου ἐπικίνδυνος [12] καὶ αὕτη, καὶ ὅταν
ῥαγῇ, ἐξίσχει οἷον κύστις. Ἡ δὲ τρίτη ἡ λεπτοτάτη, πάνμπαν ἐπικίνδυνος, ἡ τὸ ὑγρὸν φυλάσσουσα. Μήνιγγες δὲ δύο εἰσὶ τοῦ ἐγκεφάλου, ἡ μὲν ἐπάνω παχυτέρη, [13] ἡ δὲ λεπτὴ τοῦ ἐγκεφάλου ἁπτομένη, οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ. Φλέβες δὲ περαίνουσι μὲν ἐς τὴν κορυφὴν διὰ τῆς σαρκὸς, [14] ἔχουσαι πρὸς τὸ ὀστέον. Φέρονται δὲ διὰ τῆς σαρκὸς, δύο μὲν ἐκ τῆς κορυφῆς κατ' ἰθὺ, ᾗ αἱ ὀφρύες

Variæ Lectiones.

8 Hæc verba ex Hippocrate transferuntur in Libr. Quod optimus medic. & in Libr. qui medicus inscribitur. Ubi τοῦ κατ' ἰατρικὴν λόγου παντὸς legitur. Lindenus vero totum hunc locum ita adducit: ἀρχὴ τοῦ ἐν ἰητρικῇ λόγου· ϗ πρῶτον μὲν τὸ σῶμα διατετρηται, ᾗ ἐσακούομεν. Ibid. διαφραδὲς legit Erot. ex hoc loco, quod σαφὲς *manifestum* exposuit, pro διαφραδέως. Hesych. vero φραδῶς, φρασικῶς, φανερῶς, *diserte*, & *aperte* exponit.

9 σομφόν. Hunc locum indicare videtur Erot. cum τὸ χαῦνον *laxum* exponit. Præterea *obscurum* Libr. II. de Morb. etiam significat, vel colorem *fuscum* & *obscurum*, ut scribit Gaza apud Theophr.

10 ὃ ϗ ἐμφαίνεται Imp. Corn. codex omisso ἐς ante ϗ, quam lectionem probamus cum Calvo.

11 Sic omnes codices. Erot. vero κωφωθῇ ex hoc loco legisse videtur, cum ἐβλάβη παρεμποδίσθη *læsa* est, *impedita* est, exponit. Cornar. autem, *si mutila fuerit*, dixit.

12 ϗ αὕτη legimus cum Imp. Corn. quam lectionem probant Interpretes, in editis cod. ϗ desideratur.

13 Sic omnes codd. Ald. vero ἡ λεπτὴ οὐκέτι ἡ αὐτὴ, ἐπὴν τρωθῇ, mendose tamen.

14 ἔρχονται Imp. Corn. codex, pro ἔχουσαι.

ὀφρύες συγκλείονται, καὶ τελευτῶσιν ἐς τοὺς κανθοὺς ʹ τῶν ὀφθαλμῶν. Μία δὲ ἀπὸ τῆς κορυφῆς ἐς τὴν ῥῖνα φέρεται, ϗ σχίζεται ἐς τὸν χόνδρον τῆς ῥινὸς ἑκάτερον. ʺΑλλαι δύο φλέβες παρὰ τοὺς κροτάφους φέρονται, ἐν μέσῳ τῶν κροτάφων ϗ τῶν ὤτων, αἳ πιέζουσι τὰς ὄψεις ϗ σφύζουσιν ἀεί. Μόναι γὰρ αὗται οὐκ ἄρδουσι τῶν φλεβῶν, ἀλλ' ἀποτρέπεται ἐξ αὐτῶν τὸ αἷμα. Τὸ δ' ἀποτρεπόμενον ʺ ἀποσυμβουλεύει τῷ ἐπιῤῥέοντι· ϗ τὸ μὲν ἀποτρεπόμενον βουλόμενον [15] ἄνω χωρέειν· τὸ δ' ἄνωθεν ἐπιῤῥέον βουλόμενον κάτω χωρέειν· ἐνταῦθα ʹὠθεύμενά τε ϗ ἀναχεόμενα πρὸς ἄλληλα, ϗ κυκλούμενα, σφυγμὸν παρέχουσιν τοῖσι φλεβίοισιν. Ἡ δὲ ὄψις τῷ ἀπὸ τοῦ ἐγκεφάλου ὑγρῷ τρέφεται· ὅταν δέ τι τοῦ ἀπὸ τῶν φλεβῶν λάβῃ, τῇ ῥύσει ταράσσεται, [16] ϗ οὐκ ἐμφαίνεται ἐς αὐτὸ, ϗ προκινέεσθαι δοκέει ἐν αὐτῷ, τοτὲ μὲν οἷον εἴδωλον ὀρνίθων, τοτὲ δὲ οἷον φακοὶ μέλανες· ʺ καὶ τἄλλα οὐδὲν ἀτρεκέως κατ' ἀληθείην δύναται ὁρᾷν. ʺΑλλαι δύο φλέβες ἐν μέσῳ τῶν τε ὤτων ϗ τῶν ἄλλων φλεβῶν, αἳ φέρονται ἐς τὰ ὦτα, ϗ πιέζουσι τὰ ὦτα. ʹʺΑλλαι δύο φλέβες ἐκ τῆς συγκλείσεως τοῦ ὀστέου ἐς τὰς ἀκοὰς φέρονται. Αἱ δὲ κάτω τοῦ σώματος τετραμμέναι, δύο μὲν φλέβες παρὰ τοὺς τένοντας τοῦ τραχήλου, [17] φέρονται καὶ παρὰ τοὺς σπονδύλους, καὶ τελευτῶσιν ἐς τοὺς νεφρούς· αὗται δὲ καὶ ἐς τοὺς ὄρχιας περαίνουσιν, ϗ ὅταν αὗται πονέσωσιν, [18] αἷμα οὐρέει ἄνθρωπος. ʺΑλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς φέρονται ἐς τοὺς ὤμους, ϗ δὴ ϗ ὠμιαῖαι καλέονται. ʺΑλλαι δύο φλέβες ἀπὸ τῆς κορυφῆς παρὰ τὰ ὦτα ἐν τοῖς ἔμπροσθεν τοῦ τραχήλου, ʹἑκατέρωθεν ἐς τὴν κοίλην φλέβα καλεομένην φέρονται. Ἡ δὲ κοίλη φλὲψ περαίνεται μὲν ὡς ὁ οἰσοφάγος, πέφυκε δὲ μεταξὺ τοῦ τε βρόγχου, ϗ τοῦ οἰσοφάγου· φέρεται δὲ διὰ τῶν φρενῶν, ϗ διὰ τῆς καρδίης, ϗ μεταξὺ τῶν φρενῶν· ϗ σχίζεται ἐς τοὺς βουβῶνας, ϗ ἐς τοὺς μηροὺς ἐντὸς, ʺ ϗ τὰς διασφαγὰς ἐν τοῖσι μηροῖσι ποιέεται, ϗ ἐς τὰς κνήμας φέρεται [19] ἐντὸς παρὰ τὰ σφυρά. Αὗται ϗ ἄκαρπον ποιέουσι τὸν ἄνθρωπον, ὅταν ἀποτμηθῶσιν, αἳ ϗ ἐς τοὺς μεγάλους δακτύλους τελευτῶσιν. ʹἘκ δὲ τῆς κοίλης φλεβὸς ἀποπέφυκεν ἐς τὴν χεῖρα τὴν ἀριστερήν· φέρεται δ' ὑποκάτω τοῦ σπληνὸς ἐς τὴν λαπάρην τὴν ἀριστερὴν, ὅθεν ὁ σπλὴν ἀποπέφυκεν διὰ τοῦ ἐπιπλόου, ϗ τὴν ἀποτελεύτησιν ἴσχει ʺ ἐς τὸν κίθαρον. Ἀποπέφυκε δὲ κατὰ τὰς φρένας, ϗ ξυμβάλλει τῇ ὠμιαίῃ ʺ [20] κάτω τοῦ ἄρθρου τοῦ ἀγκῶνος, ϗ τοῦ σπληνὸς τέμνεται αὕτη. Καὶ ἄλλη ἐς τὴν δεξιὴν, τὸν αὐτὸν τρόπον ἀποπέφυκεν [21] ʺ ἀπὸ τῆς κοίλης.

supercilia clauduntur, & ad oculorum angulos desinunt. Una autem de vertice ad nares fertur, & in utramque narium cartilaginem scinditur. Aliæ duæ venæ juxta tempora feruntur, inter tempora & aures, quæ oculos premunt, semperque pulsant. Ex venis enim hæ solæ minime irrigant, sed abducitur ab ipsis sanguis. Qui
9 vero avertitur, alteri influenti motum habet contrarium; & qui quidem avertitur, quum ascendere cupit; qui autem superne affluit, quum deorsum vult procedere: hîc autem mutuo impulsu ac diffusione, & circumvolutione, venulis pulsum præbent. At visio ex cerebro humore nutritur; quum autem quid humoris a venis acceperit, fluxione turbatur, neque in eo apparent (species,) sed obversari ipsi videntur interdum quidem velut avicularum ima-
10 gines, interdum vero ut lentes nigræ; nihilque de cætero exacte re vera cernere potest. Aliæ duæ venæ per medium aurium & reliquarum venarum, ad aures tendunt, iisque incumbunt. Aliæ duæ venæ ex ossis conjunctione, ad aures feruntur. Ex his autem, quæ ad inferiora corporis descendunt, duæ quidem venæ juxta cervicis tendines, & juxta vertebras feruntur, ac in renes desinunt, eædemque etiam ad testes permeant; quumque hæ male affectæ fuerint, homo sanguinem mejit. Aliæ duæ venæ a vertice ad humeros feruntur, & eæ sane humerales vocantur. Aliæ duæ venæ a vertice juxta aures, per anteriorem cervicis partem, utrinque in cavam appellatam venam feruntur. At vena cava, velut gula quidem producitur; mediaque inter guttur & gulam genita, per septum transversum fertur, & per cor, & inter septum; ad inguina autem & femora
11 intro scinditur, & divaricationes in cruribus facit, & in tibias intus ad malleolos fertur. Eæ quum sectæ fuerint, hominem infœcundum reddunt, quæ & in magnos digitos desinunt. Ex vena autem cava (propago) in manum sinistram deducitur; & subter lienem fertur, ad sinistri lateris inanitatem; unde lien per omentum emergit, & in thoracem desi-
12 nit. Exoritur autem juxta septum transversum, & cum humerali committitur
13 infra cubiti articulum, ipsaque lienis gratia secatur. Alia etiam ad dextram
14 manum eodem modo a cava propagatur. Omnes

VARIÆ LECTIONES.

15 ἄνω χωρέειν pro ἀποχωρέειν legimus ex Servino, cui κάτω χωρέειν opponitur.
16 καὶ οὐκ ἐμφαίνεται αὐτὸ Imp. Corn. codex omisso ἐς.
17 Sic ex Imp. Corn. cod. legimus, pro vulgatis φέρονται δὲ καὶ παρὰ τοὺς σπονδύλους.
18 Pro αἷμα Mercurial. in marg. notat ex MS. cod. Vat. ἀινὰ legi, ita ut sententia hæc non sit de *mictu cruento* intelligenda; sed potius de *frequentiori lotio*.
19 ἐν τοῖς pro ἐντός, quædam habent exempl.
20 Constans hæc est omnium exemplarium lectio; Calvus vero legit: *humeralique vena occurrit, sub ventriculo, & liene scinditur*; contra tamen omnium exemplarium fidem.
21 Sic Imp. Corn. cod. quam lectionem sequimur cum Interpretibus, prius legebatur ἀπὸ τῆς κοιλίης, facili lapsu.

Omnes autem venæ communicant, & inter se mutuo confluunt. Aliæ siquidem sibi invicem committuntur; aliæ vero per venulas, quæ a venis distenduntur, & carnes nutriunt, ea parte inter se confluunt.

CAPUT III.

De nervorum natura, alimento, substantia, situ, colore, robore, morbis; de pluribus capitis suturis; de ossibus universi corporis ac partium; de ossium omnium articulis, articulorum affectibus, doloribus, muco, claudicatione; ac quot ossa, tot articulos, esse.

QUicumque autem a venis morbus oritur, is levior est, quam qui a nervis. Diffluit enim una cum humore in venis contento, neque quiescit; venisque natura in humore & carnibus est. Nervi vero cum sicci sunt, tum cavitates non habent, & ossi adhærescunt, maximamque partem ab osse nutriuntur; nutriuntur vero & a carnibus, coloremque & robur inter os & carnem medium natura sortiti sunt; & humidiores quidem sunt ac carnosiores quam ossa; licciores vero & magis ossei quam carnes. Quicumque autem morbus eos invaserit, eodem in loco firmatur & consistit, ac educere perarduum est. Præcipue vero ipsos invadunt distensiones, aliique morbi, a quibus tremor corpus prehendit, quique ipsi tremorem inducunt. Nervi autem articulos premunt, per totum corpus extenti; robusti autem maxime & semper crassissimi sunt in illis corporis partibus, in quibus paucissimæ carnes sunt; totumque quidem corpus nervis plenum est. At circa faciem & caput non sunt nervi; sed fibræ nervis consimiles, inter os & carnem, tenuiores & solidiores; item nervi quidam cavi. Capita suturas habent, alia tres, alia quatuor. Quæ quidem quatuor habent, his sunt utrinque juxta aures, altera sutura anteriore, altera posteriore capitis parte; sic quidem se habet (caput,) quod quatuor habet: quod vero tres, ad aures utrinque, & anteriore parte; at ut in eo quod quatuor habet, hac parte (posteriore) nulla sutura enascitur. Qui plures suturas habent, hi capite salubriores degunt.

Κοινωνέουσι δὲ πᾶσαι αἱ Φλέβες, ϗ διαῤῥέουσιν ἐς ἑωϋτάς. Αἱ μὲν γὰρ σφίσιν ἑωϋταῖς ξυμβάλλουσιν· αἱ δὲ διὰ τῶν Φλεβίων τῶν διατεταμένων ἀπὸ τῶν Φλεβῶν, αἳ τρέφουσι τὰς σάρκας, ταύτῃ διαῤῥέουσι πρὸς ἑωϋτάς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν νεύρων Φύσεως, ϗ τροφῆς, ϗ οὐσίας, ϗ θέσεως, ϗ χροάς, ϗ ἰσχύος, ϗ τῶν νοσημάτων· περὶ πλεόνων τῆς κεφαλῆς ῥαφῶν· περὶ ὀστῶν παντὸς τοῦ σώματος ϗ τῶν μορίων· περὶ τῶν ὀστῶν ἁπάντων ἄρθρων, ἄρθρων παθημάτων, ϗ ὀδυνῶν, ϗ τῆς μύξης, ϗ χωλότητος· ϗ ὅσα ὀστᾶ, τοσαῦτα ϗ ἄρθρα εἶναι.

ΚΑὶ ἀπὸ τῶν Φλεβῶν ὅ, τι ἂν νούσημα γένηται, [22] ῥᾷόν ἐστιν, ἢ ἀπὸ τῶν νεύρων. Διαῤῥεῖ γὰρ σὺν τῷ ὑγρῷ τῷ ἐνεόντι ἐν τῇσι Φλεψὶ, καὶ οὐκ ἀτρεμίζει. Καὶ ἡ Φύσις τῇσι Φλεψὶν ἐν ὑγρῷ ἐστιν ἐν τῇσι σαρξί· τὰ δὲ νεῦρα ξηρά τέ ἐστι καὶ ἀκοίλια, καὶ πρὸς τῷ ὀστέῳ πεφύκασιν· καὶ τρέφονται δὲ τὸ πλεῖστον ἀπὸ τοῦ ὀστέου· τρέφονται δὲ καὶ ἀπὸ τῆς σαρκὸς, καὶ τὴν χροιὴν καὶ τὴν ἰσχὺν μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς πεφύκασιν· καὶ ὑγρότερα μέν εἰσι τοῦ ὀστέου καὶ σαρκοειδέστερα, ξηρότερα δ' εἰσὶν ἢ αἱ σάρκες καὶ ὀστοειδέστερα. Νούσημα δ' ὅ, τι ἂν ἐς αὐτὰ ἔλθῃ, ῥώννυταί τε καὶ ἀτρεμίζει ἐν τῷ αὐτῷ, καὶ χαλεπόν ἐστιν ἐξάγειν. Μάλιστα δ' ἐσέρχονται τέτανοί τε, καὶ ἄλλα, ἀφ' ὧν τρόμος τὸ σῶμα λαμβάνει, καὶ τρέμειν ποιέει. Τὰ δὲ νεῦρα πιέζουσι τὰ ἄρθρα, παρατεταμένα τέ ἐστι παρ' ὅλον τὸ σῶμα· ἰσχύουσι δὲ μάλιστα ἐν ἐκείνοισι τοῦ σώματος, καὶ αἰεὶ παχύτατά ἐστιν, ἐν οἷσι τοῦ σώματος αἱ σάρκες ἐλάχισταί εἰσι· καὶ τὸ μὲν σῶμα πᾶν ἔμπλεον νεύρων. Περὶ δὲ τὸ πρόσωπον καὶ τὴν κεφαλὴν, οὐκ ἔστι νεῦρα· ἀλλὰ ἶνες παρόμοιαι νεύροις, μεταξὺ τοῦ τε ὀστέου καὶ τῆς σαρκὸς, λεπτότεραι καὶ στερεώτεραι, " [23] αἱ δὲ νευροκοίλιοι. Αἱ κεφαλαὶ ῥαφὰς ἔχουσιν, αἱ μὲν, τρεῖς· αἱ δὲ, τέσσαρας. Αἱ μὲν τέσσαρας ἔχουσαι, κατὰ τὰ ὦτα ἑκατέρωθεν, ῥαφὴ ἄλλη ἔμπροσθεν, ἄλλη ἐξόπισθεν τῆς κεφαλῆς· οὕτω μὲν ἡ τὰς τέσσαρας ἔχουσα· ἡ δὲ τὰς τρεῖς, κατὰ τὰ ὦτα ἑκατέρωθεν, καὶ ἔμπροσθεν, ὥσπερ δὲ ἡ τὰς τέσσαρας ἔχουσα, οὐ διαπέφυκεν οὐδὲ ταύτῃ ῥαφή. Ὑγιεινότεροι δ' εἰσὶ τὴν κεφαλὴν, οἱ τὰς πλέονας ῥαφὰς ἔχοντες. " [24] Ἐν

VARIÆ LECTIONES.

22 ῥᾷον pro ῥᾴων vulgato legimus ex Æmil. Port.

23 αἱ δὲ νευροκοίλιοι omittunt interpretes quidam. Veluti Calvus, & Cornar. cum tamen in omnibus codd. legatur.

" [24] Ἐν τῇσιν ὀφρύσι διῆλθεν τὸ ὀςέον, 16
καὶ ἡ σύγκλεισις τῶν γενύων, ἔν τε τῷ
γενείῳ μέσῳ, καὶ ἄνω πρὸς τῇ κεφαλῇ.
Σπονδύλους οἱ μὲν πλέονας, οἱ δὲ ἐλάσσο-
νας ἔχουσιν. [25] Καὶ οἱ μὲν ἐλάσσο- 17
νας ἔχοντες, δυοῖν δεόντοιν εἴκοσίν εἰσιν,
[26] ὧν οἱ μὲν ἄνω πρὸς τῇ κεφαλῇ, οἱ δὲ
κάτω πρὸς τῇ ἕδρῃ. Πλευραὶ ἑπτὰ, τὰ
μὲν ὄπισθεν τοῦ σώματος πρὸς τοὺς σπον-
δύλους, τὰ δ' ἔμπροσθεν ἐν τῷ ςέρνῳ, πρὸς
ἑωϋτάς. Κλεῖδες ἄρθρα ἔχουσιν, τὰ μὲν
ἐν μέσῳ τοῦ ςέρνου κατὰ τὸν βρόγχον,
κατὰ ταῦτα ἤρθρωνται· τὰ δὲ πρὸς τοὺς
ὤμους κεκλιμένα " πρὸς τὰς πλάτας, 18
[27] ἃ ἐπὶ τοῖς ὤμοις ἀεὶ πεφύκασιν. Αἱ δὲ
πλάται πρὸς τὰ γυῖα ἤρθρωνται, " [28] ἐπι- 19
βάλλουσαι ἐπὶ τὸ ὀςέον τὸ ἐν τῷ γυίῳ.
Παρὰ δὲ τὸ ὀςέον " [29] περόναι δύο πα- 20
ρήκουσιν, ἡ μὲν, ἔνδοθεν, ἡ δὲ, ἐκτός· καὶ
πρὸς τὰς πλάτας, τῷ ὀςέῳ προσπεφυ-
κυῖαι ἤρθρωνται κάτω· αἱ δ' ἐν τῷ ἀγκῶ-
νι, κάτω μὲν περόνῃ ἤρθρωνται, " [30] κα- 21
τὰ τὸ πεφυκὸς κοιλαινῶδες· ἄνω δὲ σμι-
κρῷ τῆς περόνης ἐς τὸν ἀγκῶνα· τό, τε
ὀςέον καὶ ἡ περόνη ἐς τὸ αὐτὸ συμβάλλον-
τα, " [31] ἄρθρον ἐν τῷ κυβίτῳ (τῷ 22
ἀγκῶνι) ποιέουσι. Παρὰ δὲ τὸν πῆχυν
περόναι παρήκουσι λεπταὶ πάνυ τέσσαρες·
αἱ μὲν δύο, ἄνω· αἱ δὲ δύο, κάτω· καὶ
πρὸς μὲν τὸν ἀγκῶνα δύο περόναι πε-
φυκυῖαι, ἄνω ἐκ τοῦ ὀςέου πεφύκασιν.
Αὗται σὺν τῷ ὀςέῳ [32] πεφυκυῖαι πα-
ρὰ τὸ τοῦ ὀςέου ἄρθρον ἤρθρωνται ἐς 23
τὸ κύβιτον· αἱ δὲ κάτω κείμεναι καὶ ἐν-
τὸς κεκλιμέναι, αὗται ἀμφότεραι ξυμβάλ-
λουσαι πρὸς τὴν περόνην τὴν ἄνωθεν ἀπὸ
τοῦ γυίου φερομένην, ἐντὸς τοῦ γυίου ἤρ-
θρωνται, καὶ περόνην καλευμένην ποιέου-
σιν, αὗται ἑωϋταῖς ξυμβάλλουσαι ἐν τῷ
κυβίτῳ ἐντός. Κάτω δὲ πρὸς τὴν χεῖρα
τὸ ὀςέον ἄρθρον ἔχει. Αἱ δὲ περόναι
ταύτῃ [33] ἁπαλαὶ ἐοῦσαι, αἱ μὲν δύο
οὐκ ἐξήκουσιν ἐς τὸ ἄρθρον, ἡ δ' ἄνω καὶ

Inter supercilia os intercedit, & maxillarum conjunctio in medio mento, & superiore parte ad caput est. Vertebras hi quidem plures, hi vero pauciores habent. Quibus pauciores, his sunt duodeviginti, quarum aliæ quidem sursum ad caput, aliæ vero deorsum ad sedem tendunt. Costæ septem; partim quidem posteriore corporis parte ad vertebras, partim vero anteriore in pectore, inter se committuntur. Claviculæ articulos habent, alios quidem in medio pectore juxta guttur, eaque parte articulatæ sunt; alios vero ad humeros ad scapulas reclinatos, quæ (summis) humeris semper adhærescunt. At scapulæ ad membra articulis connectuntur, super os, quod in membro est, incumbentes. Nam ab hoc osse appendices duæ porriguntur, una quidem intrinsecus, altera extrinsecus: quæ ad scapulas, ossi cohærentes, inferiore ex parte articulis conjunguntur; quæ vero sunt in cubiti flexu, infra quidem radio coarticulatæ sunt, juxta os natura sua cavum; paulum autem supra radium in cubiti gibbum; tum os, tum radius in eundem locum commissa, articulationem in cubiti (gibbo) efficiunt. Ad ulnam vero appendices protenduntur valde tenues quatuor: duæ quidem sursum, duæ vero deorsum; & ad cubiti quidem gibbum duæ appendices adnatæ, superiore parte ex osse exoriuntur. Hæ cum osse cohærentes, ad ossis articulum, in cubiti gibbum articulo committuntur: quæ vero infra sitæ sunt, & intro reclinatæ, eæ utræque ad radium superne a membro procedentem concurrentes, interiore membri parte articulo committuntur, eæque inter se interiore cubiti parte commissæ, radium appellatum efficiunt. Infra vero ad manum, os articulum habet. Quum autem hac parte appendices teneræ sint, duæ quidem in articulum non exeunt, superior vero & in-

VARIÆ LECTIONES.

24 ἄρθρα, ante hæc verba in quibusdam codd. inscribitur, quam lectionem secutus est Calvus, qui ita legit: *conjunctiones articulorum & ossium sic habent.* Sed syngraphe esse videtur eorum, de quibus deinceps Hipp. locuturus est.

25 Omnes codices πλέονας *plures* legunt: verum nos cum interpretibus ἐλάσσονας *pauciores* scilicet vertebras legimus; ita ut duodeviginti sint numero in iis, qui habent pauciores.

26 Calvus ex Vatic. Membranis legit: ὧν ὁ μὲν ἄνω πρὸς τῇ ἕδρῃ τῆς κεφαλῆς· ὁ δὲ κάτω πρὸς τῇ ἕδρῃ, *quarum una, quæ in superiore parte est, capitis sedes est; quæ vero in inferiore, sedis firmamentum.*

27 ἃ pro αἳ ad articulos referentes legimus, alii ad claviculas referunt, & αἳ habent, uti legitur in vulgatis codd. priorem lectionem probat Lindenus.

28 τὰ δὲ πρὸς τοὺς ὤμους ἐπιβάλλουσαι ἐπὶ τὸ ὀςέον τῷ ἐν τῷ γυίῳ Calvus legit ex Vat. membran. Cæterum γυίῳ hic pro brachio sumitur. Plura Foes. voce Γυῖον.

29 παρήκουσι exponit Erotianus παρατέτανται, *porriguntur*, Cornar. *prodeunt* dixit. περόνη, ποτὲ μὲν ὀςοῦν ὅλον κῶλυ, ποτὲ δὲ ἐπίφυσιν ὀςοῦ, ποτὲ δὲ ἐπιφύσεως ἐπανάστασιν, *interdum quidem os totium membri; interdum vero quod ossi adnascitur, quandoque ejus extuberantiam* exponit Galen. in Exegesi. Plura Foes. voce περόνη.

30 Sic exemplar. Vatican. quam lectionem sequitur Calvus, & nos cum interpretibus. Vulgo κάτω πεφυκυῖαι erat, quam lectionem retinuit Lindenus. Notat Lazar. a Soto, qui commentar. hunc libr. illustravit, hunc locum non recte a Cornario fuisse interpretatum, quippe in Græco cod. hæc lectio non reperitur, scilicet: *juxta os naturâ cavum sua.* Reperitur tamen lectio hæc: κάτω πεφυκυῖαι, *naturaliter constituta*, ut sensus sit: *quæ vero infra cubiti flexuram naturaliter constitutæ sunt, radio quidem coarticulatæ sunt:* quæ lectio planior est, & nihil habet difficile.

31 ἄρθρον ἐν τῷ κυβίτῳ τῷ ἀγκῶνι ποιέουσι, *articulum in cubiti gibbo faciunt*, legunt interpretes addito τῷ ἀγκῶνι, quæ lectio probatur.

32 Pro πεφυκυῖαι Mercurial. in marg. notat ex Vatic. membr. legi πεφυκότι. Ibidem Galenus mihi ex hoc loco videtur κυβίτον subindicare, quod exponit: τὸ ὠλέκρανον, ὅπερ καὶ ἄγκων, *os cubiti, quod & cubitus.* Dioscorides autem τὸν κόνδυλον τοῦ βραχίονος, *nodum brachii* exponit. Vid. Foes. Oecon. voce κύβιτον.

33 Vatic. membr. quædam ἁπαλῇ ἐούσῃ legunt, sed mendum est.

inferior cum osse ad manum articulo committuntur. Manus autem multos habent articulos; quæ enim ossa inter se committuntur, omnia articulos faciunt. Digiti multos habent articulos, tres unusquisque: unum quidem sub ungue, inter vuguem & condylum; alterum vero in ipso condylo, qua parte etiam digitos inflectunt; tertium, qua parte digitus e manu exoritur. In coxendicibus autem duo sunt articuli, acetabula appellata, & in hos femora inarticulata sunt. Ad femora duæ appendices porriguntur, altera quidem intus, altera foris; neutraque in articulum procedit, neque ex altera parte, sed ossi in ipso femore annexæ sunt. Femur autem superne, ubi in acetabulo immittitur, hujuscemodi bicipitio bifidum est; in ea quidem bicipitii parte, quæ intro inclinata est, in summo adnatum est rotundum ac leve, quod in acetabulum ingreditur; altera vero pars minor, quæ in bifurculo protuberat, foras magis prominet, & inferiore parte ad nates apparet, coxendixque vocatur. Ad genu autem femoris os hoc modo bifidum est. Huic vero bicipitio, os quod tibia appellatur, velut in cardine adaptatur; supra adaptatum autem mola (seu patella) incumbit, quæ ad articulum, dum extenditur, humiditatem a carne descendere prohibet. Ad tibiam autem procedunt appendices duæ, quæ inferne quidem ad pedis malleolos desinunt; superne vero ad genu, non autem perveniunt ad articulum. Ad pedem vero tibia juxta malleolos articulum habet, aliumque infra malleolos. In pedibus etiam articuli multi, quemadmodum etiam in manibus sunt. Quot enim ossa, tot sunt articuli; & in pedum digitis pari numero & eodem se habent modo: multi quoque in corpore articuli parvi sunt, non simili tamen modo in omnibus, sed aliis alii; hi autem, quos scripsimus, in omnibus similiter se habent; aliæ quinetiam sunt aliis venæ: vix tamen effatu dignæ. Mucus omnibus a natura inest, qui quum purus fuerit, sani sunt articuli, ideoque facile moventur, quum sint inter se lubrici; oboritur autem labor & dolor, ubi vitiosa humiditas fluxerit. Imprimis quidem rigidus fit articulus: neque enim lubricus est, qui ex carne affluxit humor; deinde sua copia valde dispersus, neque a carne irrigatus, semper resiccatur: quumque eum

ἢ κάτω, σὺν τῷ ὀςέῳ ἤρθρωνται πρὸς τὴν
24 χεῖρα. ³⁴ Αἱ δὲ χεῖρες ἄρθρα ἔχουσι πολλά· ὅσα γὰρ ὀςέα πρὸς ἑωϋτὰ συμβάλλουσι, πάντα ἄρθρα ποιέουσι. Δάκτυλοι ἄρθρα ἔχουσι πολλά· ἕκαςος τρία· ἓν μὲν ὑπὸ τῷ ὄνυχι ἐν μέσῳ τοῦτε ὄνυχος καὶ τοῦ κονδύλου· ἄλλο δὲ ἐν τῷ κονδύλῳ, ᾗ καὶ ξυγκάμπτουσι τοὺς δακτύλους· ³⁵ ἄλλο τρίτον, ᾗ ὁ δάκτυλος ἀπὸ τῆς χειρὸς ἀποπέφυ-
25 κεν. Ἐν δὲ τοῖσιν ἰσχίοισιν ³⁶ ἄρθρα δύο εἰσὶν, αἱ κοτύλαι καλεύμεναι, καὶ οἱ μηροὶ
26 ἐς ταῦτα ἐνήρθρωνται. Παρὰ δὲ τοὺς μηροὺς περόναι δύο παρήκουσιν, ἡ μὲν ἐντὸς, ἡ δ' ἐκτός· καὶ ἐς τὸ ἄρθρον οὐδετέρη ἐξήκει, οὐδ' ἑτέρωθεν, ἀλλὰ πρὸς τῷ ὀςέῳ προσπεφύκασι πρὸς τῷ μηρῷ. Ὁ δὲ μηρὸς, ἄνωθεν μὲν, ᾗ ἐς τὴν κοτύλην ἐμβάλλει, δίκραιός ἐςι τοιῇδε δικραιότητι· ἐπὶ μὲν τοῦ ἐντὸς
27 κεκλιμένου ³⁷ τῶν δικραίων, ἐπὶ τοῦ ἄκρου ἐπιπέφυκε ςρογγύλον καὶ λεῖον, ὃ καὶ ἐς τὴν κοτύλην ἐμβάλλει· τὸ δ' ἕτερον, τὸ ἔλασσον τῶν δικραίων ἐκτὸς, μᾶλλον ἔξω ἐξέχει, καὶ φαίνεται ἐν τῷ πυγαίῳ κάτω, καὶ ἰσχίον καλέεται. Πρὸς δὲ τὸ γόνυ τὸ ὀςέον τοῦ μηροῦ τοιόν δ' ἐςὶ δίκραιον. Τῷ δὲ δικραίῳ τούτῳ τὸ ὀςέον ἡ κνήμη καλεομένη, οἷον ἐν
28 γιγλύμῳ ἐνήρμοςαι· ἄνωθεν δὲ τοῦ ἐνηρμοσμένου, ἡ μύλη ἐπίκειται, ἣ ἀποκωλύει ἐς τὸ ἄρθρον ἀναπεπταμένον ἐσβῆναι τὴν ὑγρότητα, τὴν ἀπὸ τῆς σαρκός. Παρὰ δὲ τὴν κνήμην περόναι δύο παρήκουσιν· αἱ κάτωθεν μὲν πρὸς τοῦ ποδὸς τὰ σφυρὰ τελευτῶσιν· ἄνωθεν δὲ πρὸς τοῦ γόνατος· οὐ δὲ ἐξήκουσι πρὸς τὸ ἄρθρον. Πρὸς δὲ τὸν πόδα ἡ κνήμη κατὰ τὰ σφυρὰ ἄρθρον ἔχει,
29 καὶ ἄλλο κατώτερον τῶν σφυρῶν. Καὶ ἐν τοῖσι ποσὶν ἄρθρα πολλά· ὥσπερ καὶ ἐν τῇσι χερσίν. Ὅσα γὰρ τὰ ὀςέα, τοσαῦτα καὶ ἄρθρα, καὶ ἐν τοῖσι δακτύλοισι τῶν ποδῶν τὸν ἀριθμὸν ἴσα κατὰ ταῦτα. Ἄρθρα δὲ πολλὰ ἐν τῷ σώματι σμικρὰ, οὐχ ὁμοίως πᾶσιν, ἀλλὰ ἄλλα ἄλλοις· ταῦτα δὲ τὰ γεγραμμένα πᾶσιν ὁμοίως εἰσίν· ἄλλά τε φλέβιά εἰσιν ἄλλοις· ἀλλ' οὐκ ἄξια λόγου. Μύξα πᾶσίν ἐςι φύσει· καὶ, ὅταν αὕτη καθαρὴ ᾖ, ὑγιαίνουσι τὰ ἄρθρα, καὶ διὰ τοῦτο εὐκίνητά ἐςιν, ὥςε ὀλισθαίνοντα πρὸς ἑωϋτά: πόνος δὲ καὶ ὀδύνη γίνεται, ὅταν ἀπὸ τῆς σαρκὸς ὑγρασίη ῥυῇ πονησάσῃ. ³⁸ Τὸ πρῶτον μὲν πήγνυται τὸ ἄρθρον· οὐ γὰρ ὀλισθηρὴ ἡ ὑγρότης, ἡ ἐπεῤῥυηκυῖα ἀπὸ τῆς σαρκός· ³⁹ ἔπειτα ὥςε πολλὴ λίην νεμομένη, καὶ οὐκ ἀρδομένη ἐκ τῆς σαρκὸς, ἀεὶ ξηραίνεται· καὶ ὥςε πολλὴ

VARIÆ LECTIONES.

34 Hunc locum adducit Erotianus, ubi ἄρθρα exponit τὰς συμβολὰς τῶν ὀςῶν, & ita legit: ὁκόσα γὰρ ὀςέοισι συμβάλλουσι, πάντα ἄρθρα ποιέουσι: hoc est, *quacunque enim ossibus committuntur, omnia articulos efficiunt.*

35 Pro ἄλλο τρίτον, Lindenus legit: καὶ τὸ τρίτον.

36 Erotianus hunc locum etiam adducit, ubi ἄρθρον improprie accipi vult pro altera ossis parte, quæ committi debet: in coxendicibus vero duo sunt articuli, κοτύλαι, hoc est, *acetabula* dicta.

37 Hisce in locis δίκραιον legisse videtur Erotianus. Vid. Foes. Oecon. voce Δίκραια. Ibidem pro ἐπιπέφυκεν Imp. Corn. Cod. πέφυκεν legit.

38 τὸ πρῶτον μὲν γὰρ Imp. Corn. codex. Linden. vero τὸ πρῶτον μὲν ὅτι legit. Pro πονησάσῃ Æmil. Port. πονησάσης. Referens ad σαρκὸς, hoc est, ubi humiditas ex carne ægrotante fluxerit.

39 ἔπειτα ὅτι, Linden. pro ὥςε utroque in loco ὅτι reponit.

πολλὴ ἐοῦσα, καὶ οὐ χωρεῦντος τοῦ ἄρθρου, [40] ἐκχεῖται· κακῶς τε πεπηγῦα μετεωρίζει 66 τὰ νεῦρα, οἷσι τὸ ἄρθρον συνδέδεται, καὶ ἄδετα ποιέει καὶ διαλελυμένα. Καὶ διὰ τοῦτο χωλοὶ γίγνονται, καὶ ὅταν μὲν τοῦτο μᾶλλον γίνεται, μᾶλλον· ὅταν δὲ ἧσσον, ἧσσον.

ob eamdem copiam articulus capere non possit, effluit; maleque concrescens, nervos, quibus articulus colligatur, attollit, elaxat, & dissolvit. Quam quidem ob caussam claudi fiunt, quum hoc magis fit, magis: quum minus, minus.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Ἡ τῶν ἐσθιομένων καὶ τῶν πινομένων ὑποδοχὴ, κοιλία· ἡ δὲ τοῦ ὀῤῥώδους ὑγροῦ, κύστις. Αἱ τοῦ ῥοῦ αἰτίαι, τὸ ψύχος κατὰ τὴν ἔκθλιψιν· ἡ δὲ θερμότης, κατὰ τὴν τῶν σαρκῶν ἀραίωσιν, καὶ τὴν τοῦ ὑγροῦ ἴσχνανσιν· ἡ δὲ πλησμονὴ, κατὰ τὴν ἔμφραξιν· καὶ ἡ κενότης, κατὰ τὴν τῶν ὁδοιποριῶν ἄνοιξιν. Ὅτι τὰ κάτω μόρια τῶν ἄνω ἐστὶ ξηρότερα, διὰ τὰς ἐλάσσονας φλέβας.

CAPUT IV.

Eduliorum ac potulentorum receptaculum, venter; serosi humoris, vesica. Fluxionum causæ, frigus exprimendo; calor, rarefaciendo carnes, & humorem attenuando; plenitudo, obstruendo; vacuitas, patefaciendo vias. Partes inferiores superioribus sicciores, ob pauciores venas.

Ἐς δὲ τὴν κοιλίην καὶ τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα χωρέουσιν· ἐκ δὲ τῆς κοιλίης ἶνες ἐς τὴν κύστιν, ᾗ διηθεῖ τὸ ὑγρὸν, τεταμέναι εἰσί. [41] Ῥόοι δὲ γίνονται καὶ διαψυχομένης τῆς σαρκὸς λίην, καὶ διαθερμαινομένης, καὶ ὑπερφλεγμαινούσης. 30 Ῥόοι δὲ διὰ μὲν τὸ ψύχος γίνονται, [42] ὅταν ἡ σὰρξ 31 ἡ ἐν τῇ κεφαλῇ καὶ αἱ φλέβες τεταμέναι ἔωσιν· [43] αὗται γὰρ φριξάσης τῆς σαρκὸς καὶ ἐς μικρὸν ἀφικνουμένης καὶ ἐκθλιψάσης, ἐκθλίβουσι τὴν ὑγρότητα· καὶ αἱ σάρκες ἅμα αὗται ἀντεκθλίβουσιν ἐς μικρὸν ἀφικνούμεναι· καὶ αἱ τρίχες ἄνω ὀρθαὶ γίνονται, ὥστε πάντοθεν ἅμα ἰσχυρῶς πιεζόμεναι. Ἐντεῦθεν ὅ, τι ἂν ἐκθλιβῇ, ῥεῖ ᾗ ἂν τύχῃ. Ῥεῖ δὲ καὶ διὰ τὴν θερμότητα, ὅταν αἱ σάρκες ἀραιαὶ γενόμεναι διόδους ποιήσωσι, καὶ τὸ ὑγρὸν θερμανθὲν λεπτότερον γένηται. Πᾶν γὰρ τὸ ὑγρὸν θερμαινόμενον, λεπτότερον γίνεται. καὶ πᾶν τὸ ὑπεῖκον, ῥεῖ· μάλιστα δ' ὅταν λίην ὑπερφλεγμήνῃ, διὰ τόνδε ῥεῖ. Αἱ σάρκες λίην ἔμπλεαι γενόμεναι, [44] ὅτε ἂν μὴ δύνωνται χωρέειν, ῥεῖ τὸ ὑγρὸν τὸ μὴ δυνάμενον χωρέεσθαι· ῥεῖ δὲ ᾗ ἂν τύχῃ. [45] Ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοαὶ γένωνται, ῥεῖ καὶ ἐς τὸ χωρίον, ᾗ ἂν τύχῃ, ἐς τ' ἂν συμπιεχθῶσιν αἱ δίοδοι τοῦ ῥόου, [46] διὰ ἰσχνότητα, ὅταν τὸ σῶμα ξηρανθῇ. 32 Ὥστε γὰρ, τὸ σῶμα κοινωνέον αὐτὸ ἑωϋτῷ,

At vero quæ eduntur ac bibuntur, in ventrem feruntur; ex ventre vero venæ in vesicam, qua parte humorem transmittit, extentæ sunt. Fluxiones autem contingunt, & perfrigerata valde carne, & percalefacta, & supertumefacta. Propter frigus fluxiones fiunt, quum capitis caro & venæ tensæ fuerint; hæ namque, horrente carne, & in angustum coacta, & elidente, humorem exprimunt; simul etiam carnes ipsæ in angustum contractæ, vicissim exprimunt; & capilli, velut undique simul vehementer compressi, sursum eriguntur. Hinc quicquid expressum fuerit, quocunque fors tulerit, fluit. Fluit autem etiam ob calorem, quum carnes rarefactæ transitus præbuerint, humorque calefactus tenuior evaserit. Omnis enim humor calefactus, tenuior evadit, & quicquid cedit, fluit; potissimum autem ubi valde inflammatum fuerit, hanc ob causam fluit. Carnes admodum repletæ, quum capere nequeant, humor, qui contineri non potuit, effluit; fluit autem quocunque contigerit. Semel autem fluidis factis fluxionibus, diffluunt ad locum, quocunque contigerit, quoad fluxionis viæ ob attenuationem compressæ fuerint, cum corpus fuerit resiccatum. Quum enim corpus sibi ipsi communicet, quam-

VARIÆ LECTIONES.

40 Sic Imp. Corn. cod. quæ lectio optima est; vulgo legebatur ἰσχεῖ pro quo Asul. exempl. habent ἐκρεῖ.

41 οἱ ῥόοι γίνονται Æmil. Portus, quæ lectio non est aspernanda.

42 Quædam exemplaria post γίνονται hæc verba addunt: ὁπόταν τόδε γίνηται; verum superabundare videntur.

43 Sic Imper. Cornar. cod. addito γάρ.

44 ὅτι omnes codd. legunt, pro quo ὅτε reposuimus. Lind. autem ὅ, τι habet.

45 Sic legimus ex Imp. Corn. cod. vulgo erat: ἐπὴν δὲ ἅπαξ εὔροοι αἱ ῥοαὶ γίνωνται, ῥεῖ ἐς τὸ χωρίον, ᾗ ἂν τύχῃ, ἐς ἂν συμπ.

46 Post ῥόου Æmil. Portus hæc adscribit: ῥεῖ δὲ καὶ δι' ἰσχνότητα. Imp. Corn. cod. ὅταν δὲ τὸ σῶμα ξηρανθῇ legit, quam lectionem secutus est Calvus ex Vatic. codd.

quamcunque in partem humor inciderit, quum ex se siccum sit, eum suscipit ac trahit; neque vero ipsum deducere est difficile, quum corpus vacuum sit, minimeque præ attenuatione intumescat. Quum autem inferiores partes siccæ evaserint, superiores vero humidæ (superiora enim vasa humidiora sunt; venæ enim plures sunt parte superiore quam inferiore, & capitis carnes minore indigent humore) tum sane sicca corporis pars humorem ex capite ducit; etenim meatus ducenti magis patent, quam ei, qui ducitur. Quum enim ipsi sicci sint, eum sibi lucrifaciunt; simulque humores natura deorsum ferri solent, vel si vis modica contingat.

CAPUT V.

De fluxionibus a capite septem; tribus conspicuis in aures, nares, & oculos; quatuor abditis, in thoracem, iisque frequentioribus, unde bilis, lassitudo, empyema, tabes; in spinalem medullam, unde cæca tabes; in vertebras & carnes, unde hydrops; in articulos, unde arthritides, ischiades, & cedmata.

At fluxiones a capite septem sunt: quædam siquidem in nares; quædam in aures; quædam etiam in oculos: atque hæ a capite fluxiones oculis sunt conspicuæ. Ubi vero in thoracem ob frigus fluxerit, bilis fit. Magis autem in thoracem præ frigore fluit, propterea quod ad guttur facilis est fluxio, quum minime sit contectum. Eos vero, qui a frigore bile vexantur, lassitudo eam ob causam detinet, quia carnes bile affectæ minime quiescunt, sed concutiuntur, concussæque laborant & lassantur, non secus ac ex via concussæ. Quinetiam, quum in thoracem fluxio decubuerit, suppurati & tabidi fiunt; quum vero in medullam fluxio contigerit, tabes occulta oritur. Quum retro in vertebras & carnes

διαλαμβάνει καὶ ἄγει, [47] καθ' ὅ, τι ἂν ὑγρὸν ἐπιτύχῃ, ἐς ἑωϋτὸ ξηρόν· ἄγειν δὲ οὐ χα-
33 λεπὸν αὐτό ἐςιν, [48] ὥςε τοῦ σώματος κενοῦτε καὶ οὐ συνοιδέοντος ὑπὸ ἰσχνότητος. Οταν δὲ τὰ κάτω ξηρὰ γένωνται, τὰ δὲ ἄνω ὑγρά (μᾶλλον δὲ τὰ ἄνω ὑγρά ἐςι τεύχεα· αἱ γὰρ φλέβες ἄνω πλέονές εἰσιν ἢ κάτω, καὶ αἱ σάρκες ἐλάσσονος ὑγρότητος δεόμεναι αἱ ἐν τῇ κεφαλῇ) ἄγει δὴ τὸ ξηρὸν τοῦ σώματος τὸ ἐκ τῆς κεφαλῆς ὑγρὸν, καὶ ἅμα καὶ δίοδοί εἰσι τῷ ἄγοντι μᾶλλον, ἢ τῷ ἀγομένῳ. Καὶ γὰρ αὖται κερδαίνουσιν ὥςε ξηραὶ ἐοῦσαι· καὶ ἅμα καὶ τὰ ὑγρὰ πέφυκε κάτω χωρέειν· καὶ ἢν βραχείη τίς ἀνάγκη γένηται.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν ἀπὸ τῆς κεφαλῆς ῥόων ἑπλά· τριῶν μὲν καταφανῶν, κατὰ τὰ ὦτα, καὶ κατὰ τὰς ῥῖνας, καὶ κατὰ τοὺς ὀφθαλμούς· τεσσάρων δὲ ἀδήλων, ἐς τὸν κίθαρον, καὶ τούτων πλειόνων, ὅθεν ἡ χολὴ, ὁ κόπος, καὶ τὸ ἐμπύημα καὶ ἡ φθίσις· ἐς τὸν μυελὸν, ὅθεν ἡ φθίσις ἀόρατος· ἐς τοὺς σπονδύλους, καὶ τὰς σάρκας, ὅθεν ὕδρωψ γίνεται· ἐς ἄρθρα, ὅθεν ἰσχιάδες, καὶ ἀρθρίτιδες, καὶ τὰ κέδματα.

Ῥόοι δὲ ἀπὸ τῆς κεφαλῆς ἑπτά· ὁ μὲν κατὰ τὰς ῥῖνας· ὁ δὲ, κατὰ τὰ ὦτα· ὁ δὲ κατὰ τοὺς ὀφθαλμούς· οὗτοι οἱ ῥόοι καταφανέες ἐκ τῆς κεφαλῆς τοῖσιν ὀφθαλμοῖσιν. Ἐπὴν δ' ἐς τὸν κίθαρον ῥυῇ ὑπὸ ψύχους, χολὴ γίνεται. Μᾶλλον δὲ ῥεῖ ἐς τὸν κίθαρον ὑπὸ ψύχους διὰ τόδε, ὅτι εὔροον γίνεται ἐς τὸν βρόγχον, [49] ὥςε οὐδὲ ξυγκεκαλυμμένον. Ὑπὸ δὲ τοῦ ψύχους, ὁ κόπος ἔχει διὰ τοῦτο τοὺς ὑπὸ τῆς χολῆς ἐχομένους, ὅτι αἱ σάρκες,
34 [50] ὅταν χολὴ ᾖ, οὐκ ἀτρεμίζουσιν, ἀλλὰ σείονται, καὶ σειόμεναι μοχθέουσιν, καὶ κοπιῶσιν, ὥςε σειόμεναι, ὥσπερ ἐν τῇσιν ὁδοιπορίῃσιν. Καὶ ἔμπυοι γίνονται ὅταν ἐς τὸν κίθαρον ῥέῃ, καὶ φθισιῶντες· ὅταν δὲ ἐς τὸν μυελὸν ῥόος γέ-
35 νηται, [51] φθίσις ἀλαία γίνεται. Ὅταν δ' ὄπισθεν ἐς τοὺς σπονδύλους, καὶ ἐς τὰς σάρκας ῥυῇ,

Variæ Lectiones.

47 Sic ex Æmil. Port. emendavimus pro καθ' ὅ, τι, quæ lectio Lindeno probatur, pro καθ' ὅτι.

48 ὥςε ἔτι τὸ Imp. Corn. cod. Alii ὥς γε.

49 ὡς δὴ οὐδὲ pro vulgatis ὥςε οὐδὲ Lind. legit.

50 Sic legunt omnia exemplaria, ut sit de humore copia magis, quam qualitate intelligendum. Calvus ex codd. Vatic. ὅταν ἐκεῖ μένῃ, *cum illic* fluor *remaneat*, legit. Mercurialis suspicatur melius legius, ὅταν μὴ εὐχυμίη, vel ὅταν κακοχυμίη ᾖ, *carnes enim*, inquit, *ubi bonorum succorum copia non suppetat, proprio cibo destitutæ turbationem sentiunt.* Cornar. ὅταν χολὴ ᾖ, aut ἐνῇ legisse videtur, cum, *quum bilem habuerint*, dixit, quæ lectio facilior est, eamque adhibuimus.

51 Omnes codices φθίσις ἄλλη γίνεται hoc in loco legunt; verum ex hoc libr. Galen. φθίσις ἀλαία legisse videtur, ubi scribit hanc vocem, ἀλαία significare *phthisim occultam, & inconspicuam.* Cum itaque Galen. Libr. de loc. in homine citet, & nullibi hæc vox reperiatur, hic ponendam esse censemus. Imp. Corn. cod. secuti sumus deletis ἄλλη καί. Zuinger. *phthisim alterius generis* interpretatur.

ῥυῇ, ὕδρωψ γίνεται· καὶ τῷ δ' ἐστὶ γι-
γνώσκειν· ἢν ξηρὰ τὰ ἔμπροσθεν ᾖ, ἡ
30 κεφαλὴ καὶ αἱ ῥῖνες καὶ οἱ ὀφθαλ-
μοί· καὶ τοῖσιν ὀφθαλμοῖσι γίνεται
ἀμβλυώσσειν, καὶ χλωροὶ γίνονται, καὶ
τὸ ἄλλο σῶμα, καὶ οὐκ ἀποπτύει οὐδὲν,
οὐδ' ἢν πολὺ ῥέῃ· ὅδε γὰρ ὁ ῥόος διὰ
τῆς σαρκὸς μέσης ῥέων τῆς ὄπισθεν, καὶ
τῆς ἔμπροσθεν ἀπεστραμμένος, ξηρὰ τὰ
(μὲν) ἔμπροσθεν ποιέει, τὴν δ' ὄπισθεν
ἄρδει σάρκα, καὶ τὴν ἐντὸς μᾶλλον πρὸς
τὴν κοιλίην, ἢ ἐκτὸς πρὸς τὴν [52] ῥά-
χιν. Διὰ τοῦτο δὲ ἐκτὸς μᾶλλον ἢ
ἐντὸς στερεώτερον τὸ σῶμα, καὶ στενω-
τέρας διατρήσιας ἔχει· [53] ὥστε δὲ
λεπταὶ ἐοῦσαι συμπιλέονται, καὶ ἀκέου-
35 σιν αὗται σφίσιν ἑωυταῖς, καὶ ῥόος
οὐ δύναται ταύτῃ ἰέναι οὐδείς. Αἱ δ'
εὐρύτεραί τέ εἰσιν αἱ ἐντὸς, καὶ λεπτό-
τερα τὰ μεταξὺ ἔχουσαι· ὁ δὲ ῥόος,
ὥστε ἀφ' ὑψηλοτέρων, καὶ λεπτὰ τὰ 36
ἀντικωλύοντα ἔχων, ῥεῖ καὶ πίμπλησιν
ὑγρότητος τὰς σάρκας. Καὶ ἀπὸ τῶν
σιτίων ἐς τὸ αὐτὸ χωρέουσα ἡ ὑγρότης,
διέφθαρται, διεφθαρμένη δ' αὐτὴ ὑπὸ
τῆς συμμίξιος, καὶ τὸ ῥέον σὺν αὐτῇ ἀπὸ
τῆς κεφαλῆς, τρέφουσι τὸ σῶμα· λίην
δὲ πολλῷ ὑγρῷ αἱ σάρκες τρεφόμεναι,
40 καὶ νοσηλῷ θάλλουσαι, ὕδρωπος ἔμ-
πλεαί εἰσιν. Ἢν δ' ὀλίγον ῥεύσῃ, ἰσχιά-
δα καὶ κέδματα ἐποίησεν, ἐπὴν ῥέον παύ-
σηται. Ὥστε γὰρ ὀλίγον ἐῤῥυηκὸς καὶ
πάντοθεν ὠθεύμενον ὑπὸ παντὸς κρέσσονος
ἐόντος, ἐς τὰ ἄρθρα ἀποφυγὴν ποιέεται.
Γίνεται δὲ κέδματα, καὶ ἰσχιάδες καὶ
ἀπὸ τοιούτων νουσημάτων ὑγιῶν γιγνο-
μένων· ὅταν τὸ μὲν νούσημα τὸ ποιέον
ὑγιὲς γένηται, καταλειφθῇ δέ τι ἐν τῇ
σαρκὶ, καὶ μὴ ᾖ αὐτῷ ἡ ἔξοδος, μήτ'
αὖ ἔσω, μήτε ἔξω, ἀλλ' ἐς τὸ δέρμα
φῦμα ποιήσῃ, ἐξιὸν φεύγει ἐς τὸ ὑπεῖκον,
45 ἐς τὰ ἄρθρα, καὶ ἢ κέδματα, ἢ ἰσχιά-
δα ἐποίησεν.

desfluxerit, hydrops suboritur; inde vero dignoscere licet, nempe si anteriores partes siccæ sunt, caput scilicet, nares & oculi; quin & oculis caligo accedit, qui & una cum reliquo corpore ex virore pallescunt, neque quicquam expuitur, ne si multum quidem defluat; fluxio enim ista per mediam carnem posteriore parte delapsa, & ab anteriore aversa, anteriores (quidem) partes siccas facit, carnemque in posteriora irrigat, eamque magis quæ interior est ad ventrem, quam quæ exterior ad spinam. Eamque ob causam corpus exteriore parte magis quam interiore solidum est, & angustiores habet meatus; qui quum tenues sint, coarctantur, ipsique sibi ipsis medentur, & hac fluxio ferri non potest. Intus autem cum latiores sunt, tum intermedia tenuiora habent; fluxio vero quum ab altioribus delabatur, & levia nactus impedimenta, defluit, & carnes humore replet. Quin & humor a cibis eodem procedens corrumpitur, ipseque ex commixtione corruptus, & qui cum eo ex capite defluit, corpus nutriunt: plurimo vero humore carnes nutritæ, & morboso turgidæ aqua inter cutem replentur. Quod si modica fluxio fuerit, coxarium morbum, & diuturnam articulorum affectionem facit, si fluere cessaverit. Nam quum modicum sit, quod affluit, & undequaque a potentioribus partibus depulsum, ad articulos se recipit. Diuturni quoque articulorum affectus, & coxendicum morbi, iis, qui ab ejusmodi morbis convaluerunt, contingunt; quum, quod morbum facit, sanum evaserit, in carne vero quid remanserit; cui quum neque intro denuo, neque foras exitus pateat, sed in cute tuberculum creet; in ipso exitu confugit ad id, quod cedere potest, articulos nimirum, & aut eas articulorum affectiones diuturnas, aut coxendicum morbum parit.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ καταφανοῦς ῥόου ἐς τὰς ῥῖνας, καὶ ἐς τὰ ὦτα, καὶ ἐς τοὺς ὀφθαλμοὺς ῥέοντος, διὸ καὶ τῆς κορύζης, καὶ τῆς ὠταλγίας, καὶ σύριγγος τοῦ ὠτὸς, καὶ τῆς ὀφθαλμίας, καὶ τῆς ψωροφθαλμίας, καὶ τῆς ἐπιφορᾶς, καὶ τοῦ ἀργέμου θεραπείας τῆς χειρουργικῆς τε κατὰ τὴν τομὴν, καὶ τὸ πυρωτικὸν, καὶ τῆς φαρμακευτικῆς κατὰ τὰ τοπικὰ, καὶ τὰ καθαρτικά.

Ἢν δὲ συνοιδήσωσιν αἱ ῥῖνες, καὶ φλέγματος ἔμπλεαι ἔωσιν συμπεπηγότος

CAPUT VI.

De manifestæ fluxionis in nares, aures, & oculos decumbentis, ac proinde coryzæ, otalgiæ, auris fistulæ, ophthalmiæ, scabiei pruriginosæ palpebrarum oculi, epiphoræ, & albuginosi curatione, tum chirurgica per incisiones & ignem; tum pharmaceutica per topica & cathartica.

Quod si nares intumuerint, & pituita eaque concreta repleantur, ea ubi

Variæ Lectiones.

52 ῥάχιν pro ῥῖνες legimus, quam lectionem sequitur Lindenus.

53 ὥστε δὲ, pro ὅτε δὲ, restituit Imp. Corn. quam lectionem secutus est in versione.

concreverit, aut fomentis, aut medicamentis attenuanda, minimeque avertenda est; etenim si aversa alio feratur, omnino fluxio majorem morbum efficiet. Quum vero ad aures fluxerit, primum dolorem parit; vi enim fertur; dolorem autem affert, quoad fistula contracta fuerit: ubi autem fluere consueverit, non amplius dolorem excitat. At (vero) ei, quem dolor detinet, medicamentum natura calidum tepefactum, & metopio subactum infundendum, & pone cucurbitula admovenda, ad dextram, si sinistra auris doluerit; ad sinistram vero, si dextra, sed citra scarificationem, verum ut trahat tantum. Quod si per hæc dolor minime sedetur, ea, quæ natura refrigerant, frigida infundito, & medicamentum, quod deorsum purget, propinato; sursum autem minime, quum vomitus nihil conferat, & in reliquo refrigerantibus utendum. Semperque modus, qui sanitatem non inducit, permutandus est; quod si deterius quidem malum reddiderit, ad contrarium confuge; si vero ad sanitatem vergat, nihil omnino ex his quæ adhibentur auferendum, neque aliud quicquam sejungendum aut apponendum. At ubi jam contracta fistula fuerit, multaque sanies purulenta & graveolens effluxerit, istud ita faciendum. Spongiam siccante quodam medicamento sicco imbutam, quam penitissime in aurem inde; & medicamentum purgans naribus adhibe, ut quod prius ad aures defluebat, in nares feratur, neque id, cum morbosum sit, ad caput rursus decedat. At vero quum ad oculos fluxio decubuerit, oculi inflammantur & tument. Sic affectus medicamento aut liquido, aut sicco asperso curandus est; quod si subito inflammationem concipiant, nihil omnino illine, sed aut validissimo asperso inferne abluito, vel alio quopiam alvum subducente medicamento attenuato, cautione adhibita ne vomitum provoces. Quod si velut lapilli decurrant, medicamentum, quod plurimam lacrymam cieat, illinito, & reliquum corpus humectum & tumidum reddito, quo oculi humidiores evadant, ac colluantur, ut concretam lacrymam decurrere facias. Quum autem paulatim in oculos fluxerit, pruritumque creaverit, sic affectum molli medicamento, quod

τούτου, χρὴ τὸ φλέγμα τὸ συμπεπηγὸς
λεπτύνειν ἢ πυριήσιν, ἢ φαρμάκῳ, καὶ
μὴ ἀποτρέπειν· ἢν γὰρ ἀποτρεφθὲν ἄλ-
λῃ πορεύσηται, πάντη τὸ ῥέεθρον μείζο-
να νόσον ποιέοι. Ὁπόταν δ' ἐς τὰ ὦτα
ῥέῃ, τὸ πρῶτον ὀδύνην παρέχει· βίῃ γὰρ
37 χωρέει· πόνον δὲ παρέχει, ἔς τ' ἂν ἀ-
ποσυριγγωθῇ· ἐπὴν δὲ μάθῃ ῥεῖν, οὐκέτι
πόνον ποιέει. Τῷ (δὲ) ὑπὸ τῆς ὀδύνης
ἐχομένῳ φάρμακον θερμὸν φύσει, χλια- 67
38 ρὸν ποιήσαντα, διέντα [54] μετωπίῳ,
ἐγχεῖν, καὶ ὄπισθεν σικύην ἐμβάλλειν· ἢν
τὸ ἀριστερὸν ἀλγέῃ, ἐς τὸ δεξιόν· καὶ ἢν
τὸ δεξιὸν, ἐς τὸ σκαιόν· μὴ κατακρούειν
δὲ, ἀλλ' ὡς ἂν ἕλκῃ μοῦνον. Ἢν δὲ μὴ
πρὸς ταῦτα παύηται, ψύχοντα ἐγχεῖν φύ-
σει ψυχρὰ, καὶ φάρμακον πίσαι, ὅ, τι
ἂν κάτω ὑποχώρησιν ποιέῃ· ἄνω δὲ μή·
[55] ὥσπερ οὐδ' ἀρήγει ἐμέειν, καὶ τὰ ἄλ-
λα ψύχειν. Καὶ αἰεὶ δὲ ἐκ τοῦ ὑγιὲς μὴ
ποιέοντος τρόπου μεταλλάσσειν· καὶ, ἢν
μὲν κάκιον ποιέῃ, [56] ἔχου ἐς τὸ ὑπεναν-
τίον· ἢν δὲ ῥέπῃ ἐς τὸ ὑγιὲς, τὸ πάμ-
παν μὴ ἀφελεῖν τι τῶν προσφερομένων,
μὴ δ' ἀποζευγῆσαι, μὴ δὲ προσθεῖναι
ἄλλό τι. Ἢν δὲ σεσυριγγωμένον ἤδη ᾖ,
καὶ πεπυωμένον, ῥέῃ ἰχὼρ πουλὺς, καὶ
39 κακὸν ὀζόμενος, [57] τοῦτο ὧδε ποιέειν.
Σπογγιὰν δεύων ξηραίνοντί τινι φαρμάκῳ
ξηρῷ, πρὸς τὴν ἀκοὴν ὡς πελαστάτω προ-
σθεῖναι· καὶ πρὸς τὰς ῥῖνας καθαρτή-
ριον, ὅπως τοῦ ἐς τὰ ὦτα ῥέοντος πρόσθεν
ἐς τὰς ῥῖνας φέρηται, καὶ μὴ ἐς τὴν
κεφαλὴν πάλιν ἀποχωρέῃ, νοσηλὸν ἐόν.
Ὅταν δ' ἐς ὀφθαλμοὺς ῥεῦμα ἴῃ, φλεγ-
μαίνουσιν οἱ ὀφθαλμοὶ καὶ οἰδέουσι. Τοῦ-
τον χρὴ φαρμάκῳ, ἢ τῷ ὑγρῷ, ἢ τῷ ξη-
ρῷ ἐν πάσῳ ἰᾶσθαι· ἢν δ' [58] εὐθέως
40 φλεγμήνωσι, μὴ ἔγχριε μηδὲν, [59] ἀλλ'
ἢ κλύσαι κάτω πάσῳ ἰσχυροτάτῳ, ἢ ἄλ-
λῳ τινὶ ἀπισχνῆναι ὑποχωρητικῷ φαρμά-
κῳ, φυλασσόμενος μὴ ἔμετον ποιήσῃς.
Ἢν δὲ οἷον λίθοι ὑποτρέχωσιν, φάρμα-
κον ἐγχρίειν, ὅ, τι πλεῖστον ἄγειν δάκρυον
μέλλει, καὶ τὸ ἄλλο σῶμα ὑγραίνον-
τα καὶ φλεγμαίνειν ποιέοντα, ὡς ὑγρό-
41 τεροι οἱ ὀφθαλμοὶ γένωνται [60] καὶ
ἐκκεκλυσμένοι, ὡς τὸ δάκρυον συμπεπηγὸς
ὑποτρέχειν ποιέῃς. Ὅταν δ' ἐς τοὺς ὀφθαλ-
42 μοὺς κατὰ σμικρὸν ῥέῃ, καὶ κνιπότητα
παρέχῃ, τοῦτον ἐγχρίειν μαλθακώδει, ὅ,

τι

VARIÆ LECTIONES.

54 Calv. νιτώπῳ, pro μετωπίῳ, legit, quam lectionem sequitur Cornar. Cæterum Ægyptium unguentum est, cujus apud Hippocratem creber usus in similibus habetur; μετώπιον, vocatum esse testis est Galenus in Exeg. Vulgati vero codices μετώπῳ legunt: sumitur & pro oleo amygdalino. De hisce plura Foes. Oecon. voce μετώπιον.

55 Pro ὥσπερ Imp. Corn. cod. ἐπείπερ, *quandoquidem*, quam lectionem sequitur in versione.

56 ἄρχου pro ἔχου Imp. Corn. Cod. Lind. ἔχειν scribit.

57 τουτῳ, *huic*, legit Calvus pro τοῦτο.

58 Sic Imp. Corn. Codex, quam lectionem secutus est Foes. Vulgo αὐτίκα erat, quod sequitur Zuing. At Lind. ἀρτίως habet hoc in loco.

59 Sic Cl. Askew, pro vulgatis ἀλλ' ἢ καῦσαι κατωτάτω ἰσχυροτάτῳ, *sed aut fortissimo in infimis partibus urito*; quæ lectio ut ambiguam valde sententiam, sic præceptum periculosum, & incertum facit. Lindenus ex Mercur. legit ἀλλ' ἢ καθαίρειν κάτω τῷ ἰσχυροτάτῳ, magna sane immutatione facta, nempe *sed aut fortissimo per inferna purgato*.

60 καὶ λελεπτυσμένοι, *& extenuatiores* legisse videtur Calvus. Ibidem κνιπότητα Erotianus exponit ξηροφθαλμίαν, *siccam lippitudinem*; Galenus autem in Exegesi κνησμὸν, *pruritum* interpretatur. Quod non aliunde, quam ex hoc libro, desumpsisse persuasum habeo.

τι μέλλει ξηραίνειν, ἅμα καὶ δάκρυον ὀλίγον ἄ-
γειν, καὶ πρὸς τὰς ῥῖνας φάρμακον προσφέρειν,
ἢ ἑκάστης ἡμέρης, ἢ διὰ τρίτης τῷ αὐτῷ χρεώ-
μενος· τοῖον δ' ἔσω τὸ φάρμακον, ὅ, τι μὴ
πλεῖον ἢ ἐμβάφιον ἀπάγειν μέλλει κατὰ
τὰς ῥῖνας· ἀπάγειν δὲ κατὰ σμικρόν· τὸ δὲ κα-
τὰ τοὺς ὀφθαλμοὺς ἀποξηραίνειν, ὡς ὅ, τι ἂν
ἀπὸ τῶν ὀφθαλμῶν φάρμακον ἀποξηρήνῃ καὶ ἀ-
ποφράξῃ, καὶ κατὰ τὰς ῥῖνας ἀποτράπηται. Τὰ
δὲ φάρμακα τὰ τῆς κεφαλῆς καθαρτήρια, ἃ
μὲν αὐτῶν ἰσχυρά ἐστιν, ἀπὸ τῆς κεφαλῆς ἄ-
γουσιν ὅλης· ἅσσα δὲ ἀσθενέα, ἀπὸ τῶν ὀ-
φθαλμῶν, καὶ αὐτόθεν ἀπὸ τῶν πέλας τῆς ῥινός.
Ἢν δ' ἀπὸ τῆς σαρκὸς καὶ τοῦ ὀστέου, μύξης ὑπο-
στάσης μεταξὺ τοῦ ὀστέου καὶ τῆς σαρκὸς, ῥεῦμα
ἐς τοὺς ὀφθαλμοὺς ἐγγένηται, τῷ δὲ δῆλόν ἐ-
στιν, ὅτι ἐντεῦθεν ῥεῖ. [61] Τὸ ῥεῦμα, τὸ ἐπὶ 43
τῇ κεφαλῇ φλιβόμενον καὶ ὑπείκει, καὶ ἕλκεα ἐς
τὴν κεφαλὴν ἐκθύουσιν, καὶ κατὰ τοὺς ὀ- 44
φθαλμοὺς [62] δακρύουσι, καὶ οὐχ ἑλκοῦνται
τὰ βλέφαρα, οὐδὲ δάκνει, οὐδ' ἀμβλυώσσειν
ποιέει, ἀλλ' ὀξὺ ὁρῶν γίνεται· τὸ γὰρ ῥεῦμα
οὐχ ἁλμυρόν ἐστιν, ὡς οὐκ ἀπὸ τοῦ ἐγκεφάλου,
ἀλλὰ μυξῶδες μᾶλλον· τοῦτον ὧδε χρὴ ἰᾶσθαι.
Φαρμάκῳ καθαίρειν χρὴ τὴν κεφαλὴν μὴ
ἰσχυρῷ, καὶ τὸ σῶμα ἰσχναίνειν, καὶ σιτίοισι
καὶ φαρμάκοισι κάτω ὑπάγοντα, [63] ὡς ἀπο-
ξηρανθῇ ἰσχναινομένου τοῦ σώματος ἢ 45
ἀποτρεφθῇ τῷ κατὰ τὰς ῥῖνας προστιθεμένῳ
φαρμάκῳ· πρὸς δὲ τοὺς ὀφθαλμοὺς οὐδὲν δεῖ
φάρμακον προσφέρειν. Ἢν δὲ μηδ' οὕτως
ὑγιὴς γίγνηται, τὴν κεφαλὴν κατατάμνειν,
ἔστ' ἂν πρὸς τὸ ὀστέον ἵκῃς, μὴ μετεώρους, μηδ'
ἐπικαρσίους τὰς τομὰς ποιέειν, τάμνειν δὲ
ἄχρι τούτου, ἄχρις ἂν τοῦ ὀστέου θίγῃς· τά-
μνειν δὲ πυκνὰ, ὡς ἂν τὸ συνεστηκὸς ἐξέλθῃ θᾶσ-
σον διὰ τῶν ἑλκέων ἀποῤῥέον· ἅμα δὲ αἱ τομαὶ
πυκναὶ ἐοῦσαι [64] πρόστασιν ποιέωσιν τῇ σαρκὶ 46
πρὸς τὸ ὀστέον. Οὕτως ἰᾶσθαι δεῖ, εἰ τούτῳ
τοιάδε ἡ ἀποτελεύτησις γίνεται· [65] ἢν μὴ
ταῦτ' εὐτρεπῆ εἴη, [66] καὶ οὐκ ἐκκέκλυσται, ὥστ'
ἐκκεκλυσμένον ὀξὺ ὁρᾶν ποιέειν· αἰεὶ τῷ 47
ἐφισταμένῳ μαρμαρυγώδης μᾶλλον γίνεται,
[67] καὶ τὸ ὀξὺ ὁρᾶν τοῦ ἀνθρώπου ἀποσβέννυται.
Ἢν δ' ἐς τὴν ὄψιν ἐς τὸ ὑγρὸν καθαρὸν, αἱ-
ματῶδές τι ἐσέλθῃ ὑγρὸν, τούτῳ ἡ ὄψις ἔνδον
ἐμφαίνεται τοῦ ὀφθαλμοῦ οὐ στρογγύλον ἐὸν
διὰ τόδε· ἐν ᾧ ἂν τὸ αἱματῶδες ἐνῇ, τοῦτο οὐκ
ἐμφαίνεται· τούτῳ δὴ ἐλλείπει τὸ φαινόμενον
περιφερὲς εἶναι, καὶ προκινέεσθαι αὐτῷ δοκέει

ſiccare ſimulque modicam lacrymam ciere poſſit, illinito, naribusque medicamentum admoveto, aut ſingulis diebus, aut tertio quoque die eodem utens; ſit autem medicamentum ejus generis, quod non plus quam acetabulum per nares educat; idque paulatim educat: quod vero oculis admovetur, id reſiccare oportet, uti quod oculorum medicamentum reſiccarit & interceperit, etiam per nares deducatur. At medicamenta caput purgantia, quæ quidem ſunt valentia, a toto capite ducunt; quæ vero debilia, ab oculis: & inde a vicinis naſo partibus. Quod ſi muco inter os & carnem ſubſiſtente, ex carne & oſſe in oculos fluxio decumbat, ex eo cognoſces, quod inde fluit. Fluxio in capite comprimitur, cedit, & ulcera in capite erumpunt, oculique illacrymantur, palpebræ non exulcerantur, neque mordet (fluxio,) neque oculorum aciem hebetat, ſed (æger) acutius cernit; ſiquidem fluxio minime ſalſa eſt, quum de cerebro non procedat, verum mucoſa magis ſit: ſic affectus hac ratione curandus eſt. Caput medicamento non vehementi purgandum, & corpus tum cibis, tum medicamentis infra ſubducentibus attenuandum, quo attenuato corpore (fluxio) reſiccetur, aut per medicamentum naribus admotum avertatur: verum oculis nullum medicamentum admovendum eſt. Quod ſi ne ſic quidem convaleſcat, caput ad os usque incidendum, non ſublimibus, neque transverſis ſectionibus, ſed eo usque ſecandum, dum ad os ipſum pertingas; at crebro incidendum, quo collectus humor citius emigret, per ulcera effluens, ſimulque crebræ ſectiones carnem oſſi adhæreſcere faciant. Sic medendum, ſi res hujusmodi ſucceſſum ſit habitura; ſin minus hæc commoda fuerint, & non eſt elotus (oculus,) ita ut elotus acute cernere poſſit; ſemperque potius ab incumbente humore ſplendeſcens redditur, hominisque acies extinguitur. Quod ſi in viſum ad humorem purum cruentus aliquis humor inciderit, huic pupilla intus in oculo minime eſſe rotunda ob eam cauſam apparet, quod in quacunque parte cruentus ineſt humor, ea non conſpicitur; huic itaque quod cernitur, deſinit rotundum eſſe, & ante oculos ei quæ-

VARIÆ LECTIONES.

61 τὸ ῥεῦμα τὸ ἐπὶ τῇ κεφαλῇ φλιβόμενον cum Lindeno legimus, id quod ſequentia demonſtrant. Cornar. & Zuinger. τὸ δέρμα, *cutis* legunt, pro τὸ ῥεῦμα. Vulgati autem codices: ὅτι ἐντεῦθεν ῥεῖ τὸ ῥεῦμα. τὸ ἐπὶ κ. τ. λ.

62 Ita habent omnia exemplaria: Calvus μὴ δακρύουσι *non illacrimantur* legit, ut fluxio non ad oculos feratur; ideoque paulo poſt oculis nullum medicamentum adhiberi vult Hippocrates.

63 ἕως *donec* pro ὡς legit Imp. Corn. cod. quam lectionem Corn. ſervat in verſione. Deinde pro ἐκτρεφθῇ vulgato, ἀποτρεφθῇ, *avertatur* cum Lindeno legimus.

64 Cornarius *carnis ad os extenſionem* dixit, ut a προτείνεσθαι deduxerit: ſed ibi fortaſſe melius πρόσθεξιν legas, ut contactus oſſis a carne intelligatur. Indicat enim crebras ſectiones efficere, ut vacuatis per vulnera ſuperfluis humoribus, caro naturali habitu ad oſſa inſiſtat, ac adhæreat.

65 ἢν δὲ μὴ legiſſe videtur Cornar. quæ lectio etiam in Imp. Corn. cod. adſcribitur.

66 καὶ οὐκ ἐκκέκλυσται, ὥστ' ἐκκεκλυσμένον cum Imp. Corn. cod. legimus, quæ lectio vulgata melior eſt. Vulgo legebatur: οὐκ ἐκκέκλυσται, ὥς ἐκκλυσμένον. Ibidem pro αἰεὶ quædam exemplaria ἀλλὰ legunt, quam lectionem probat Lindenus. Alii præponunt ἀλλὰ, ut ſit: ἀλλὰ αἰεὶ, nec præter rationem.

67 καὶ τὸ ὀξὺ ὁρῶν prius erat; ſed nos pro ὁρῶν ex Imp. Corn. Cod. ὁρᾶν repoſuimus.

quædam obversari videntur, nihilque quicquam, re vera ut est, cernit. Hujus venæ, quæ videndi aciem premunt, adurendæ sunt, quæ semper pulsant, & inter aurem & tempora natura sitæ sunt; easque ubi obturaveris, medicamenta, quæ humectant, oculis adhibe, lacrymamque quamplurimam educito, uti quod in oculis consistit & morbum facit, colluatur. Quod si rumpatur oculus, mollibus & acerbis medicamentis utendum, ut constrictum ulcus in angustum coeat, cicatrixque tenuis fiat. Quum vero albugo fuerit, lacrymæ oculo conducunt.

CAPUT VII.

De fluxionis biliosæ a capite in thoracem decumbentis, & ab ea ortæ peripneumoniæ, pleuritidis, suppurati, tabis & tussis, etiam tabis a fluxione in spinam, ac icteri, ortu, causis, signis diagnosticis, & prognosticis.

At quum in thoracem fluxus ierit, bilisque fuerit, quod hinc manifestum est; dolor ile afficit, & claviculam mollitudini e regione respondentem, & febris adest, linguaque superiore parte ex viridi pallescit, & concreta excreantur. In hoc morbo periculum septimo aut nono die instat. Quum utraque latera doluerint, reliquaque similiter ut in priore se habuerint: hæc quidem peripneumonia est; illa vero pleuritis: hæ autem eam ob causam oriuntur. Quum e capite per guttur & arteriam asperam in pulmonem fluxio se tulerit, pulmo, quippe natura rarus & siccus, quicquid humoris potest, in se attrahit; & ubi influxerit, major redditur, & si quidem in totum fluxerit, ejusque fibræ majores redditæ

πρὸ τῶν ὀφθαλμῶν, καὶ οὐδὲν κατ᾽ ἀλήθειαν
48 ὁρᾷ. Τούτου χρὴ τὰς φλέβας ἀποκαίειν
τὰς πιεζούσας τὰς ὄψεις, αἳ σφύζουσιν αἰεὶ,
καὶ μεταξὺ τοῦ τε ὠτὸς καὶ τοῦ κροτάφου πεφύ-
κασι· καὶ, ἐπειδὰν [68] ταύτας ἀποφράξῃς,
πρὸς τοὺς ὀφθαλμοὺς φάρμακα ὅσα ὑγραί-
νει πρόσφερε, καὶ δάκρυον ἄπαγε ὡς πλεῖ-
στον, ὅπως τὸ συνεστηκὸς ἐν τοῖσιν ὀφθαλμοῖ-
σιν ἐκκλυσθῇ, τὸ τὴν νοῦσον παρέχον. Ἢν
δ᾽ ὀφθαλμὸς ῥαγῇ, μαλθακοῖσι φαρμάκοισι
χρῆσθαι, καὶ στρυφνοῖσιν, ὡς στυφόμενον τὸ
ἕλκος ἐς μικρὸν συνίῃ, καὶ ἡ οὐλὴ λεπτὴ 45
49 ᾖ. [69] Ὅταν δ᾽ ἄργεμον ᾖ, δακρύειν τῷ
ὀφθαλμῷ ἀρήγει.

ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

Περὶ τοῦ χολώδους ῥόου ἀπὸ τῆς κεφαλῆς ἐς τὸν κίθαρον ῥέοντος, καὶ τῆς ἀπὸ τούτου γινομένης περιπνευμονίας, καὶ πλευρίτιδος, καὶ ἐμπυήματος, καὶ φθίσεως, καὶ βηχὸς, καὶ τῆς φθίσεως ἀπὸ τοῦ ῥόου ἐκ τῆς κεφαλῆς ἐς τὴν ῥάχιν, καὶ τοῦ ἰκτέρου, γενέσεώς τε καὶ αἰτίων, καὶ σημείων διαγνωστικῶν, καὶ προγνωστικῶν.

Ὁπόταν δὲ ἐς τὸν κίθαρον ῥέῃ καὶ χολὴ
ᾖ, τῷ δὲ δῆλόν ἐστιν· ὀδύνη ἔχει ἐς
50 τὴν λαπάρην, καὶ ἐς τὴν κληΐδα [70] τὴν
ἐς τὴν λαπάρην, καὶ πυρετὸς, καὶ ἡ γλῶσ-
σα τὰ ἄνω χλωρὴ γίνεται, καὶ ἀποχρέμ-
πτεται ξυμπεπηγότα. Ταύτης τῆς νού-
σου ἑβδομαίῳ ὁ κίνδυνός ἐστιν ἢ ἐνναταίῳ.
51 [71] Ὁκόταν ἀμφότερα τὰ πλευρὰ ἀλγέῃ,
τὰ δ᾽ ἄλλα ὅμοια ᾖ τῇ ἑτέρῃ· αὕτη μὲν
περιπλευμονίη ἐστὶν, ἡ δ᾽ ἑτέρη πλευρῖτις·
αὗται δὲ γίνονται διὰ τόδε. Ὅταν ἐς τὸν 68
52 πλεύμονα ῥεύσῃ ἐκ τῆς κεφαλῆς διὰ τοῦ
βρόγχου, καὶ τῶν [72] ἀορτέων, ὁ πνεύμων,
ἅτε ψαφαρὸς ἐὼν καὶ ξηρὸς φύσει, ἕλκει
ἐφ᾽ ἑωυτὸν τὸ ὑγρὸν ὅ, τι ἂν δύνηται· καὶ,
ἐπὴν εἰσρύσῃ, μείζων γίνεται, καὶ, ὅταν
μὲν ἐς ὅλον ῥεύσῃ, μείζων ὁ λοβὸς γενόμενος,
ἀμφο-

VARIÆ LECTIONES.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Ἅτινα ἐν ταῖς νόσοις, καὶ ἀπὸ ταὐτομάτου, κακά τε καὶ ἀγαθὰ, καὶ ὠφελοῦντα καὶ βλάπτοντα· καὶ ἃ διὰ τῆς τοῦ ἰητροῦ ἐργασίας, κατὰ τὴν ἐπιτυχίην καὶ τὴν ἀποτυχίην γίνονται· καὶ ἃ κακὰ γενόμενα ἐπὶ τὸν ἰητρὸν, καὶ μὴ ἐπὶ τὴν ἀνάγκην ἀναφέρεται.

CAPUT IV.

Quæ in morbis, tum sponte, bona & mala, juvantia ac lædentia; tum Medici opera, per prosperam aut adversam sortem oboriantur; & oborta mala, medico, non necessitati imputentur.

Τὰ δὲ τοιάδε ἀνθρώποισιν ἀπὸ ταὐτομάτου ἐν τῇσι [44] νόσοισι γίνονται, τά τε κακὰ καὶ τὰ ἀγαθά. Πυρέσσοντι μὲν καὶ χο-

Talia autem in morbis, tum bona, tum mala sponte hominibus contingunt. Febricitanti quidem ac biliosо,

Variæ Lectiones.

37 καὶ φαρμάκου δεόμενον ὁκοίου τοῦ δεῖ, μὴ γινώσκειν MSS. cod.

38 Sic ex MSS. Servinus pro ἐξιέεσθαι vulgato. Sequentia in MS. cod. sic habentur: ταῦτα μὲν οὖν ἐστι κατὰ γνώμην οὐκ ὀρθῶς· κατὰ δὲ χειρουργίην, τάδε· πῦον ἐν ἕλκει ἐνεὸν, ἢ φύματι μὴ γινώσκειν, καὶ τὰ κατήγματα, καὶ τὰ ἐκπεπτωκότα μὴ γινώσκειν.

39 MS. cod. sic legit: μὴ δὲ πῦον διασείοντα, γινώσκειν, *neque pus ex concussione dignoscere*, brevius & concinnius.

40 ὅτι ἐστι, καὶ ἀφ' ὧν ἐστι MS. cod.

41 Pro διότι Servin. ex MS. cod. legit ὅτι.

42 Sic MS. Cod. quæ lectio plenior est, & sententiam complet, insertis verbis ἢ ἃ δεῖ ὑγραίνειν, ξηραίνῃ.

43 ἢ ψύχειν μὴ ψύχῃ· ἢ θερμαίνειν, μὴ θερμαίνῃ· ἢ σήπειν, μὴ σήπῃ. MS. cod.

44 Hæc verba ita profert MS. cod. νούσοισι γίνεται, καὶ ἀγαθὰ, καὶ κακά· πυρέσσοντι μὲν καὶ χολῶντι, σπεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν· ὑπὸ τὸ δέρμα κεχυμένη.

liofo, bilis (fuo tempore) extra difperfa, bonum: fub cutem vero effufa ac difperfa, ægroto toleratu facilior, & medenti curatu promptior; effufa autem ac difperfa, in unam aliquam corporis partem incumbens, malum. Pleuritide aut peripneumonia laboranti, aut fuppurato, alvus perturbata, malum: febricitanti vero, aut vulnere fauciato alvus reficcata, malum. Subaquofo & lienofo, albaque pituita detento, alvus vehementer perturbata, bonum. Si eryfipelas foras diffufum intro vertatur, malum; fi vero intus effufum foras vertatur, bonum. Vehementi alvi profluvio detento fuccedens vomitus, bonum. Mulieri fanguinem vomenti menftrua erumpere, bonum. A fluxione vero vexatæ ad nares aut os fluxionem tranfire, bonum. Mulieri ex partu convulfione infeftatæ febrem fuccedere, bonum. Et fi diftentio, ac convulfio detineat, febrem fupervenire, bonum. Hæc enim ejusmodi ex nulla Medicorum infcitia, neque fcientia contingunt, & non contingunt; fed fua fponte, ac fortuito cafu oborientia, eadem ratione tum juvant, tum lædunt. Hæc autem Medici inter curandum bona felici fucceffu moliuntur: fi medicamento furfum purgante dato, per fuperiora & inferiora probe purgent. Et fi mulieri dato medicamento, quod bilem aut pituitam deorfum purget, menfes fuppreffi erumpant. Et ficui lienem fuppuratum habenti medicamento exhibito, quod bilem & pituitam deorfum purget, pus fub liene per inferiora expurgarunt, & morbo liberarunt. Et fi calculum habenti, exhibito medicamento purgante, calculum in meatum urinarium medicamenti vi protruferunt, ita ut cum urina exeat. Et fi pus in fuperiore ventre ex tuberculo (collectum) habenti, quod habeat ignorantes, medicamentum quod pituitam furfum purget, exhibuerint, isque pus vomitione rejecerit, fanusque evaferit. Et quum curando eum, qui ex medicamento per fuperiora purgante fupra modum purgatur, alvo fponte erumpente, a vomitu fanum reddiderint. At mala hæc adverfa fortuna operantur. Si exhibito, quod bilem, aut pituitam furfum educat, medicamento, venam in pectore præ vomitione ruperint, quum nullus antea manifeftus in pectore dolor effet, & morbus oriatur. Si quoque mulieri utero gerenti dato medicamento

λῶντι, (ἐν καιρῷ) σκεδασθεῖσα ἔξω ἡ χολὴ, ἀγαθόν· ὑπὸ τὸ δέρμα δὲ κεχυμένη, καὶ ἐσκεδασμένη, εὐπετεςέρη ἔχειν τε τῷ ἔχοντι, καὶ τῷ ἰωμένῳ ἰῆσθαι· κεχυμένη 131
δὲ καὶ ἐσκεδασμένη, πρὸς ἕν τι τοῦ σώματος προσπεσοῦσα, κακόν.
23 Κοιλίη ταραχθεῖσα ὑπὸ πλευρίτιδος ἐχομένῳ ἢ περιπνευμονίης, ἢ ἐμπύῳ ἐόντι, κακόν· πυρέσσοντι δὲ, ἢ τρῶμα τετρωμένῳ, κοιλίη ἀποξηρανθεῖσα, κακόν. [45] Ὑφ' ὕδρωπι,
24 καὶ σπληνώδεϊ, καὶ ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ, ταραχθεῖσα ἡ κοιλίη ἰσχυρῶς, ἀγαθόν.
25 Ἐρυσίπελας ἢν ἔξω κατακεχυμένον ἔσω τράπηται, κακόν· ἢν δ' ἔσω κατακεχυμένον ἔξω τράπηται, ἀγαθόν.
26 Διαῤῥοίῃ δὲ ἐχομένῳ ἰσχυρῇ
27 ὁ ἔμετος γενόμενος, ἀγαθόν. Γυναικὶ αἷμα ἐμεούσῃ τὰ καταμήνια ῥαγῆναι, ἀγαθόν. Ὑπὸ ῥόου δὲ πιεζομένῃ ἐς τὰς ῥῖνας ἢ ἐς τὸ ςόμα μεταπεσεῖν τὸν ῥόον, ἀγαθόν. Γυναικὶ ὑπὸ σπασμοῦ [46] πιεζομένῃ ἐκ τόκου πυρετὸν ἐπιγενέσθαι, ἀγαθόν.
28 Καὶ τετάνου ἔχοντος, καὶ σπασμοῦ, πῦρ ἐπιγενέσθαι, ἀγαθόν. [47] Τὰ γὰρ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην οὔ τε σοφίην ἰητρῶν γίνεταί τε, καὶ οὐ γίνεται· ἀλλ' ἀπὸ τοῦ αὐτομάτου καὶ ἐπιτυχίης γενόμενά τε ὠφελέει, καὶ βλάπτει κατὰ τὸν αὐτὸν λόγον. Ἐπιτυχίῃ δὲ τὰ τοιάδε οἱ ἰητροὶ ποιέουσιν ἐν τῇ θεραπείῃ ἀγαθά. Ἄνω φάρμακον δόντες, καθαίρουσι καὶ ἄνω καὶ κάτω καλῶς. Καὶ γυναικὶ φάρμακον δόντες κάτω χολῆς ἢ φλέγματος, ἐπιμήνια οὐ γινόμενα κατέῤῥηξαν. Καὶ σπλῆνα ἔμπυον ἔχοντι, κάτω φάρμακον δόντες, ὥςε χολὴν καὶ φλέγμα καθῆραι, [48] πῦον κάτω ἐκάθηραν ὑπὸ τοῦ σπληνὸς καὶ ἀπήλλαξαν τῆς νούσου. Καὶ λιθιῶντι φάρμακον δόντες, τὸν λίθον ἐς τὸν οὐρητῆρα προσέωσαν ὑπὸ βίης τοῦ φαρμάκου, ὥςε ἐξουρηθῆναι. Καὶ πῦον ἔχοντι ἐν τῇ ἄνω κοιλίῃ ἐν φύματι, οὐκ εἰδότες ὅ, τι ἔχει, δόντες ἄνω φάρμακον, ὅ, τι φλέγμα καθαίρει, [49] ἤμεσε τὸ πῦον καὶ ἐγένετο ὑγιής. Καὶ ἐκ φαρμάκου ὑπερκαθαιρόμενον ἄνω θεραπεύοντες, καταῤῥαγείσης τῆς κοιλίης [50] ἀπὸ ταὐτομάτου, τοῦ ἐμέτου ὑγιᾶ ἐποίησαν. Κακὰ δὲ τάδε ἀπεργάζονται ἀπὸ ἀτυχίης. Φάρμακον δόντες ἄνω χολῆς ἢ φλέγματος, φλέβα ἐν τοῖσι ςήθεσιν ἔῤῥηξαν [51] ὑπὸ τοῦ ἐμέτου, οὐδὲν ἔχοντος πρόσθεν ἄλγημα ἐν τῷ ςήθει φανερὸν, καὶ ἐγένετο νοῦσος. Καὶ γυναικὶ ἐν γαςρὶ ἐχούσῃ ἄνω φάρ-

VARIÆ LECTIONES.

45 Sic MS. cod. & Imp. Samb. pro vulgatis: σφόδρα, καὶ σπληνώδεϊ ὑπὸ λευκοῦ.

46 Pro vulgato πιεζομένη MS. cod. & Imp. Sambuci ἐχομένη.

47 τὰ τοιαῦτα δι' οὐδεμίην οὔτε ἀμαθίην, οὔτε σοφίην ἰητρῶν γίνεταί τε, καὶ οὐ γίνεται· ἀλλ' ἀπὸ τοῦ αὐτομάτου, καὶ ἀπὸ ἐπιτυχίης· καὶ γινόμενά τε ὠφελέει, ἢ βλάπτει. MS. cod.

48 Sic MS. cod. pro πῦος vulgato. Deinde pro ἀπὸ τοῦ σπληνὸς, Imp. Samb. ὑπὸ τοῦ σπληνὸς habet, quæ lectio probetur.

49 ἐξ οὗ ἤμεσε τὸ πῦον MS. cod. infertis ἐξ οὗ.

50 ἀπὸ τοῦ αὐτομάτου ὑγιέα ἐποίησαν τοῦ ἐμέτου legit MS. cod. Verum Lind. habet: ἀπὸ ταυτομάτου ὑπὸ τοῦ ἐμέτου, ὑγιᾶ ἐποίησαν.

51 Pro ὑπὸ Imp. Samb. & Fevr. adfcribunt ἀπό.

φάρμακον δόντες, [52] κάτω ῥαγεῖσα ἡ κοιλίη, ἐξέτρωσε τὸ ἔμβρυον. Καὶ ἔμπυον θεραπεύοντι, ἡ κοιλίη ῥυεῖσα διαφθείρει. Καὶ ὀφθαλμοὺς θεραπεύοντι καὶ ὑπαλείψαντι, ὀδύναι ἐνέπεσον ὀξύτεραι, κἢν οὕτω τύχῃ, [53] ῥήγνυνται οἱ ὀφθαλμοὶ καὶ ἀμαυροῦνται, καὶ αἰτιῶνται τὸν ἰητρὸν, ὅτι ὑπήλειψε. [54] Καὶ λεχοῖ ἐπὶ γαςρὸς ὀδύνῃ, ἢν δοίῃ τι ὁ ἰητρὸς, [55] καὶ κακῶς ἔχῃ, ἢ καὶ ἀπόληται, ὁ ἰητρὸς αἴτιος. Σχεδὸν δὲ ὅσα ἀνάγκας ἔχει ὥςε γίνεσθαι ἐν τοῖσι νουσήμασι καὶ τρώμασι, κακὰ ἐπὶ κακοῖσι, τὸν ἰητρὸν αἰτιῶνται τούτων γινομένων, καὶ τὴν [56] ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν γίνεσθαι, οὐ γινώσκουσι. Καὶ ἢν ἐπὶ [57] πυρέσσοντα ἢ τρώματα ἔχοντα ἐσελθὼν καὶ προσενέγκας, τὸ πρῶτον μὴ ὠφελήσῃ· ἀλλὰ τῇ ὑςεραίῃ κάκιον ἔχῃ, τὸν ἰητρὸν αἰτιῶνται· ἢν δ' ὠφελήσῃ, 29 τοῦτο δὲ οὐχ [58] ὁμαλῶς ἐπαινέουσι, χρῆν γὰρ πεπονθέναι αὐτὸν, δοκέουσι. Τὰ δὲ ἕλκεα φλεγμαίνειν, [59] καὶ ἐν τῇσι νούσοισιν ἔςιν ὀδύνας ἤσι χρὴ γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥςε μὴ γίνεσθαι.

sursum purgante, alvus affatim deorsum erumpat, fœtumque abortione ejiciat. Et suppuratum curanti, si alvus profluat, ipsumque perdat. Sique dum oculos curat ac sublinit, dolores incidunt acutiores, ac si ita contingat, oculi rumpantur & obscurentur, Medicum accusant, quod oculos subleverit. Et si puerperæ in ventris dolore aliquid Medicus exhibuerit, & male habeat, aut etiam pereat, Medicus author est. Ac fere in morbis & vulneribus, quæcunque mala malis ex causis necessariis succedunt, cum ista contingunt, in Medicum causam conferunt, & necessitatem talia fieri cogentem non agnoscunt. Et si ad febricitantem aut vulneratum ingressus, & oblatis quamprimum remediis non juvet; sed postridie æger pejus habeat, Medicum criminantur: quod si opituletur, id tamen non æqualiter laudant, id enim ipsi contingere oportere existimant. Ulcera vero inflammantur in morbis, & in quibusdam dolores fieri oportet, neque tales esse, ut minime fiant.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὁποῖα μόρια διακοπέντα μὴ συμφύει· καὶ ὅτι οὐκ ἔςι τῆς ἰήσεως ἀρχὴ, οὐδὲ δεύτερον, οὐδὲ μέσον, οὐδὲ τελευτὴ, οὔτε λόγῳ, οὔτε ἔργῳ· ἡ κατά τίνα εὐχειρίη.

CAPUT V.

Quæ partes præcisæ non coalescant; curationis neque principium, neque secundum, neque medium, neque finem, verbo aut opere constitui; in quibus sit manuum dexteritas.

30 Νεῦρον [60] διακοπὲν οὐ συμφύει, οὐδὲ κύςις, οὐδὲ τῶν ἐντέρων τι τῶν λεπτῶν, οὐδὲ φλὲψ αἱμόῤῥους, οὐδὲ γνάθου τὸ λεπτὸν, οὐδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. Ἀρχὴ δὲ ἰήσιος ἀποδεδειγμένη μὲν οὐκ ἔςιν, ἥτις ὀρθῶς ἀρχὴ ἐςὶ πάσης τῆς τέχνης, οὐδὲ δεύτερον οὐδὲν, οὐδὲ μέσον, οὐδὲ τελευτή· ἀλλὰ ἀρχόμεθά τε αὐτῆς, ἄλλοτε λέγοντες, ἄλλοτε ἐργαζόμενοι, καὶ τελευτῶμεν ὡσαύτως. Καὶ οὔτε λέγοντες ἀρχόμεθα ἐκ τῶν αὐτῶν λόγων, οὐδ' ἢν περὶ τῶν αὐτῶν λέγωμεν, οὐδὲ ἐς τοὺς αὐτοὺς τελευτῶμεν· καὶ ἐργαζόμενοι κατὰ τὸν αὐτὸν λόγον, οὔτε ἀρχόμεθα ἐκ τῶν αὐτῶν ἔργων, οὔτε τελευτῶμεν ἐς τὰ αὐτά. Εὐχειρίη δ' ἔςι τὰ τοιάδε· ὅταν τὶς τάμνων ἢ καίων

Nervus præcisus non coalescit, neque vesica, neque aliquod ex tenuibus intestinis, neque vena fundens sanguinem, neque tenuis genæ pars, neque pudendi cutis. Principium autem curationis demonstratum quidem non est, quod universæ artis recte principium sit, neque ullum secundum, neque medium, neque finis; sed quandoque in ea a verbis, quandoque ab opere initium sumimus, eodemque modo finem imponimus. Et neque dicendo ab iisdem sermonibus exordimur, neque si de iisdem loquamur, in eadem desinimus: ad eandem rationem in opere, neque ab iisdem operibus initium sumimus, neque in eadem desinimus. Manuum vero dexteritas in his est; quum quis secando, aut urendo, ne-

VARIÆ LECTIONES.

52 Servin. καταῤῥαγεῖσα, *prorupta* scilicet alvus, pro κάτω ῥαγεῖσα, legit. Ibid. ἐξέτρωται ἔμβρυον MS. cod. habet.

53 MS. cod. ῥήγνυνταί τε ὁ ὀφθαλμὸς, καὶ ἀμαυροῦνται.

54 καὶ λεχοῖ γαςρὸς ὀδύνης omisso ἐπὶ Aldin. exemplar. & pro vulgato ὀδύνης ex MS. Servin. ὀδύνῃ reposuimus.

55 Pro καὶ κακῶς ἔχῃ, ἢ καὶ ἀπόλυται, MS. cod. habet, καὶ κακῶς ἔχῃ, ἢ ἀπόληται. Imper. Samb. autem καὶ ἢν κακῶς κλ. addito ἢν.

56 ἀνάγκην τὴν τὰ τοιαῦτα ἀναγκάζουσαν habent vulgata exemplar. Verum Imp. Samb. τὰ τοιαῦτα delet.

57 Ita MS. cod. pro πυρέσσοντι, ἢ τρῶμα ἔχοντι, quemadmodum habent edita exemplaria.

58 Pro ὁμαλῶς Galen. in Exegesi videtur ἁμαλῶς legisse, quod ἁπαλῶς, *molliter* exponit, idemque valere, quod μετρίως, *moderate*, adducto in testimonium libro περὶ τῶν ἐμπύων. Plura vid. in Foesii Oecon. litera ἁμαλῶς p. 35. Cæterum MS. cod. hunc locum adducit sic: οὐχ ὁμοίως ἐπαινέουσι· χρέον γὰρ πεπονθέναι αὐτὸν, δοκέουσι· τὰ δὲ ἕλκεα φλεγμαίνειν.

59 καὶ ἐν τῇσι νούσοισιν ἔςιν ἤσιν ὀδύνας γίνεσθαι· ταῦτα δὲ οὐ δοκέουσι χρέον εἶναι, γίνεσθαι αὐτοῖσιν, οὐδὲ τὰ τοιάδε ὥςε γίνεσθαι. MS. cod. Imper. Samb. vero ἤσιν delet.

60 MS. cod. legit νεῦρον ἢν διακοπῇ, μὴ ξυμφῦναι· μηδὲ κύςιν, μηδ' ἔντερον· ἢν ᾖ τῶν λεπτῶν· μηδὲ φλέβα αἱμόῤῥοον· μηδὲ γνάθου τὸ λεπτόν· μηδὲ τὸ ἐπὶ τοῦ αἰδοίου δέρμα. Infra MS. Cod. legit: ὅτ' ἂν τὶς τάμνῃ· ἢ καίῃ.

neque nervum, neque venam secat, aut urit; & si purulentum urat, pus consequatur; & si secet, eadem ratione. Et si fracturas recte componat; si quæ corporis pars e naturali situ exciderit, ipsam recte ad naturam compellat. Et quæ vehementer apprehendere oportet, ea apprehendendo premere; & quæ paulatim apprehendenda sunt, apprehendendo non premere; & deligando, ex rectis minime distorta reddere; neque premere, quæ non oportet; & in contactu ubicunque contigerit, superflue dolorem non exhibere. Atque hæc quidem manuum dexteritatis sunt. At digitis decenter, aut probe, aut non probe, aut longis, aut brevibus apprehendere, aut probe deligare, & universas deligaturas facere, non in arte ad manuum dexteritatem pertinere judicatur, sed separatim.

μήτε νεῦρον τάμνῃ ἢ καύσῃ, μήτε φλέβα· καὶ ἢν ἔμπυον καίῃ, ἐπιτυγχάνῃ τοῦ πύου· καὶ τάμνοντα δὲ, κατὰ τὸν αὐτὸν λόγον. [61] Καὶ τὰ κατήγματα συντιθέναι ὀρθῶς· καὶ ὅ, τι ἂν τοῦ σώματος ἐκπέσῃ ἐκ τῆς φύσιος, [62] ὀρθῶς ἐς τὴν φύσιν τοῦτο ἀπώσαιεν. Λαβεῖν τε ἃ δεῖ ἰσχυρῶς, καὶ λαμβάνοντα δὲ πιέζειν· 31 καὶ ὅσα ἀτρέμα λαβεῖν τε δεῖ, καὶ λαβόντα μὴ πιέζειν· καὶ ἐπιδέοντα ςρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων, [63] μηδὲ πιέζειν ἃ μὴ δεῖ· καὶ ψαύοντα, ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ. Ταῦτα μὲν οὖν ἐςιν εὐχειρίη. Τὸ δὲ τοῖσι δακτύλοισιν εὐσχημόνως λαμβάνειν, ἢ καλῶς, ἢ μὴ καλῶς, ἢ μακροῖσιν, ἢ βραχέσιν, ἢ καλῶς ἐπιδεῖν, καὶ ἐπιδέσιας παντοίας, οὐ πρὸς τῇ τέχνῃ κρίνεται εὐχειρίης· πέρι ἄλλα χωρίς.

CAPUT VI.

De pulmone suppurato ex peripneumonia; pituitæ e capite defluxu; venulæ ruptura; venæ varicosæ contractione, ac de suppurati curatione, ac interitu.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τοῦ πλεύμονος ἐμπύου ἐκ πλεριπλευμονίης, καὶ ἀπὸ κεφαλῆς καταῤῥυέντος φλέγματος, καὶ φλεβίου ῥαγέντος, καὶ φλεβὸς κιρσοειδοῦς σπάδωνος, καὶ περὶ τῆς ἐμπύου θεραπείας καὶ θανάτου.

QUi pulmone, aut superiore, aut inferiore ventre suppurati fiunt, aut tubercula sive in superiore, sive inferiore ventre, aut pulmone habent, aut intus ulcera, aut sanguinem vomunt, aut spuunt, aut dolorem aliquem habent vel in pectore, vel in dorso: hæc omnia illis contingunt, ex his quidem quæ in corpore insunt, a bile & pituita; ex his vero quæ extrinsecus occurrunt, ab aëre insito calori commixto, quin etiam a laboribus ac vulneribus. Et quicunque pulmone suppurati fiunt, ab his fiunt. Si peripneumonia correptus, diebus judicatoriis non purgetur, sed sputum & pituita in pulmone remaneat, suppuratus fit; qui si confestim curatus fuerit, plerumque effugit; si vero neglecta fuerint illa in pulmone, corrumpitur; illisque inhærentibus ac putrescentibus, tum ulceratur pulmo, & pus colligit; neque amplius intro ad se effatu memorabile alimentum trahit, neque ab eo quicquam per superiora repurgatur; sed & suffocatur, & semper difficilius spirat, & respirando stertit,

ΟΚόσοι ἔμπυοι γίνονται τὸν πλεύμονα, ἢ τὴν ἄνω ἢ τὴν κάτω κοιλίην, ἢ φύματα ἴσχουσιν, εἴτ' ἐν τῇ ἄνω κοιλίῃ, εἴτε ἐν τῇ κάτω, ἢ ἐν τῷ πλεύμονι, [64] ἢ ἕλκεα ἔνδοθεν, ἢ αἷμα ἐμέουσιν, ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν ἢ ἐν τοῖσι ςήθεσιν ἢ ἐν 132 τῷ νώτῳ· ταῦτα πάντα ἴσχουσι τῶν μὲν ἐν τῷ σώματι ἐνεόντων, ἀπὸ χολῆς καὶ φλέγματος· τῶν δὲ ἔξωθεν, [65] (ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ· ἀτὰρ καὶ) ἀπὸ πόνων, καὶ τρωμάτων. Καὶ ὁκόσοι μὲν τὸν πλεύμονα ἔμπυοι γίνονται, ἀπὸ τῶνδε γίνονται. Ἢν περιπλευμονίῃ ληφθεὶς μὴ 32 καθαρθῇ ἐν τῇσι [66] κυρίῃσιν ἡμέρῃσιν ἀλλ' ὑπολειφθῇ ἐν τῷ πλεύμονι πτύαλόν τε καὶ φλέγμα, ἔμπυος γίνεται· καὶ ἢν μὲν αὐτίκα θεραπευθῇ, διαφεύγει ὡς τὰ πολλά· ἢν δὲ ἀμεληθῇ, ἐν τῷ πνεύμονι διαφθείρεται, ἐνιςαμένου τε καὶ σηπομένου, ἑλκοῦταί τε ὁ πλεύμων καὶ διάπυος γίνεται, καὶ οὐκ ἔτι ἔσω ἕλκει ἐς ἑωϋτὸν ὅ, τι καὶ ἄξιον λόγου τῆς τροφῆς, οὔτε τι ἀποκαθαίρεται ἀπ' αὐτοῦ ἄνω οὐδέν· ἀλλὰ πνίγεταί τε καὶ [67] δυσπνοιεῖ ἀεὶ ἐπὶ μᾶλλον, καὶ ῥέγχει ἀναπνέων, καὶ ἀναπνέει αὐτόθεν ἄνω.

VARIÆ LECTIONES.

61 καὶ κατήγματα legunt exemplar. in MS. cod. habetur καὶ τὰ κατήγματα melius. Infra ἐκπέσῃ τῆς φύσιος in eodem legitur, omisso ἐκ.

62 MS. cod. ita habet: ὀρθῶς ἐς τὴν φύσιν τοῦτ' ἀπῶσαι· ἐμβάλλειν δὲ ἃ δεῖ ἰσχυρῶς, καὶ λαμβάνοντα πιέζειν· καὶ ἐπιδέοντα ςρεβλὰ μὴ ποιέειν ἐξ εὐθέων, omissa desunt; quæ ita in Aldin. exemplaribus leguntur: ἃ καὶ ὅσα ἀτρέμα λαβεῖν τε δεῖ κλ.

63 MS. cod. μὴ δὲ πιεζέοντα ἃ μὴ δεῖ· καὶ ψαύοντα, ὅκου ἂν ψαύῃ, μὴ ὀδύνην παρέχειν ἐκ περισσοῦ· ταῦτα μέν ἐςιν εὐχειρίη.

64 ἢ ἕλκεα εἴσω, ἢ αἷμα ἐμέουσιν, ἢ πτύουσιν, ἢ ἄλγημά τι ἔχουσιν, εἴτ' ἐν τοῖσι ςήθεσιν· εἴτ' ἐν τοῖσιν ὄπισθεν ἐν τῷ νώτῳ, ταῦτα πάντα ἴσχουσι, τῶν μὲν ἐν τῷ σώματι ἐόντων. MS. cod.

65 In MS. cod. sequentia verba desunt: ἀπὸ τοῦ ἠέρος ἐπιμιγνυμένου τῷ συμφύτῳ θερμῷ· ἀτὰρ καί.

66 Galenus in Exegesi κυρίῃσιν ἡμέρῃσιν; ἡμέραις ταῖς τὰ τοιαῦτα κρίνειν πεπιστευμέναις, *diebus, quæ talia decernere creduntur.* Ibidem pro πτύαλον, MS. cod. habet πῦον, *pus.*

67 δυσπνοεῖ· καὶ ἐπὶ μᾶλλον MS. cod.

ἄνωθεν ἐκ τῶν ςηθέων, τέλος δὲ, ʹ ἀποφράσσεται ὑπὸ τοῦ πλύσματος, καὶ ἀποθνήσκει. Γίνεται δὲ ἔμπυος, [68] καὶ ἢν ἐκ τῆς κεφαλῆς φλέγμα οἱ καταῤῥυῇ ἐς τὸν πλεύμονα· καὶ τὸ μὲν πρῶτον ὡς τὰ πολλὰ λανθάνει καταῤῥέον, καὶ βῆχά τε παρέχει λεπτὴν, [69] καὶ τὸ σίαλον πικρότερον ὀλίγῳ τοῦ εἰωθότος, καὶ ἄλλοτε θέρμη λεπτή· ὁκόταν δὲ ὁ χρόνος προΐῃ, τρηχύνεταί τε ὁ πλεύμων, καὶ ἑλκοῦται ἔνδοθεν ὑπὸ τοῦ φλέγματος ἐνιζαμένου καὶ σηπομένου, [70] καὶ βάρος παρέχει τοῖσι ςήθεσι καὶ ὀδύνην ὀξείην ʹ πρόσω καὶ ὀπίσω· θέρμαι τε ὀξύτεραι ἐμπίπλουσιν ἐς τὸ σῶμα, [71] καὶ ὁ πλεύμων ὑπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ τοῦ σώματος φλέγμα, καὶ μάλιςα ἐκ τῆς κεφαλῆς· ἡ δὲ κεφαλὴ θερμαινομένη, ἐκ τοῦ σώματος· [72] καὶ τοῦτο σηπόμενον, πλύει ὑπόπαχυ· ὅσῳ δ᾽ ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πλύει πύος, κ̀ οἱ πυρετοὶ ὀξύτεροι γίνονται, κ̀ ἡ βὴξ πυκνή τε κ̀ ἰσχυρὴ, ʺ κ̀ ἡ ἀσιτίη [73] διακναίει, κ̀

33 τέλος ἡ κοιλίη ἡ κάτω ταράσσεται· ταράσσεται δὲ ὑπὸ τοῦ φλέγματος, τὸ δὲ ʹ φλέγμα ἐκ τῆς κεφαλῆς καταβαίνει. [74] Οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται, καθάπερ εἴρηται ἐν τοῖσιν ἔμπροσθεν, διαπύου τοῦ πλεύμονος κ̀ σαπροῦ γενομένου, κ̀ ʺ ἢ τῆς γαςρὸς ῥυείσης τῆς κάτω.

34 Γίνεται δὲ κ̀ ἀπὸ τῶνδε ἔμπυος ὁ πλεύμων. Ὁκόταν τι τῶν ἐν αὐτῷ φλεβίων ῥαγῇ· ῥήγνυται δὲ ὑπὸ πόνων· κ̀ ὅταν ῥαγῇ, [75] αἱμοῤῥοεῖ τὸ φλέβιον, κἢν μὲν παχύτερον ἔῃ, μᾶλλον, ἢν δὲ λεπτότερον, ἧσσον· κ̀ τὸ μὲν παραυτίκα τȣ̃ αἵματος πλύει· τὸ δὲ, ἢν [76] μὴ ʹ ςεγνωθῇ ἡ φλὲψ, χεῖται εἰς τὸν πλεύμονα κ̀ σήπεται ἐν αὐτῷ, κ̀ ὅταν σαπῇ, πῦον ποιέει· προϊόντος δὲ τοῦ χρόνου, ἄλλοτε πῦον εἰλικρινὲς, ἄλλοτε πῦον ὕφαιμον, ἄλλοτε τὸ αἷμα· κ̀ ἢν μᾶλλον πληρωθῇ τὸ φλέβιον, ἀπεμεῖ τὸ πλήρωμα ἀφ᾽ ἑωυτȣ̃ ἅλες τȣ̃ αἵματος, τό, τε πῦον πλύεται παχὺ ὑπὸ τȣ̃ προσγινομένου καὶ ἐνσηπομένου φλέγματος. Οὗτος ἢν καταληφθῇ ἀρχομένȣ τȣ̃ νουσήματος, πρὶν ἢ τὴν φλέβα [77] αἱμοῤῥοεῖν κ̀ χαλᾶν ἰσχυρῶς, πρίν τε λεπτυνθῆναι κ̀ κλινοπετέα γενέϑαι, καὶ τὴν κεφαλὴν ἄρξαϑαι φθίνειν, καὶ τὸ ἄλλο σῶμα τήκεϑαι, ἐξάντης τῆς τοιῆσδε νούσου γίνεται· ἢν δ᾽ ἀμεληθῇ, καὶ ταῦτα καταλάβῃ, ὥςε παθέειν ἢ πάντα ἢ τὰ πλεῖςα, ἀπόλλυται. Ἀπόλλυται δὲ

indeque a superiore pectore respirat; tandem vero sputis obturatur, ac moritur. Fit autem & suppuratus, si ipsi pituita ex capite in pulmonem defluxerit; ac primum quidem ut plurimum latenter defluit, tenuemque tussim creat, & sputum solito paulo amarius, calorque tenuis interdum (adest;) progressu vero temporis tum pulmo exasperatur, tum intus a pituita inhærescente & putrescente exulceratur, pondusque in pectore, & dolorem acutum ante & retro exhibet; caloresque acutiores in corpus incidunt, & pulmo præ calore ad se pituitam ex corpore, præcipueque ex capite, trahit; caput vero calefactum e corpore; eamque putrescentem subcrassam expuit; quanto vero longius tempus processerit, sincerius pus expuit; & febres acutiores fiunt; tussisque crebra, & vehemens, inedia vexat, ac tandem inferior alvus turba-

33 tur; turbatur autem a pituita; pituita vero e capite descendit. Hic quum eo pervenerit, perit, quemadmodum in superioribus dictum est, ubi pulmo purulentus & putridus extiterit, aut venter deorsum eruperit. Ab his præterea purulentus fit pulmo.

34 Quum venularum aliqua in eo rupta fuerit; rumpitur autem a laboribus; & quum rupta fuerit, si crassior quidem fuerit venula, plus fundit sanguinis, si vero tenuior, minus; partimque confestim quidem sanguinem expuit; partim vero, nisi constricta vena fuerit, in pulmonem funditur, in eoque putrescit, quumque putrefactus fuerit, pus facit: procedente vero tempore, interdum pus sincerum, interdum subcruentum, quandoque etiam sanguinem; & si uberius repleta fuerit venula, ipsa sanguinis copiam confertim a se evomit, pusque crassum præ accedente, ac intus putrescente pituita expuitur. Hic si per morbi initia, antequam vena sanguinem fundat, & vehementer laxetur, (curatione) præoccupetur; & priusquam extenuetur, ac lecto decumbat, & caput corrumpi, reliquumque corpus tabescere incipiat, incolumis ab ejusmodi morbo evadit: at si neglectus fuerit, istaque prehenderint, ita ut his omnibus aut plerisque affectus sit, perit. Perit autem hic

Variæ Lectiones.

68 Vulgati cod. habent, κ̀ ἢν ἐκ τῆς κεφαλῆς. Verum ex MS. codice legimus, κ̀ ἢν ἀπὸ τῆς κεφαλῆς.

69 κ̀ τὸ σίαλον πυκνότερον, *& sputum solito paulo frequentius*, legit Charter. quæ lectio placet; verum nihil immutamus. Ibidem MS. cod. pro θέρμη λεπτὴ, legit θερμὴν λεπτήν: & pro κ̀ ἑλκοῦται ἔνδοθεν, idem habet κ̀ ἑλκοῦται ἔσωθεν, *& intrinsecus exulceratur*, idem est ἔνδοθεν & ἔσωθεν.

70 καὶ βάρος τε παρέχει ἐν τοῖσι ςήθεσι, καὶ ὀδύνην ὀξείην, καὶ ἔμπροσθεν, καὶ ὄπισθεν, MS. cod.

71 Sic MS. cod. pro vulgatis καὶ πλεύμων ἀπὸ τῆς θερμασίης ἄγει ἐς ἑωυτὸν ἐκ παντὸς σώματος.

72 καὶ τὸ σηπόμενον, πλύει ὑπόπαχυ: ὅσῳ δ᾽ ἂν ὁ χρόνος προΐῃ, εἰλικρινὲς πῦον πλύει habet MS. cod.

73 διακνέει, & διακναίει, legisse videtur Galen. & ἀποκναίει *vexat*, *cruciat* exponit. Deinde MS. cod. sequentia sic legit: καὶ ἡ κοιλίη omisso τέλος. Infra pro ἀπὸ τῆς κεφαλῆς idem MS. cod. ἐκ τῆς κεφαλῆς, quod sequimur.

74 MS. cod. legit οὗτος ὅταν ἐς τοῦτο ἀφίκηται, ἀπόλλυται· ἀπόλλυται δ᾽ ἢ καθάπερ ἐν τοῖσι πρόσθεν εἴρηται, διαπύου τοῦ πλεύμονος γενομένου.

75 αἱμοῤῥαγῇ τὸ φλέβιον MS. cod.

76 μὴ ςενωθῇ, *non coarctata fuerit* scilicet vena, legit Servin. ex MSS. Paulo post πῦον πλύει MS. Cod.

77 αἱμοῤῥοεῖν ἢ χαλᾶν ἰσχυρῶς; καὶ πρὶν ἢ λεπτυνθῆναί τε καὶ κλινοπετέα γενέσθαι, καὶ τὴν κεφαλὴν ἄρχεσθαι φθίνειν, ὑγιὴς γίνεται, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι· ἢν δ᾽ ἀμεληθῇ κλ. legit MS. cod. interjecta verba ἐξάντης τῆς τοιῆσδε νούσου γίνεται, desunt: verba illa ὑγιὴς γίνεται transposita videntur: recte autem collocantur post illa, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι.

hic aut ex iis quæ ante dixi, aut ex vomitu, copioso sanguine & pluries per vomitum rejecto. At si vena quidem non omnino rupta fuerit, sed convulsio in ipsa fiat; fit autem præcipue velut varix, quod etiam confestim quidem ubi factum fuerit, dolorem quemdam tenuem, & tussim siccam exhibet: si vero diutius morata & neglecta fuerit, primum quidem paucum & subatrum sanguinem transmittit, mox etiam copiosiorem & sinceriorem, & patitur quæcunque in superioribus dicta sunt. His confert, si circa exordia curandos susceperis, ut & manuum venæ (sanguinem) emittant, & victus ratione utatur, ex qua & siccissimus & maxime exanguis evadat. Ad hunc vero eundem modum etiam venulis in latere, intus in superficie natantibus accidit. Quum igitur affectæ fuerint, & varicosæ fiunt, & intus elevatæ; si quidem neglectæ fuerint, hæc perpetiuntur; & erumpunt, ac expuunt a se sanguinem, eumque interdum vomunt & suppurati fiunt, ac plerumque pereunt: quod si incipiente morbo curentur, rursus venulæ in loco ad latus subsidunt, & humiles fiunt. Et pulmo quidem ab his suppuratus redditur, & ab ipso talia perpetiuntur, sicque moriuntur.

οὗτος, ἢ [78] ἀπὸ τῶν αὐτῶν ἃ εἴρηκα ἔμπροσθεν, ἢ ὑπὸ ἐμέτου, αἵματος πουλλοῦ καὶ πολλάκις ἐμεομένου. Ἢν δὲ τὸ φλέβιον παντάπασι μὲν μὴ διαῤῥαγῇ,
35 σπάδων δ' ἐν αὐτῷ ἐγγένηται, γίνεται δὲ μάλιστα οἷον κιρσὸς, [79] ὃ καὶ παραυτίκα μὲν ὅταν γένηται, ὀδύνην τινὰ παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν· ἢν δὲ χρονίσῃ τε καὶ ἀμεληθῇ, [80] διαδιδοῖ αἷμα τὸ μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν, ἔπειτα δὲ ἐπὶ πλέον τε καὶ εἰλικρινέστερον, [81] καὶ πάσχει τε ὅσαπερ ἐν τοῖσιν ἔμπροσθεν εἴρηται. Συμφέρει δὲ τοῖσι τοιούτοισιν, [82] ἢν καταρχὰς λάβῃς θεραπεύειν,
36 ὥστε αἵ τε φλέβες ἐξιέμεναι ἐκ τῶν χειρῶν, καὶ δίαιτα, ὑφ' ἧς ἔσται ξηρότατός τε καὶ ἀναιμότατος. Τὸν αὐτὸν δὲ τρόπον τοῦτον καὶ
37 τὰ ἐν τῷ πλευρῷ φλέβια πάσχει, ὅσα ἔσω [83] ἀκρόπλοά εἰσιν. Ὁκόταν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται, καὶ μετέωρα εἴσω· καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει, ἐκρήγνυταί τε, καὶ πτύουσί τε ἀπὸ σφέων αἷμα, καὶ ἐνίοτε καὶ ἐμέουσι, καὶ ἔμπυοι γίνονται, καὶ ὡς τὰ πουλλὰ διεφθάρησαν· ἢν δὲ θεραπευθῶσιν ἀρχομένου τοῦ νουσήματος, [84] αὖθις κατὰ χώρην ἱζάνουσιν πρὸς τὸ πλευρὸν τὰ φλέβια, καὶ γίνεται ταπεινά. Καὶ ὁ μὲν πλεύμων ἀπὸ τούτων ἔμπυος γίνεται, καὶ τὰ ἀπ' αὐτοῦ πάσχουσί τε τὰ τοιαῦτα, καὶ τελευτῶσιν οὕτω.

CAPUT VII.

De thoracis empyemate a pituitæ e capite defluxione, a pleuritide, a pituita lateri impacta, a labore, & vena rupta; de ventris inferioris suppuratione, ejusque causis, pituitæ & bilis collectione inter cutem & carnem, & convulsionibus.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ θώρακος ἐμπυήματος ἀπὸ φλέγματος ἐκ τῆς κεφαλῆς ῥυέντος, καὶ ἀπὸ τῆς πλευρίτιδος, καὶ φλέγματος πρὸς τὸ πλευρὸν προσπαγέντος, καὶ ἀπὸ ταλαιπωρίας, καὶ φλεβίου ῥηχθέντος· περὶ τῆς τῆς κάτω κοιλίας ἐμπυήματος, καὶ τῶν τούτου αἰτίων, φλέγματος καὶ χολῆς μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος συνισαμένων, καὶ τῶν σπασμῶν.

At vero multis modis superiore ventre suppurati fiunt: etenim quum pituita multa e capite confertim in superiorem

Ἢν δὲ ἄνω κοιλίην ἔμπυοι γίνονται πολλαχῶς· καὶ γὰρ ὅταν φλέγμα ῥυῇ [85] ἐκ τῆς κεφαλῆς ἅλες ἀθρόον ἐς τὴν ἄνω

Variæ Lectiones.

78 ἀπὸ pro vulgato ὑπὸ ex Imp. Samb. scripsimus; dein MS. cod. pro ἔμπροσθεν, scribit eodem significatu ἐν τῇ πρόσθεν, & post πουλλοῦ, καὶ &c adscribitur; ut sit de sanguine multo, & pluries per vomitum rejecto, quæ lectio probatur, inserto καί.

79 Pro ὃ καὶ παραυτίκα in MS. cod. καὶ omittitur.

80 Sic MS. cod. habet, pro vulgatis διαδιδοῖ αἵματος μὲν πρῶτον ὀλίγον καὶ ὑπομέλαν· ἔπειτα δὲ ἐπὶ πλεῖόν τε καὶ εἰλικρινέστατον, ubi notandum pro ἐπὶ Imp. Corn. ἔτι adbuc legisse.

81 Vulgata exemplaria εἶτα πῦον, deinde pus legunt, quæ verba delevimus ex MS. cod. & ibid. pro ἐν τοῖσιν ἔμπροσθεν, habetur ἐν τῇ πρόσθεν, plane eodem significatu.

82 MS. cod. hunc locum ita legit ἢν καταρχὰς λάβῃς· ὥστε θεραπεύειν, φλέβες &c. Cæterum Foesius hunc locum sic corrigit, ἢν καταρχὰς λάβῃς θεραπεύειν· ὥστε τὰς φλέβας ἐξιέναι τῶν χειρῶν, si ab initio curandos susceperis, ita ut manuum venæ emittant, scilicet sanguinem. Quam lectionem secutus est Calvus.

83 MS. cod habet ἀκρόπλοά ἐστιν· ὅτ' ἂν οὖν πονήσῃ, κιρσοειδέα τε γίνεται, καὶ μετέωρα ἔνδον· ἐκρήγνυταί, καὶ πτύουσί τε κλ. omissis καὶ ἢν μὲν ἀμεληθῇ, τάδε πάσχει, & neglecta fuerint, hæc perpetiuntur. Imp. Samb. & Fevr. pro μετέωρα legunt μετεωρότερα altiores, scilicet, venulæ fiunt. Cæterum ἀκρόπλοα Galeno exponuntur τὰ ἐπιπολαίως, οἷον ἐπ' ἄκρου ἐμπλέοντα; οὕτως δὲ καὶ οἱ ἀκρόπλοοι, quæ in superficie, velut in summo, natantia. Erotiano vero ἀκρόπλοα, τὰ ἐξ ἐπιπολῆς ἐμπλέοντα, in superficie natantia.

84 MS. cod. legit πάλιν κατὰ χώρην, προσπίπτει τε πρὸς τὸ πλευρὸν pro vulgatis αὖθις κατὰ χώρην ἱζάνουσιν εἰς τὸ πλευρόν. Ibidem πάσχουσί τε τοιαῦτα scribit pro πάσχουσί τε τὰ τοιαῦτα.

85 Sic MS. cod. pro ἔκ τε κεφαλῆς. Ibidem Imper. Samb. & Fevr. pro ἅλες ἀθρόον ἐς τὴν ἄνω κοιλίην, legunt ἅλες ἐν τῇ ἄνω κοιλίῃ.

ἄνω κοιλίην, [86] σήπεταί τε καὶ γίνεται πῦον·
38 σήπεται δὲ ἐν ἡμέρῃσι μάλιςα μιῇ καὶ εἰκοςῇ· τοῦτ᾽ οὖν διασείεται καὶ ἐγκλυδάζεται [87] τὸ πῦον πρὸς τὰ πλευρὰ προσπίπτον. Οὗτος ἢν καυθῇ ἢ τμηθῇ, πρὶν χρονίσαι τὸ πῦον, ὑγιὴς γίνεται ὡς τὰ πολλά. Γίνονται δὲ τὴν ἄνω κοιλίην ἔμπυοι, καὶ ἐκ πλευ-
133 ρίτιδος, [88] ὁκόταν ἰσχυρὴ γένηται, καὶ ἐν τῇσι [89] κυρίῃσιν ἡμέρῃσι μήτε σαπῇ μήτε πτυσθῇ, ἀλλ᾽ ἑλκωθῇ τὸ πλευρὸν ὑπὸ τοῦ προσπεπηγότος φλέγματος τὲ καὶ χολῆς· καὶ ὁκόταν ἕλκος γένηται, ἀναδιδοῖ ἀπὸ ἑωϋτοῦ πῦον, καὶ ἐκ τῶν πλησίον χωρίων ὑπὸ θερμασίης ἄγει ἐφ᾽ ἑωϋτὸ φλέγμα, καὶ τοῦτο ὁκόταν σαπῇ, πτύεται πῦον. Ἐνίοτε δὲ καὶ ἐκ τῶν φλεβίων διαδιδοῖ ἐς τὸ ἕλκος αἷμα, καὶ γίνεται σηπόμενον, πῦον. Οὗτος ἢν μὲν παραχρῆμα ὑποληφθῇ, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ ἀμεληθῇ, διαφθείρεται. Γίνονται δὲ ἔμπυοι καὶ ἢν φλέγμα ἐκ τῆς κεφαλῆς ῥυὲν πρὸς τὸ πλευρὸν προσπαγῇ [90] καὶ σαπῇ· τότε γὰρ τὸ πλευρὸν ὡς τὰ πολλὰ καίεται, καὶ πάσχει ὅσαπερ ἐκ πλευρίτιδος, ὅταν ἔμπυος γένηται. [91] Γίνονται δὲ καὶ ὁκό-
39 ταν ὑπὸ ταλαιπωρίης, ἢ ἐκ γυμνασίης, ἢ ἄλλως πως ῥαγῇ, ἢ ἔμπροσθεν, ἢ ὄπισθεν· ῥαγῇ δὲ, ὥςε μὴ παραυτίκα πτύσαι αἷμα, ἀλλ᾽ ἐν τῇ σαρκὶ σπάδων γένηται, καὶ ἡ σὰρξ σπασθεῖσα εἰρύσῃ ἰκμάδα ὀλίγην, [92] καὶ γένηται ὑποπέλιδνος, καὶ παραυτίκα μὲν μὴ αἰσθάνηται ὁ παθὼν ὑπὸ ῥώμης καὶ εὐεξίης· [93] εἰ δὲ καὶ αἰσθάνεται, μηδὲν πρῆγμα ἡγήσεται. Οὗτος ὅταν καταλάβῃ, ὥςε αὐτὸν ὑπὸ πυρετῶν ληφθέντα λεπτυνθῆναι, ἢ ποσίων, ἢ λαγνείης, ἢ ἄλλου τοῦ, [94] ἡ σὰρξ ἡ τετρωμένη ὑποξηραίνεταί τε καὶ ὑποθερμαίνεται, καὶ ἕλκει ἰκμάδα ἐς ἑωϋτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν καὶ σαρκῶν· ὅταν δὲ εἰρύσῃ, οἰδίσκεταί τε καὶ φλεγμαίνει, καὶ ὀδύνην παρέχει λεπτὴν, καὶ βῆχα ἀραιήν τε καὶ ξηρὴν τὸ πρῶτον· [95] ἔπειτα ἔτι μᾶλλον ἕλκει τε ἐς ἑωϋτὴν, καὶ ὀδύνην παρέχει ἰσχυροτέρην, καὶ βῆχα πυκνοτέρην· καὶ πτύει τὸ μὲν πρῶτον ὑπόπυον· ἐνίοτε δὲ [96] ὑποπέλιδνον καὶ ὕφαιμον· ὅσῳ δὲ ἂν ὁ χρόνος προΐῃ, ἕλκει τε μᾶλλον ἐς ἑωϋτὴν καὶ σήπει, καὶ αὐτῆς τῆς σαρκὸς, ὅσον πελιδνὸν ἐγένετο τὴν ἀρχὴν,

ventrem fluxerit, putrescit & pus procrea-
38 tur: putrescit autem maxime diebus uno & viginti; hoc igitur pus ad latera procedens concutitur, & intus fluctuat. Hic, si priusquam pus diutius immoretur, uratur, aut secetur, plerumque sanus evadit. Fiunt autem & superiore ventre purulenti ex pleuritide, quum vehemens fuerit, neque diebus judicatoriis computruerit, neque per sputum rejecta fuerit, sed adhærescente pituita & bile latus ulceratum fuerit; quumque ulcus factum fuerit, ex se pus effundit, & de vicinis locis præ calore pituitam ad se adducit, & hæc ubi computruit, pus expuitur. Interdum vero etiam ex venis sanguis se ad ulcus transfundit, & putrefactus, pus procreatur. Hic, si quamprimum (curandus) suscipiatur, plerumque sanus evadit; si vero negligatur, perit. Purulenti quoque etiam fiunt, si pituita e capite in latus defluens, adhæserit ac putruerit; tum enim plerumque latus inceneditur, eademque perpetitur, quæ ex pleuritide, quum purulentus fit. Fiunt etiam
39 quum præ labore, aut exercitatione, aut quavis alia causa pars anterior aut posterior rupta fuerit; & sic rupta, ut non confestim sanguis expuatur, sed convulsio in carne contingat: caro autem divulsa paucam humiditatem attrahat, & sublivida evadat; quod quidem statim ita affectus præ robore & bono (corporis) habitu non sentit, aut si etiam sentiat, nihil molesti esse putat. Hic quum perceperit se, sic febribus detineri, ut extenuetur, aut ex potionibus, aut venere, aut quavis alia re; caro vulnerata aliquantulum resiccatur, & incalescit, & ex vicinis tum venis, tum carnibus humiditatem ad se trahit; quumque attraxerit, & tumet & inflammatur, & dolorem tenuem inducit, & tussim raram & siccam primum; deinde magis ad se adhuc attrahit, vehementioremque dolorem, & tussim frequentiorem infert; & primum quidem aliquantum purulentum expuit: interdum vero sublividum & subcruentum: & quo magis tempus procedit, eo uberius ad se trahit & putrefacit, & ipsius carnis quantum per initia lividum erat,

Variæ Lectiones.

86 Pro vulgatis σήπεταί τε καὶ γίνεται πῦον· σήπεται δὲ ἐν ἡμέρῃσι, μάλιςα μιῇ, καὶ εἰκοςῇ. MS. cod. legit, σήπεταί τε καὶ γίνεται πῦον· σήπεται δ᾽ ἐπὶ τῶν φρενῶν κεχυμένον· σήπεται δ᾽ ἐν ἡμέρῃσι, μάλιςα δυοῖν, καὶ εἴκοσι, putrescit, & pus creatur: putrescit autem in præcordia diffusum: ac putrescit maxime diebus duobus & viginti.

87 Sic MS. cod. quæ lectio melior est vulgata, quæ sic legit τὸ πῦος εἰς τὰ πλευρὰ προσπίπτον; οὗτος ἢν καυθῇ ἢ τμηθῇ, πρὶν χρονίσαι τὸ πῦος, ὑγιὴς γίνεται, ὡς τὰ πολλά. Γίνονται δὲ κατὰ.

88 ὡς ὁκόταν, velut quando Imp. Samb. & Fevr.

89 κρισίμῃσιν eodem significatu Servin. ex MSS. Ibidem pro προσπεπηγότος MS. cod. habet προσπεπτωκότος φλέγματός τε καὶ χολῆς, tenui differentia.

90 καὶ σαπῇ· τότε γὰρ τὸ πλευρὸν vulgati cod. legunt. Verum in MS. cod. nostro sic habetur: καὶ σαπῇ πρὸς τὸ πλευρόν.

91 Γίνονται δὲ καὶ ὅτ᾽ ἂν ὑπὸ ταλαιπωρίης ἐν γυμνασίοισιν· ἢ ἐν ἄλλῳ τῳ ῥαγῇ, ἢ ἔμπροσθεν MS. cod.

92 MS. cod. legit καὶ γένηται ὑποπέλιος.

93 Pro vulgatis εἰ δὲ καὶ αἰσθάνεται MS. cod. habet ἢν δὲ καὶ αἴσθηται.

94 MS. cod. ἡ σὰρξ ἡ τετρωμένη ξηραίνεται, quæ lectio quoque ab Imp. Sambuc. adscribitur.

95 Sic Imp. Corn. quem sequimur pro ἔπειτα ἐπί. Deinde ἕλκεται ἐς ἑωυτὴν, καὶ ὀδύνην παρέχει ἰσχυρήν. MS. cod.

96 In MS. cod. legitur ὑποπέλιον· postea pro ἕλκει τε μᾶλλον, in eodem habetur ἕλκεται μᾶλλον.

id omne ulcus fit, doloremque excitat acutum, & febrem, & tuffim tum multam, tum crebram, & pus fincerum per fputum expuit.

" [97] τοῦτο πᾶν ἕλκος γίνεται, καὶ ὀδύνην παρέχει ὀξείην, καὶ πυρετὸν, καὶ βῆχα πολλήν τε καὶ πυκνὴν, καὶ τὸ πλύσμα εἰλικρινὲς πλύει πῦον.

SECTIO II.

Quod fi pus in ventre moram traxerit, ab eo totum corpus, præcipueque partes maxime vicinæ incalefcunt; incalefcente autem corpore, humidum maxime colliquefcit; & partim quidem a fuperioribus partibus in fuperiorem ventrem præcipue confluit, pusque creatur, creato jam intus additum; partim vero ad inferiorem ventrem defluit, ab eoque interdum alvus turbatur, & hominem perimit. Cibi enim ingefti, crudi per alvum fecedunt, neque corpori ab his alimentum accedit; neque fputi per fuperiora æquabilis fit expurgatio, quum nimirum incalefcens alvus deorfum omnia ad fe deducat. Et a fputo quidem fuffocatur, & non repurgatus ftertit; ab alvo autem fluente debilis evadit, & plerumque perimitur. In hujusmodi autem morbis hanc fluxionem præcipue caput præbet, nimirum quum cavum fit, & fuperiore parte locatum; quum enim ab alvo concalefactum fuerit, tenuiffimam pituitam e corpore ad fe trahit; quam in fe coacervatam, rurfus confertam & craffam, velut dictum eft, reddit; & pars quidem ipfius in fuperiorem ventrem, pars vero in inferiorem defluit. Quum igitur caput fluere, corpusque reliquum non amplius æquabiliter colliquefcere cœperit, ne ufti quidem fuperftites evadunt. Ad pus enim quæ affluunt mala, quam quæ effluunt, magis exuperant; carnesque magis a malis colliquefcunt, quam ab ingeftis cibis nutriantur. Hi funt, qui morbis hujusmodi obfidentur, atque ab his nonnulli brevi quidem pereunt; quidam vero etiam multum tempus trahunt. Differt enim corpus a corpore, ætas ab ætate, & affectio ab affectione, & anni tempus a tempore, in quo ægrotarint: quidam enim morbos facilius tolerant; quidam vero omnino tolerare nequeunt. Non igitur certum tempus in quo pereunt, datur, neque an longum, aut breve (futurum fit.) Neque enim certum hoc tempus eft, quod

Ἢν δὲ χρονίσῃ τὸ πῦον ἐν τῇ κοιλίῃ, διαθερμαίνεται [98] ὑπ' αὐτοῦ τὸ σῶμα πᾶν, μάλιϛα δὲ τὰ ἐγγυτάτω· θερμαινομένου δὲ τοῦ σώματος, μάλιϛα ἐκτήκεται τὸ ὑγρόν· καὶ τὸ μὲν ἀπὸ τῶν ἄνω ἐς τὴν ἄνω κοιλίην μάλιϛα συῤῥεῖ, καὶ γίνεται πῦον πρὸς τῷ ἐνεόντι· τὸ δὲ καὶ ἐς τὴν κάτω κοιλίην ῥεῖ, καὶ ἐνίοτε ταράσσεται ἡ κοιλίη ὑπ' αὐτοῦ, καὶ διέφθειρε τὸν ἄνθρωπον. Τὰ γὰρ ἐσιόντα τῶν σιτίων, [99] διαχωρέει ἄπεπτα, καὶ τροφὴ ἀπ' αὐτῶν οὐ γίνεται τῷ σώματι, καὶ ἡ τοῦ πτύσματος ἄνω κάθαρσις οὐχ ὁμαλὴ γίνεται, ἅτε διατεθερμασμένης τῆς κοιλίης, καὶ ἀγούσης πάντα κάτω ἐφ' ἑωϋτήν. Καὶ ὑπὸ μὲν τοῦ πτύσματος πνίγεταί τε, καὶ ῥέγχει οὐ καθαιρόμενος· ὑπὸ δὲ τῆς γαϛρὸς ῥεούσης, ἐξασθενέει, καὶ ὡς τὰ πουλλὰ διαφθείρεται. Μάλιϛα δὲ ἐν τῇσι τοιαύτῃσι τῶν νούσων τὸ ῥεῦμα τοῦτο ἡ κεφαλὴ παρέχει, ἅτε κοίλη ἐοῦσα, [100] καὶ ἄνω ὑπερκειμένη· ὁκόταν γὰρ διαθερμανθῇ [101] ὑπὸ τῆς κοιλίης, ἕλκει ἐς ἑωϋτὴν ἐκ τοῦ σώματος τὸ λεπτότατον τοῦ φλέγματος· ὅταν δὲ ἀλισθῇ ἐν αὐτῇ, [102] ἀποδιδοῖ πάλιν ἅλες τὲ καὶ παχύ· ὥσπερ εἴρηται, καὶ αὐτοῦ τὸ μὲν ἐς τὴν ἄνω κοιλίην καταῤῥεῖ, τὸ δὲ ἐς τὴν κάτω. Ὁκόταν οὖν ἄρξηται ἡ κεφαλὴ ῥεῖν, καὶ τὸ ἄλλο σῶμα τήκεσθαι οὐκ ἔτι ὁμαλῶς, οὐδὲ καυθέντες περιγίνονται. [103] Κρατέει γὰρ πρὸς μὲν τοῦ πύους τὰ ἐπιῤῥέοντα κακὰ, ἢ τὰ ἀποῤῥέοντα· αἱ δὲ σάρκες τηκόμεναι μᾶλλον ὑπὸ τῶν κακῶν, ἢ τρεφόμεναι ὑπὸ τῶν εἰσιόντων. Οὗτοι ὁκόσοι τοιουτότροπα νουσήματα ἴσχουσι, καὶ ἀπὸ τούτων ἔνιοι μὲν [104] δι' ὀλίγον ἀπόλλυνται· ἔνιοι δὲ πουλὺν χρόνον ἕλκουσι. Διαφέρει γὰρ σῶμα σώματος, καὶ ἡλικίη ἡλικίης, καὶ πάθημα παθήματος, καὶ ὥρη ὥρης ἐν ᾗ ἂν νοσέωσι· καὶ οἱ μὲν ταλαιπωρότεροί εἰσιν ἐν τῇσι νούσοισιν· οἱ δὲ παντάπασι ταλαιπωρέειν ἀδύνατοι. Οὔκουν ἐϛὶ τὸ ἀκριβὲς τοῦ χρόνου ἐν ᾧ ἀπόλλυνται, οὔτε εἰ πολλὸν, οὔτ' εἰ ὀλίγον. Οὔτε γὰρ οὗτος ὁ χρόνος ἀκριβὴς ὂν ἔνιοι

VARIÆ LECTIONES.

97 Optimo jure hic apponunt afterifcum Aldina exempl. vitiatam enim effe vulgatam lectionem, quæ ita legit τοῦτο πύος γίνεται *id pus fit*, quis non videt? medelam itaque vitiato huic loco affert MS. cod. qui pro illis verbis τοῦτο πύος γίνεται, legit τοῦτο πᾶν ἕλκος γίνεται, hanc itaque emendationem poftulant fequentia. Ibidem pro ὀξείην, *acutum*, MS. cod. ἰσχυρὴν, *vehementem* legit. Deinde pro vulgatis καὶ τὸ πτύσμα εἰλικρινὲς πτύει πῦον *& fputum eficit pus fincerum*, Linden. habet: καὶ τὸ πτύσμα εἰλικρινὲς, ἔπειτα πύος; *& fputum eft fincerum, deinde pus*, aut purulentum.

98 ὑπὸ deeft in MS. cod. ut & μάλιϛα ante ἐκτήκεται τὸ ὑγρόν.

99 MS. Cod. habet: διαχωρέει ἄπεπτα· καὶ τροφὴ ἀπ' αὐτέων οὐ γίνεται τῷ σώματι & οὐχ ὁμαλῶς. Idem MS. cod. pro οὐχ ὁμαλή.

100 καὶ ἄνω ἐπικειμένη MS. cod. eodem fenfu.

101 MS. cod. ὑπὸ τῆς ἄνω κοιλίης, *a ventre fuperiore*, addito ἄνω.

102 Vulgata exemplaria legunt ἀποδιδοῖ πάλιν ἅλες, καὶ παχὺ, ὥσπερ εἴρηται. Nos MS. cod. lectionem, utpote meliorem amplexi fumus. Infra pro οὐκ ἔτι ὁμαλῶς MS. cod. οὐκ ἔτι ὁμοίως.

103 Pro κρατέει γὰρ πρὸς μὲν τοῦ πύους τὰ ἐπιῤῥέοντα κακὰ, ἢ τὰ ἀποῤῥέοντα. MS. cod. legit κρατέει γὰρ πρὸς μὲν τὸ πῦον τὰ ἐπιῤῥέοντα, τὰ ἀποῤῥέοντα fcilicet, *quod enim ad pus affluit, fuperat id, quod effluit*.

104 δι' ὀλίγου MS. Cod. & Serv. Ibid. Cod. διαφέρει γὰρ καὶ σῶμα.

ἔνιοι λέγουσιν, [105] ὡς τὰ πολλὰ οὐδὲ αὐτὸ τοῦτο ἐκπύει· διαφέρει γὰρ καὶ ἔτος ἔτεος, καὶ ὥρη ὥρης· [106] ἀλλ' ἤν τις θέλῃ περὶ αὐτέων ὀρθῶς γινώσκειν καὶ λέγειν, [107] γνώσεται ὧδε πᾶσαν ὥρην 41 καὶ ἀπολλυμένους καὶ περιγενομένους, καὶ πάσχοντας ἅπερ ἂν πάσχωσι. Τὴν δὲ κάτω κοιλίην ἔμπυοι γίνονται, μάλιστα μὲν, ὅταν φλέγμα, [108] ἢ χολὴ συςῇ ἅλες μεσηγὺ τῆς σαρκὸς καὶ τοῦ δέρματος· γίνονται δὲ καὶ ἀπὸ σπασμῶν, καὶ ὅταν φλέβιον σπασθὲν ῥαγῇ, τὸ αἷμα ἐκχυθὲν σήπεται, καὶ ἐμπύει. Ἢν δὲ ἡ σὰρξ σπασθῇ ἢ φλασθῇ, ἕλκει τε ἐκ τῶν παρ' ἑωϋτῇ φλεβίων αἷμα, καὶ τοῦτο σήπεται, καὶ ἐμπύει. Τουτοισιν ἢν μὲν ἔξω ἀποσημήνῃ, [109] καὶ τὸ πῦον ἐξέλθῃ, ὑγιέες γίνονται· ἢν δὲ ἐκραγῇ αὐτόματον ἔσω, ἀπόλλυνται. Κεχυμένον δὲ πῦον ἐν τῇ κάτω κοιλίῃ, ὥσπερ ἐν τῇ ἄνω εἴρηται ἐγγίνεσθαι, οὐκ ἂν δύναιτο ἐγγενέσθαι, ἀλλ' ὥσπερ μοι εἴρηται, ἐν χιτῶσί τε καὶ ἐν φύμασιν ἐγγίνεται. [110] Καὶ ἢν μὲν ἔνδον
134 ἀποσημήνῃ, δυσπετὲς γνῶναι· οὐδὲ γὰρ διασείσαντά ἐςιν εἰδέναι· γινώσκεται δὲ μάλιςα τῇ ὀδύνῃ ἔνθα ἔῃ, καὶ, ἢν καταπλάσῃς [111] γῇ κεραμίτιδι, ἢ ἄλλῳ τῳ 42 τοιούτῳ, ἀποξηραίνει δι' ὀλίγου.

quidam proferunt, quum plerumque neque hoc ipsum suppuret: differt enim annus ab anno & anni tempestas a tempestate: at siquis velit recte de his cognoscere ac dicere, is sic cognoscet, quocunque anni tempore & perire, & superesse, & quæ patiantur, perpeti. At vero inferiore ventre suppurati fiunt, maxime quidem quum pituita aut bilis inter carnem & cutim affatim collecta fuerit; fiunt etiam & a convulsionibus, quumque venula convulsa rupta fuerit, sanguis effusus putrescit, & suppuratur. Quod si caro convulsa aut contusa fuerit, sanguinem ex venis sibi vicinis trahit, isque putrescit, ac suppuratur. His, si quidem se foras ostenderit, & pus exierit, sani evadunt; si vero sua sponte intro proruperit, pereunt. Effusum autem pus in inferiore ventre, generari haudquaquam poterit, velut in superiore ventre fieri dictum est, sed in tunicis & tuberculis innascitur, velut a me dictum est. Et si quidem intro notas præbuerit, cognitu difficile est; neque enim ex concussione cognoscere licet: cognoscitur autem maxime ex dolore ubi fuerit, &, si argillam, aut aliud quid hujuscemodi imposueris, brevi id resiccat.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς τοῦ ἐν τῷ πνεύμονι ἐρυσιπέλατος γενέσεως, καὶ αἰτίων, καὶ σημείων, καὶ θεραπείας· περὶ τοῦ ἐν τῷ πνεύμονί τε καὶ ἐν τῷ πλευρῷ φύματος· περὶ τῶν ῥηγμάτων καὶ τῶν σπασμάτων ἐν τῇ σαρκὶ, καὶ ταῖς φλεψίν.

Ἐρυσίπελας δὲ ἐν τῷ πλεύμονι γίνεται, ὅταν ὑπερξηρανθῇ ὁ πλεύμων· ὑπερξηραίνεται δὲ καὶ ὑπὸ καύματος, καὶ ὑπὸ πυρετῶν, καὶ ὑπὸ ταλαιπωρίης καὶ ἀκρασίης· [112] ὁκόταν ὑπερξηρανθῇ, ἕλκει τοῦ αἵματος πλεῖςον ἐφ' ἑωϋτὸν, μάλιςα μὲν καὶ πλεῖςον ἐκ τῶν μεγάλων φλεβῶν ([113] αὗται γὰρ αὐτῷ ἐγγύταταί εἰσι, καὶ ἐπίκεινται ἐπ' αὐτῷ) ἕλκει δὲ καὶ ἐκ τῶν ἄλλων τῶν πλησίον· ἕλκει δὲ τὸ λεπτότατον καὶ ἀσθενέςατον. Ὁκόταν δὲ ῥύσῃ, πυρετὸς ἀπ' αὐτοῦ γίνεται ὀξὺς, καὶ βὴξ ξηρὴ, καὶ πληθώρη ἐν τοῖσι ςήθεσι, καὶ ὀδύνη ὀξείη ἐν τοῖσιν ἔμπροσθεν τὲ καὶ ὄπισθεν· μάλιςα δὲ κατὰ τὴν ῥάχιν,

CAPUT VIII.

De erysipelatis in pulmone ortu, caussis, signis, & curatione; de pulmonis, & lateris tuberculo; de ruptionibus, & evulsionibus in carne, & venis.

At vero erysipelas in pulmone gignitur, quum supra modum is resiccatus fuerit; quod & ab ardore, & a febribus, & nimio labore, & intemperie contingit; & quum maxime resiccatus fuerit, plurimum sanguinis in sese trahit, maxime quidem ac plurimum ex magnis venis (hæ namque ipsi maxime vicinæ sunt, ipsique superincumbunt) trahit autem etiam ex aliis vicinis; sed trahit tenuissimum ac debilissimum. Quum autem traxerit, febris acuta ex ipso oritur, & tussis sicca, plenitudo in pectore, dolor acutus in anterioribus & posterioribus partibus, præcipue vero ad spinam, nimi-

VARIÆ LECTIONES.

105 ὡς τὰ πολλὰ, desiderantur in MS. Servin. Ibid. pro οὐδὲ αὐτὸ τοῦτο ἐκπύει, MS. cod. οὐδ' αὐτὸ τοῦτο ἐκποιέει.
106 Pro vulgatis ἀλλ' ἤν τις θέλῃ, MS. cod. ἀλλ' ἤν τις ἐθέλῃ.
107 γνώσεται οὕτω πᾶσαν ὥρην, καὶ ἀπολλυμένους, καὶ περιγενομένους, καὶ πάσχοντας ἃ ἀναπάσχωσι MS. cod.
108 MS. cod. ἢ χολὴ συςῇ ἅλες ἐν τῷ μέσῳ τῆς τε σαρκός.
109 Sic MS. cod. pro καὶ πύος ἐξέλθῃ.
110 MS. cod. καὶ ἢν μὲν ἔσω ἀποσημήνῃ, δυσπετὲς γνῶναι· οὐδὲ γὰρ διασείσαντά ἐςι γνῶναι· γινώσκεται δὲ μάλιςα τῇ τε ὀδύνῃ ἔνθα ἂν ᾖ.
111 Hunc locum subindicare videtur Galenus in Exegesi, cum γῇ κεραμίτιδι τῇ ἀργίλῃ, *argilla* exponit, nisi si ἀργίλλῃ legendum sit.
112 In MS. cod. legitur καὶ ὅτ' ἂν ὑπερξηρανθῇ, ἕλκει τὸ αἷμα ἐφ' ἑωϋτὸν, *& cum valde resiccatus fuerit, sanguinem ad se trahit.*
113 αὗται γὰρ αὐτῷ ἐγγυτάτω εἰσὶ MS. cod.

nimirum magnis venis percalefcentibus; & interdum quidem fubcruentum, interdum vero lividum vomunt; pituitam vero & bilem etiam vomunt; crebroque animo linquuntur; animo vero linquuntur, ob fanguinis transmutationem derepente obortam, idque præcipue dat fignum generati in pulmone eryfipelatis, fi affidua febris invafio contigerit. Huic fi quidem duobus, aut tribus, aut quatuor ad fummum diebus diffufum fuerit, quod intus eft, & foras tranfierit, plerumque fanus evadit: fi vero neque diffufum, neque transmutatum fuerit, intus putrefcit, & fuppuratus evadit, ac perit; perit autem brevi, quum nimirum totus pulmo purulentus ac putridus fit. Quod fi extra diffufum, intro vertatur, pulmonemque prehendat, huic fpes falutis nulla fupereft. Quum enim antea reficcatus pulmo ad fefe traxerit, non amplius transmittit; fed confeftim præ ardore ac ficcitate neque quicquam amplius fufcipit, neque furfum quicquam diftribuit, fed corrumpit. Tuberculum vero in pulmone fic oritur. Quum pituita, aut bilis collecta fuerit, putrefcit; & quamdiu quidem adhuc crudum fuerit, tum dolorem tenuem, tum tuffim ficcam excitat; poftquam vero maturuerit, anteriore & pofteriore parte acutus dolor oritur, calores invadunt, ac tuffis vehemens. Et fiquidem pus quam citiffime maturuerit, eruperit, furfum vergat, ac totum expuatur, venterque in quo pus erat, confidat ac reficcetur, prorfus fanus evadit: fi vero quam citiffime ruptum fuerit, maturuerit, ac repurgatum fuerit, neque tamen penitus reficcari poffit, fed ipfum tuberculum ex fe pus effundat, perniciofum id eft; & a capite, reliquoque corpore pituita ad tuberculum defluens, putrefcit, ac pus gignitur, ac expuitur; quo corruptus perit. Perit autem ex ventris profluvio, ab his, quæ antea dicta funt; ipfoque confabulante, & res omnes æque ut priori tempore intelligente, reficcatur, ac refrigeratur, omnesque corporis venæ contrahuntur, quum nimirum ipfarum fanguis a febre exuftus fit; interdum vero tum ex temporis longitudine, & morbi magnitudine, tum etiam ex inftantibus ac fupervenientibus multis.

ἅτε τῶν φλεβῶν τῶν μεγάλων διαθερμαινομένων· καὶ ἐμέουσιν, [114] ἄλλοτε μὲν ὕφαιμον, ἄλλοτε δὲ πελιδνόν· ἐμέουσι δὲ καὶ φλέγμα καὶ χολήν· [115] καὶ ἐκψύχουσι πυκνά· ἐκψύχουσι δὲ διὰ τοῦ αἵματος τὴν μετάστασιν ἐξαπίνης γινομένην, καὶ μάλιστα διασημαίνει τοῦτο, ὅταν ἐπὶ τοῦ πλεύμονος ἐπιγένηται ἐρυσίπελας, [116] καὶ τοῦ πυρετοῦ ἔῃ συνεχὴς λῆψις. Τούτῳ εἰ μὲν δύο ἢ τριῶν ἢ τεσσάρων τὸ πλεῖστον ἡμερέων διαχυθῇ καὶ μεταστῇ τὸ ἔνδον ἐς τὸ ἔξω, ὑγιὴς γίνεται ὡς τὰ πολλά· ἢν δὲ μὴ διαχυθῇ καὶ μεταστῇ, ἐνσήπεταί τε καὶ ἔμπυος γίνεται, καὶ ἀπόλλυται· ἀπόλλυται δὲ δι' ὀλίγου, ἅτε τοῦ πλεύμονος [117] ἐμπύου ἐόντος ὅλου καὶ σαπροῦ. Ἢν δὲ ἔξω κατακεχυμένον, εἴσω τράπηται, [118] καὶ καταλάβηται τοῦ πλεύμονος, τοῦτον οὐδεμίη ἐλπὶς περιγενέσθαι. Ὅταν γὰρ προαπεξηραμμένος ὁ πλεύμων εἰρύσῃ ἐς ἑωϋτὸν, οὐκ ἂν ἔτι μεταστάίη, ἀλλὰ παραχρῆμα ὑπὸ τοῦ καύματος καὶ τῆς ξηρασίης, [119] οὐκ ἔτι δέχεται οὐδὲν, οὔτε ἄνω ἀναδιδοῖ οὐδὲν, ἀλλὰ διέφθειρε. Φῦμα δὲ γίνεται ἐν τῷ πλεύμονι ὧδε. Ὁκόταν φλέγμα ἢ χολὴ συστραφῇ, σήπεται· καὶ ἕως μὲν ἂν ἔτι ὠμότερον ἔῃ, ὀδύνην τε παρέχει λεπτὴν, καὶ βῆχα ξηρήν· ὁκόταν δὲ πεπαίνηται, ὀδύνη γίνεται καὶ πρόσθεν καὶ ὄπισθεν ὀξείη, καὶ θέρμαι λαμβάνουσι, καὶ βὴξ ἰσχυρή. Καὶ ἢν μὲν ὅτι τάχιστα πεπανθῇ, [120] καὶ ῥαγῇ, καὶ ἄνω τράπηται τὸ πῦον, καὶ ἀ-
43 ναπτυσθῇ πᾶν, καὶ ἡ κοιλίη ἐν ᾗ τὸ πῦον, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται παντελῶς· [121] ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα καὶ πεπανθῇ καὶ ἀνακαθαίρηται, ἀποξηρανθῆναι δὲ παντάπασι μὴ δύνηται, ἀλλ' αὐτὸ ἀφ' ἑωυτοῦ τὸ φῦμα [122] ἀναδιδοῖ
44 τὸ πῦον, ὀλέθριον τοῦτο· καὶ ἀπὸ τῆς κεφαλῆς τε καὶ τοῦ ἄλλου σώματος φλέγμα καταῤῥέον ἐς τὸ φῦμα, σήπεταί τε καὶ πῦον γίνεται καὶ πτύεται, δι' οὗ ἐφθάρη. [123] διαφθείρεται δὲ ὑπὸ γαστρὸς ῥυείσης, ἀφ' ὧν
45 περ καὶ ἐπὶ τῶν πρόσθεν εἴρηται· λεσχηνευομένου τε αὐτοῦ, [124] καὶ φρονέοντος πάντα χρήματα ὁμαλῶς, ὡς καὶ ἐν τῷ πρὶν χρόνῳ, ἀποξηραίνεταί τε καὶ ἀποψύχεται, καὶ συμμύει τὰ φλέβια τὰ ἐν τῷ σώματι πάντα, [125] ἅτε τοῦ αἵματος ἐξ αὐτέων ἐκκεκαυμένου ὑπὸ πυρετοῦ· ἐνίοτε δὲ ὑπὸ χρόνου τε πλήθεος, καὶ μεγέθεος τῆς νούσου, καὶ τῶν ἐνεόντων κακῶν, καὶ τῶν προσεπιγινομένων.

[126] Ἢν

VARIÆ LECTIONES.

114 ἄλλοτε ὕφαιμον omiffo μὲν MS. cod.

115 Sic ex MS. cod. emendavimus, pro vulgatis καὶ ἐκψύχουσι πυκνά· ἐκψύχουσι δέ. Deinde pro διασημαίνει, MS. Cod. σημαίνει.

116 καὶ τοῦ πυρετοῦ ἡ συνεχὴς λῆψις. Τούτῳ ἢν μὲν δύο MS. cod.

117 διαπύου ἐόντος ὅλου καὶ σαπροῦ· ἢν δὲ ἔσω τράπηται omiffis ἔξω κατακεχυμένον. MS. cod.

118 Pro vulgatis καὶ λάβηται. MS. cod. habet καὶ λάβῃ. Imp. Samb. καὶ καταλάβηται quod melius videtur. Ibidem pro τούτου οὐδεμίη, legimus ex MS. cod. τοῦτον οὐδεμίη.

119 Pro vulgatis οὐκ ἔτι δέχεται. MS. cod. habet, οὔτε δέχεται.

120 καὶ ῥάγηται pro καὶ ῥαγῇ MS. cod.

121 ἢν δὲ ῥαγῇ μὲν τάχιστα, καὶ πεπανθῇ, καὶ καθαίρηται MS. cod.

122 ἀναδιδοῖ πῦον· καὶ ἀπὸ τῆς κεφαλῆς τε καὶ omiffis ὀλέθριον τοῦτο, *perniciofum id* eft, MS. cod. Quæ verba non legerunt interpretes, neque habentur in Vatic. & Ald. codd.

123 MS. cod. habet διαφθείρεται δὲ ὑπὸ τῆς γαστρὸς ῥυείσης, ἢ ἀφ' ὧν περ τὸ πρόσθεν εἴρηται.

124 λεσχηνευομένου τε καὶ ἀφρονέοντος legit MS. cod.

125 ἅτε τοῦ σώματος ἐκκεκαυμένου ὑπὸ πυρετῶν MS. cod.

[126] Ἢν δὲ μὴ δύνηται πολλοῦ χρόνου ῥαγῆναι, μήτε ἀπὸ ταυτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενῶν ὑπὸ ὀδυνέων ἰσχυρῶν, καὶ ἀσιτίης, καὶ βηχὸς, καὶ πυρετῶν, καὶ ὡς τὰ πολλὰ
35 διαφθείρεται. Ἢν δὲ ἤδη λελεπτυσμένῳ καὶ κλινοπετέϊ ἐόντι ῥαγῇ τὸ πῦον, οὐδ' οὕτω μάλα ἀναφέρουσιν, [127] ἀλλὰ διαφθείρονται τρόπῳ τοιῷδε. Ἢν δὲ ῥαγῇ μὲν ὅτι τάχιστα, καὶ πεπανθῇ, πεπανθὲν δὲ ἐκχυθῇ ἐπὶ τὰς φρένας τὸ πολλὸν αὐτοῦ, τὸ παραυτίκα δοκέει μὲν ῥάων εἶναι· προϊόντος δὲ τοῦ χρόνου, ἢν μὲν ἀναπτύσῃ πᾶν, καὶ ἡ κοιλίη ἐν ᾗ τὸ πῦον ἐνῆ, προσπέσῃ τε καὶ ἀναξηρανθῇ, ὑγιὴς γίνεται· ἢν δὲ ὅ, τε χρόνος πλείων γένηται, καὶ αὐτὸς ἀσθενέστερος, [128] καὶ ἀναπτύσαι μὴ δύνηται, ἀλ-
40 λὰ καυθῇ, ἢ τμηθῇ [129] καὶ τὸ πῦον ἐξέλθῃ, παραυτίκα μὲν καὶ οὕτω δή τι δοκέει ῥάων γεγονέναι, προϊόντος δὲ τοῦ χρόνου, διαφθείρεται ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧνπερ καὶ ἐν τῇ πρώτῃ εἴρηται. Ἐν δὲ τῷ πλευρῷ, γίνεται μὲν φύματα καὶ ἀπὸ φλέγματος, καὶ ἀπὸ χολῆς, κατὰ τὸν αὐτὸν λόγον τοῖσιν ἐν τῷ πλεύμονι· γίνεται δὲ καὶ ἀπὸ τῶν πόνων, ὁκόταν τι τῶν φλεβίων [130] σπασθὲν ῥαγῇ, μὴ ῥαγῇ δὲ παντελῶς, ἀλλὰ σπάδων ἐν αὐτῷ γένηται. Ἢν μὲν οὖν ῥαγῇ, πα-
45 ραυτίκα τὸ αἷμα τὸ ἐκχυθὲν ἐκ τοῦ φλεβίου, σήπεταί τε καὶ ἐκπύει· εἰ δὲ σπάδων ἐν τῷ φλεβίῳ γένηται, [131] τοῦτο κατ' ἀρχὰς μὲν ὀδύνην τε παρέχει καὶ σφύζει, προϊόντος δὲ τοῦ χρόνου, διαδιδοῖ ἡ φλὲψ τοῦ αἵματος ἐς τὴν σάρκα, καὶ τοῦτο σηπόμενον ἐν τῇ σαρκὶ, [132] πῦον γίνεται. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πονέσῃ, πλέον τε τοῦ αἵματος ἕλκει ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβῶν, καὶ παραχρῆμα 46
[133] ἐκπύει· ἢν δὲ ἧσσον πονέσῃ, σχολαίτερόν
135 τε καὶ ἕλκει καὶ ἐκπύει. Ἐνίοισι δὲ [134] ὁκόταν ἀσθενέα γένηται τὰ σπάσματα ἐν τῇσι σαρξὶν, ἢ ἐν τῇσι φλεψὶν, οὐκ ἐκπυΐσκεται, ἀλλὰ γίνεται ἀλγήματα πολυχρόνια, [135] καὶ 47
καλέουσι ῥήγματα. Καὶ ὁκόσα μὲν ἐν τῇ σαρκὶ γίνεται, ὧδε γίνεται. Ὁκόταν ἡ σὰρξ πονέσῃ τι, ἢ σπασθεῖσα, ἢ πληγεῖσα, ἢ ἄλλο τι παθοῦσα, γίνεται ὥσπερ [136] προεῖπον, πελιδνὴ, οὐκ εἰλικρινεῖ αἵματι, ἀλλὰ λεπτῷ τε καὶ ὑδαρέϊ, καὶ τούτῳ ὀλίγῳ· ὅταν δὲ ὑπερξηρανθῇ μᾶλλον τοῦ εἰωθότος, διαθερμαίνεταί τε καὶ
5 ὀδύνην παρέχει, [137] καὶ ἕλκει ἐς ἑωϋτὴν ἀπὸ τῶν φλεβίων καὶ σαρκῶν τῶν πλησίον, τὸ ὑγρόν· καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν

Quod si neque sponte, neque a medicamentis multo tempore rumpi possit, dolorum vehementia, inedia, tussi, ac febribus ægrotus consumitur, ac plerumque perit. Si vero jam extenuato, & in lecto decumbenti pus eruperit, neque sic admodum recreantur, sed eo modo perimuntur. Quod si quam citissime ruptum quidem & maturatum fuerit; magnaque sui parte ad septum transversum maturatum effundatur, statim quidem levius habere videtur; progressu autem temporis, siquidem totum per sputum rejecerit, & venter, in quo pus inerat, considat, ac resiccetur, sanus evadit: verum si tum tempus longius, tum ipse debilior fuerit, neque expuere possit, sed per ustionem, aut sectionem pus exeat, confestim quidem hoc sane etiam modo levius habere videtur; progressu tamen temporis, ab his, quæ in priore dicta sunt, perimitur. In latere autem tubercula quidem oriuntur, tum a pituita, tum a bile, eadem ratione, qua in pulmone: a laboribus etiam fiunt, quum vena aliqua divulsa rupta fuerit, neque tamen prorsus rupta fuerit, sed in ipsa vulsura facta sit. Siquidem igitur rupta fuerit, confestim sanguis ex vena effusus putrescit & suppuratur: quod si vulsura in vena facta sit, hæc quidem per exordia dolorem excitat & pulsat; progressu vero temporis sanguinem ad carnem vena transmittit, & hic in carne putrescens, in pus vertitur. Eadem vero ratione & caro, si sane plus laborarit, plus etiam ad se sanguinis ex maxime vicinis venis trahit, & confestim pus colligit: si vero minus laborarit, & tardius trahit, & suppuratur. Quibusdam autem cum imbecilles in carnibus, aut venis vulsuræ factæ fuerint, non suppurantur, sed diuturni fiunt dolores, & ruptiones vocantur. Et quæ quidem in carne fiunt, hoc modo fiunt. Quum caro afflicta fuerit, aut divulsa, aut percussa, aut aliquid aliud perpessa, livida, velut antea dixi, evadit, non sincero sanguine, sed tenui & aquoso, eoque pauco: quum vero plus solito resiccata fuerit, tum incalescit, tum dolorem exhibet, & ad se ex venis & carnibus propinquis humiditatem trahit; ac ubi supra modum humectata fuerit, eaque humiditas ab

 ipsa

Variæ Lectiones.

126 ἢν δὲ μὴ ῥαγῆναι μήτε ἐκ τοῦ αὐτομάτου, μήτε ὑπὸ φαρμάκων, τήκεται ὁ ἀσθενέων ἀπό τε ὀδυνέων ἰσχυρῶν legit MS. cod.

127 In MS. cod. sic habetur, ἀλλὰ διαφθείρονται τρόπῳ τῷ αὐτῷ; *sed pereunt eodem modo.*

128 καὶ ἀναπτύσαι μὴ δύναται, vulgati cod.

129 καὶ τὸ πῦος ἐξέλθῃ vulgo legebatur; nos MS. cod. lectionem secuti sumus, qui pro ῥάων γεγονέναι etiam ῥάων εἶναι adscribit.

130 MS. cod. sic legit ἢ σπασθῇ μὲν, ῥαγῇ δὲ μὴ παντελῶς.

131 τοῦτο δὲ κατ' ἀρχὰς μὲν ὀδύνας παρέχει MS. cod.

132 πῦον γίνεται· κατὰ τὸν αὐτὸν δὲ λόγον, καὶ ἡ σὰρξ ἢν μὲν μᾶλλον πλέον πονέσῃ, πλέον ἕλκει τοῦ αἵματος ἐς ἑωυτὴν ἐκ τῶν ἐγγυτάτω φλεβίων MS. cod.

133 Pro ἐκπύει Aſulan. exempl. ἐμπύει habent, & MS. cod. ἐκπυΐει.

134 MS. cod. ὅταν ἀσθενέα γίνονται σπάσματα ἢ ἐν τῇσι σαρξὶν, ἢ ἐν τῇσι φλεψίν.

135 ἃ καὶ καλέουσι ῥήγματα MS. cod. inserto ἃ. Ibidem idem cod. pro vulgatis ὁκόταν ἡ σὰρξ legit ὅτ' ἂν δὲ ἡ σάρξ.

136 ὥσπερ εἴρηται πελιδνή· πελιδνὴ δὲ οὐκ εἰλικρινεῖ αἵματι sic legit MS. cod.

137 MS. cod. sic habet καὶ ἄγει ἐς ἑωϋτὴν ἀπὸ τῶν πλησίον καὶ φλεβῶν, καὶ σαρκῶν, τὸ ὑγρόν· καὶ ὁκόταν ὑπερυγρανθῇ, καὶ τοῦτο αὐτὸ τὸ ὑγρὸν διαθερμανθῇ.

ipsa carne admodum incaluerit, per totum corpus, qualis attracta est, dispergitur. Et magis sane in venas, quam in carnes, spargitur, quum venæ magis quam carnes trahant, quamquam etiam carnes trahunt; quum vero ad copiosam corporis humiditatem exigua a carne attracta fuerit, obscura & doloris expers evadit, & pro morbosa temporis tractu sanescit. Quod si caro tum magis incaluerit, tum copiosam humiditatem traxerit, dolorem exhibet, & ad quamcunque corporis partem ab ipsa irruperit, ac incubuerit, dolorem acutum excitat; & quidam putant ipsis ruptionem transmutatam esse; at id fieri non potest: sed quæ sunt ejusmodi & alia, ulceri sunt proxima. At humor de carne per venas prorumpit; quumque incaluerit, & crassior copiosiorque evaserit, dolorem exhibet, donec reliquo humori tenuitate, & frigiditate similis fiat. Quod attinet ad ea, quæ in venis accidunt, ipsa quidem vena in quantum convellitur, loco manet; quum vero convulsa fuerit (divellitur autem contentione & violentia) similis fit varici. Percalescit autem, & ad se madorem quemdam humidum trahit; mador autem a bile & pituita est; quumque sanguis & humiditas de carne mixta fuerint, crassescit sanguis, ipseque multis modis, qua parte venam divelli contingit, se ipso morbosior & longe stabilior & copiosior evadit; quumque copiosior fuerit, plenitudo, quocunque tandem contigerit, transfertur, doloremque acutum adfert, ita ut quibusdam ruptio sibi loco migrasse videatur. Quod si ad humerum transire contingat, & gravitatem in manu, & stuporem, ac torporem inducit: & si in venam incubuerit, aut ad humerum & dorsum tendat, confestim plerumque dolor sedatur. Fiunt etiam convulsiones a laboribus, a casibus, a plaga, & si quis onus majus tollat, & a cursibus, ac lucta, & ejusmodi omnibus.

ὑπερθερμανθῇ ὑπ' αὐτῆς τῆς σαρκός, σκίδναται ἀνὰ τὸ σῶμα πᾶν, [138] οἷόν περ εἰρύσθη. Καὶ μᾶλλον δή τι σκίδναται ἐς τὰς φλέβας, ἢ ἐς τὰς σάρκας· ἕλκουσι γὰρ αἱ φλέβες μᾶλλον τῶν σαρκῶν, ἕλκουσι δὲ καὶ αἱ σάρκες· ὁκόταν δὲ ἐς πολλὸν ὑγρὸν τὸ ἐν τῷ σώματι, [139] ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἑλκυσθῇ, ἄδηλον γίνεται καὶ ἀνώδυνον, καὶ ἀντὶ νενοσηκότος γίνεται ὑγιὲς τῷ χρόνῳ. Ἢν δὲ διαθερμανθῇ τε μᾶλλον ἡ σὰρξ, καὶ εἰρύσῃ πλέον τὸ ὑγρὸν, ὀδύνην παρέχει, καὶ ὅπῃ ἂν τοῦ σώματος ἀπ' αὐτῆς ὁρμήσῃ καὶ κατασηρίξῃ, ὀδύνην παρέχει ὀξείην· καὶ δοκέουσιν [140] ἔνιοι αὐτοῖσι τὸ ῥῆγμα μεταστῆναι, τὸ δὲ οὐκ ἀνυστόν· ἐγγυτάτω δὲ ἕλκεός ἐστιν, ὁκόσα τοιαῦτα, καὶ ἄλλα. Τὸ δὲ ἀπὸ τῆς σαρκὸς ὑγρὸν ἀΐσσει διὰ τῶν φλεβίων· ὅταν δὲ διαθερμανθῇ τε καὶ παχυνθῇ, καὶ γένηται πλέον, καὶ ὀδύνην παρέχει, ἔστ' ἂν γένηται ὅμοιον τῷ ἄλλῳ ὑγρῷ κατὰ λεπτότητα καὶ ψυχρότητα.
48 [141] Ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, αὐτὸ μὲν τὸ φλέβιον ὁκόσον ἔσπασται, [142] κατὰ χώρην μένει· ὅταν δὲ σπασθῇ
49 (σπᾶται δὲ ὑπὸ τόνου καὶ βίης) γίνεται οἷον κιρσός. Διαθερμαίνεται δὲ, καὶ ἕλκει ἐς ἑωυτὸ νοτίδα τινὰ ὑγρήν· ἡ δὲ νοτὶς ἐστιν ἀπὸ χολῆς καὶ φλέγματος· καὶ ὁκόταν μιχθῇ τό, τε αἷμα, [143] καὶ τὸ ὑγρὸν τὸ ἀπὸ τῆς σαρκὸς, παχύνεται τὸ αἷμα, καὶ πολλαπλασίως αὐτὸ ἑωυτοῦ, ταύτῃ ᾗ ἂν ἡ φλὲψ τυγχάνῃ ἐσπασμένη, καὶ νοσωδέστερον γίνεται [144] καὶ στασιμώτερόν τε καὶ πλέον· καὶ ὁκόταν πλέον γένηται, μεταστῇ τὸ πλήρωμα, ᾗ ἂν τύχῃ, καὶ ὀδύνην παρέχει ὀξείην, ὥστε ἐνίοισι δοκέειν τὸ ῥῆγμα [145] ἑωυτοῖσι μεταστῆναι. Καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεθιστάναι, βάρος τε ἐν τῇ χειρὶ παρέχει, καὶ νάρκην καὶ
50 νωθρίην· καὶ ἢν μὲν ἐς τὴν φλέβα σκιμφθῇ, ἢ ἐς τὸν ὦμόν τε καὶ τὸν νῶτον τείνῃ, παύεται ἡ ὀδύνη παραχρῆμα ὡς τὰ πολλά. [146] Γίνεται δὲ τὰ σπάσματα καὶ ἀπὸ πόνων, καὶ πτωμάτων, καὶ ἀπὸ πληγῆς, καὶ ἤν τις ἄχθος μέζον αἴρηται, καὶ ἀπὸ δρόμων καὶ πάλης, καὶ τῶν τοιούτων πάντων.

VARIÆ LECTIONES.

138 MS. cod. οἷόν περ εἰρύσθη, καὶ μᾶλλον δή τι omittit.

139 In MS. cod. habetur ὀλίγον τὸ ἀπὸ τῆς σαρκὸς ἔλθῃ· ἄδηλόν τε γίνεται.

140 ἔνιοι ἑωυτοῖσι τὸ ῥῆγμα μεθιστάναι, τὸ δὲ οὐκ ἀνυστόν· ἕλκος γὰρ μεταστῆναι οὐκ ἀνυστόν· ἐγγυτάτω δὲ ἕλκεός ἐστιν, ὁκόσα τοιαῦτα· ἀλλὰ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρὸν, ἀΐσσει διὰ τῶν φλεβῶν. *Quidam putant sibi ruptionem transmutatam esse: sed id fieri nequit: ulcus enim transmutari non potest: at quæ hujusmodi sunt, proxima sunt ulceri: Humor autem de carne erumpit per venas* MS. Cod.

141 Lindenus ὁκόσα δὲ ἐν τοῖσι φλεβίοισι γίνεται, ὧδε ἔχει. Quam lectionem secuti sunt interpretes, aut aliquid aliud legisse videntur.

142 In MS. cod. sic legitur κατὰ χώρην μένει· καὶ ὅτ' ἂν σπασθῇ, γίνεται οἷον κιρσός· καὶ διαθερμαίνεταί τε, καὶ ἕλκει ἐς ἑωυτὸν νοτίδα ὑγρήν.

143 καὶ τὸ ἀπὸ τῆς σαρκὸς ὑγρόν· παχύνεταί τε τὸ αἷμα MS. cod.

144 MS. cod. καὶ στασιμώτερόν τε καὶ πλέον, *& stabilior, & copiosior*: quæ melius cohærent cum sequentibus; subjicitur enim, καὶ ὁκόταν πλέον γένηται, *& quum copiosior fuerit*. Vulgo legebatur καὶ στασιμώτερόν τι ἐπιπλέον.

145 ἑωυτοῖσι μεθιστάναι· καὶ ἢν τύχῃ ὥστε ἐς τὸν ὦμον μεταστῆναι, βάρος τε τῇ χειρὶ παρέχει. MS. cod.

146 γίνεται δὲ τὰ σπάσματα habet MS. cod. inserto τά. Et pro αἴρηται, idem MS. cod. αἴρῃ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τ̃ τῶν ἐμπύων ἀπὸ σαρκὸς ἢ φλεβὸς τρωθείσης, ἢ ῥαγείσης, ἰάσεως, καὶ ὑποςροφῆς, καὶ ἀπωλείας· καὶ ἐν τῇ αὐτῶν θεραπείᾳ ὁποῖα χρὴ ἐπιβλέπειν, γένος, καὶ ἡλικίαν, καὶ ὥραν, καὶ χρόνον, καὶ πάθημα, καὶ σῶμα, καὶ τἄλλα.

ΟΚόσοι δὲ ἀπὸ τρωμάτων ἔμπυοι γίνονται, ἢ ὑπὸ δόρατος, ἢ ἐγχειριδίου, [147] ἢ τοξεύματος ἔσω τρωθῶσι, ἕως μὲν ἂν ἔχῃ τὸ ἕλκος ἔξω ἀναπνοὴν ἀνὰ τὰ ἀρχαῖον τρῶμα, ταύτῃ τε τὸ ψυχρὸν ἐπάγεται ἐφ' ἑωϋτὸ, καὶ τὸ θερμὸν ἀφ' ἑωϋτοῦ ταύτῃ ἀφίησι, καὶ [148] ἀποκαθαίρεται εὐκόλως τὸ πῦον, καὶ [149] δὴ ἤν τι ἄλλο. Καὶ ἢν μὲν ὑγιανθῇ τό, τε εἴσω καὶ τὸ ἔξω ὁμοῦ, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ τὸ μὲν ἔξω ὑγιανθῇ, τὸ δὲ ἔσω μὴ ὑγιανθῇ, ἔμπυος γίνεται. Καὶ ἢν ὑγιανθῇ μὲν ὁμοῦ, [150] καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται, καὶ τρηχείη καὶ πελιδνὴ, [151] ἀνελκοῦται ἐνίοτε, καὶ ὧδε ἔμπυος γίνεται· ἀνελκοῦται δὲ καὶ ἤν τι πονέσῃ πλέον, καὶ ἢν λεπτυνθῇ, καὶ ἢν φλέγμα, ἢ χολὴ πρὸς τῇ οὐλῇ προσπαγῇ, καὶ ἢν νούσῳ ἑτέρῃ ληφθεὶς λεπτυνθῇ. Ὅταν δὲ γένηται ἕλκος, ἤν τε οὕτως, [152] ἤν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω, ὀδύνην τε παρέχει ὀξείην, καὶ βῆχα, καὶ πυρετόν· καὶ τήν τε ψύξιν ἐπάγεται αὐτὸ ἑωϋτῷ τὸ ἕλκος, διὰ τὸ πλέον τε καὶ θερμότερον εἶναι· καὶ αὐτὸ ἀφ' ἑωϋτοῦ ἀποπνεῖ τὸ θερμὸν, καὶ τὸ πῦον ἀποκαθαίρεται, [153] καὶ προσιητρεύεταί τε διὰ πλείονος, [154] καὶ σχολαιότερον ὑγιαίνεται· ἐνίοτε δὲ οὐδ' ὑγιαίνεται· ἡ γὰρ σὰρξ, τό, τε ἕλκος ὑπὸ τοῦ καύματος τοῦ ἐν τῷ σώματι ἕψεταί τε καὶ ὑπερυγραίνεται, ὥςε μὴ δύνασθαι μήτε ξηρανθῆναι, μήτε σαρκοφυῆσαι, μήτε ὑγιανθῆναι· ἀλλ' ὁκόταν ὁ χρόνος προΐῃ, τελευτᾷ πάσχων τὰ τοιαῦτα, ἃ καὶ ἐν τῇ πρόσθεν εἴρηται. Ἢν δὲ τύχῃ ὥςε τρωθῆναί τι τῶν φλεβίων τῶν παχυτέρων, καὶ ἔσω ῥυῇ τὸ αἷμα [155] καὶ σαπῇ, ἔμπυος γίνεται. Καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ πᾶν, καὶ ἡ φλὲψ ἡ τετρωμένη ςεγνωθῇ, καὶ τὸ ἕλκος ὑγιανθῇ καὶ τὸ ἔσω καὶ τὸ ἔξω, ὑγιὴς γίνεται παντελῶς· ἢν δὲ μὴ δύνηται μήτε τὸ ἕλκος

CAPUT IX.

De suppuratorum ob carnem, aut venam vulneratam, aut ruptam, sanatione, reversione, interitu; ac in ipsorum curatione, quæ animadvertenda sint, sexus, ætas, tempestas, tempus, affectus, corpus, & alia.

QUicunque autem a vulneribus purulenti
fiunt, aut hasta, aut pugione, aut jaculo
intro vulnerati sunt, quamdiu quidem ul-
cus per antiquum vulnus foras respiratio-
nem habuerit, & hac parte frigidum in se
51 attrahit, & calidum a se emittit; tum pus
facile, tum sane si quid aliud, expurgatur.
52 Et si quidem tum interna pars, tum exter-
na simul sanescant, penitus (æger) sanus
evadit: sin autem externa quidem pars sa-
nescat, interna vero minime, purulentus
fit. At sane si simul tum interna, tum ex-
terna pars sanatæ sint, cicatrix autem intus
debilis, aspera, & livida fiat, quandoque
refricatur ulcus, & sic purulentus evadit:
rursus vero etiam exulceratur, siquid plus
justo laborarit, & si extenuatus fuerit, & si
pituita aut bilis ad cicatricem affigatur, &
si morbo alio correptus extenuatus fuerit.
Quum autem ulcus extiterit, sive hoc mo-
do, vel si pars externa prius, quam inter-
na, coalescat, dolorem acutum, & tus-
sim, & febrem inducit; ipsumque ulcus,
quum amplius calidum sit, sibi ipsi refrige-
rationem inducit, & a se calidum exha-
lat, pusque expurgatur, & longiore tem-
pore curatur, & tardius sanescit; quando-
que vero minime sanescit: caro etenim ul-
cusque ab ardore corporis coquitur, &
supra modum humectatur, ut neque sic-
cari, neque carnem producere, neque sa-
nescere queat: verum procedente tempo-
re moritur, & quæ prius etiam dicta sunt,
ejusmodi patitur. At si contigerit, ut ex
crassioribus venis aliqua vulneretur, san-
guisque intro fluat & putrescat, suppura-
tus fit. Ac siquidem totum hoc pus sputo
rejectum sit, & vulnerata vena coaluerit,
ulcusque intus & foris sanatum fuerit, pror-
sus convalescit: quod si neque ulcus intus
coale-

Variæ Lectiones.

147 MS. cod. ἢ τοξεύματος ἐσωτέρω τρωθῶσι· ἕως μὲν ἂν, pro vulgatis ἢ τοξεύματος ἔσω τρωθῶσι, τέως μὲν ἂν.

148 ἀποκαθαίρεται ταύτῃ τὸ πῦον, pro vulgatis ἀποκαθαίρεται, εὐκόλως τὸ πῦον, MS. Cod.

149 καὶ δὲ ἢν exempl. german. parum recte, pro quibus καὶ δὴ ἤν τι reposuit Imp. Corn. hancque lectionem secuti sunt Interpretes. In MS. cod. autem ita legitur καὶ ἢν δῆτι. Ibidem pro τό, τε εἴσω MS. cod. habet τότ' ἔνδον.

150 Pro vulgatis καὶ τὸ ἔσω, καὶ τὸ ἔξω, ἡ δὲ οὐλὴ ἔσω ἀσθενὴς γένηται; MS. cod. habet καὶ τὸ ἔνδον, καὶ τὸ ἔξω, ἡ δ' οὐλὴ ἔσω ἀσθενής τε γένηται.

151 ἐνίοτε, καὶ ἔμπυος γίνεται· ἀνελκοῦται δὲ καὶ ἢν πονέῃ τὸ πλέον. MS. cod.

152 ἤν τε προσυμφυῇ τὸ ἔξω τῷ ἔσω, MS. cod. pro vulgatis ἤν τε προσυμφυῇ τὸ ἔξω τοῦ ἔσω.

153 καὶ προσιητρεύεται desunt hæc in MS. cod.

154 καὶ προσιητρεύεται τε καὶ σχολαίτερον ὑγιαίνεται· ἐνίοτε δὲ οὐδ' ὑγιάζεται· ἡ γὰρ σὰρξ, ἡ τοῦ ἕλκεος MS. cod. legit, *& sanari potest, & tardius sanescit: aliquando vero minime sanatur: caro enim ulceris &c.*

155 Noster MS. cod. habet καὶ ἐνσαπῇ; ἔμπυος γίνεται· καὶ ἢν μὲν τοῦτο τὸ πῦον πτυσθῇ.

coalescere possit, neque vena sauciata consolidetur, sed alias atque alias sanguinem effundat, etiamsi confestim vomatur, & expuatur, aut etiam putrescat, & pus expuatur; plerumque perimitur, aut statim sanguinem vomens, aut posteriori tempore, ab iisdem, quæ prius dicta sunt, interfectus. At sæpe quibus vena aliqua a vulneribus, aut quibusdam laboribus, aut exercitationibus, aut alia causa intus sauciatur, quum coaluerit, & sana esse vena videbitur, iterum alio tempore rumpitur; iterumque rumpitur ex iisdem causis, a quibus etiam prius patiebatur. Quum vero iterum rupta est, sanguinem effundit, confestimque copiosum sanguinem & crebro vomentes intereunt, aut subinde recentem sanguinem vomunt; multum autem & crassum pus per totum diem spuentes, eodem aut consimili modo pereunt, velut in aliis morbis dictum est. At vero in his qui ejusmodi aut similibus morbis detinentur, multum ad faciliorem aut difficiliorem liberationem interest, virne sit, an mulier; juvenis, an senex; & mulier juvencula, an vetula; ac præterea quoque qua anni tempestate ægrotent, & num ex alio morbo, aut non ex alio ægrotent. Differt etiam affectus ab affectu, major a minori; corpus a corpore, & curatio a curatione. His autem ita differentibus, tempus etiam differre necesse est; & in aliis quidem longius fieri, aliis vero brevius; & alios perire, aut non; & aliis quidem morbos perdurare, & majores esse; aliis vero minores, & brevioris temporis; aliis quoque ad senectutem usque permanere, & commori; alios vero ab ipsis brevi interire. Et qui quidem juniores eas patiuntur affectiones, quæ a laboribus fieri dictæ sunt, ii & plures & vehementiores patiuntur, plusque cæteris dolent, & confestim iis manifestæ fiunt, ut sanguinem aut spuant, aut vomant: sed quædam etiam oborientia propter bonam corporis habitudinem ipsos fugiunt. Seniores vero raro quidem afficiuntur; quod si afficiantur, debilius afficiuntur, quum

[156] συμφυῆναι τὸ ἔνδον, μήτε ἡ φλὲψ στεγνωθῇ ἡ τετρωμένη, ἀλλ' ἄλλοτε καὶ ἄλλοτε ἀναδιδοῖ αἷμα, καὶ ἢν παραυτίκα ἐμέηται, καὶ πλύνηται, ἢ καὶ σήπηται, καὶ πῦον πλύνηται, διαφθείρεται ὡς τὰ πολλὰ, ἢ παραυτίκα ἐμέων αἷμα, ἢ ὑστέρῳ χρόνῳ, ὑφ' ὧν καὶ ἐν τῇ πρόσθεν εἴρηται διαφθειρόμενος. Πολλάκις δὲ ὅσοι τι τῶν φλεβίων ἔσω τιτρώσκονται ὑπὸ τρωμάτων, [157] ἢ ὑπό τι- 136 νων πόνων, ἢ γυμνασίων, ἢ ὑπ' ἄλλου του, ὁκόταν συμφυῇ καὶ δοκέῃ ὑγιὲς εἶναι τὸ φλέβιον, [158] ἀναῤῥήγνυται ἑτέρῳ χρόνῳ· ἀναῤῥήγνυται δὲ ὑπὸ τῶν αὐτῶν, ὑφ' ὧν περ καὶ πρόσθεν πάσχει. Ὁκόταν δὲ ἀναῤῥαγῇ, αἱμοῤῥοέει· ἢ παραυτίκα ἀπόλλυνται ἐμέοντες αἷμα πολλόν τε καὶ πολλάκις, [159] ἢ ἄλλοτε μὲν καὶ ἄλλοτε αἷμα ἐμέουσι πρόσφατον· πῦον δὲ πλύοντες ἀνὰ πᾶσαν ἡμέρην πολλόν τε καὶ παχὺ, διεφθάρησαν τρόπῳ τοιούτῳ, ἢ παραπλησίῳ, ὡς καὶ ἐν τῇσιν ἄλλῃσι [160] νούσοισιν εἴρηται. Τοῖσι δὲ ταῦτα τὰ νουσήματα ἔχουσι, καὶ ὅσα τοιαῦτα, διαφέρει ἐς τὸ εὐπετεστέρως τε ἀπαλλάσσειν καὶ δυσπετεστέρως· [161] ἀνήρ τε γυναικός· καὶ νεώτερος γεραιτέρου· [162] καὶ γυνὴ νεωτέρη παλαιοτέρης· καὶ πρὸς τούτοισιν ἡ ὥρῃ τοῦ ἔτεος, ἐν ᾗ ἂν νοσέωσι· [163] καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ ἐξ ἑτέρης. Διαφέρει δὲ καὶ πάθημά τε παθήματος, μέζον τε καὶ ἔλασσον, καὶ χρὼς χρωτὸς, καὶ θεραπείη θεραπείης. Τούτων δὲ οὕτω διαφερόντων, ἀνάγκη διαφέρειν καὶ τὸν χρόνον, καὶ τοῖσι μὲν πλέω γίνεσθαι, τοῖσι δὲ ἐλάσσω τε, καὶ ἀπόλλυσθαι, ἢ μή· καὶ τοῖσι μὲν παραμόνιμά τε εἶναι, καὶ μέζω, τοῖσι δὲ ἐλάσσω τε καὶ ὀλιγοχρόνια, τοῖσι δὲ παραμένειν ἐς τὸ γῆρας τὰ νουσήματα καὶ συναποθνήσκειν, τοὺς δὲ ἀπόλλυσθαι δι' ὀλίγου ὑπ' αὐτῶν. Καὶ ὁκόσοι μὲν νεώτεροι [164] πάσχουσί τι τούτων, ὅσα εἴρηται ἀπὸ πόνων παθήματα γίνεσθαι, πάσχουσι πλέω τε καὶ ἰσχυρότερα, [165] καὶ ἀλγέουσι μᾶλλον τῶν ἄλλων, καὶ παραυτίκα ἔκδηλα αὐτοῖσιν, [166] ὥστε ἢ πλύσαι αἷμα ἢ ἐμέσαι· τὰ δὲ καὶ γινόμενα λανθάνει αὐτοὺς ὑπὸ εὐεξίης τοῦ σώματος. Οἱ δὲ γεραίτεροι πάσχουσι μὲν ὀλιγάκις, καὶ ὅταν πάθωσιν, [167] ἀσθενέστερα πάσχουσιν, ἅ τε ἀσθε-

VARIÆ LECTIONES.

156 συμφυῆναι (omissis τὸ ἔνδον) μήτε ἡ φλὲψ στεγνωθῆναι· ἀλλ' ἄλλοτε MS. cod. Postmodo Imp. Samb. & Fevr. καὶ ἢν μὲν παραυτίκα legunt, quam lectionem adhibuit Lind.

157 Pro vulgatis ἢ ὑπό τινων πόνων. MS. cod. ἢ πόνων omissis ὑπό τινων. Deinde ἢ κατὰ γυμνασίων MS. cod. pro quibus Imp. Samb. habet ἢ ὑπὸ γυμνασίων.

158 MS. cod. pro ἑτέρῳ χρόνῳ, legit ὑστέρῳ χρόνῳ. Et ibid. ὑφ' ὧν περ καὶ πρόσθεν, omittitur in cod. πάσχει.

159 ἢ ἄλλοτε μέν τε vulgati codic. In MS. cod. τε enclitica omittitur melius.

160 Ante εἴρηται in vulgatis codic. adscribitur νούσοισι; verum in MS. cod. deest; & pro sequenti ἔχουσι MS. cod. habet ἴσχουσι eodem sensu.

161 Ita multo melius legit MS. cod. vulgo erat ἀνήρ τε γυνὴ γυναικός· νεώτερος.

162 καὶ γυνὴ νεωτέρη, καὶ παλαιοτέρη MS. cod. & pro ἤ τε ὥρη vulgatis ex MS. cod. omisimus particulam τε, quæ lectio melior est.

163 Pro vulgatis καὶ ἢν ἐξ ἑτέρης νούσου νουσήσωσιν, ἢ μὴ, MS. cod. legit καὶ ἢν ἐξ ἑτέρης νούσου νοσέωσιν· ἤν τε μή.

164 MS. cod. pro πάσχουσι τούτων, habet πάσχουσί τι τούτων, multo melius, quod secuti sumus.

165 Sic MS. cod. Vulgati cod. καὶ ἀλγέουσιν οὗτοι μᾶλλον; verum οὗτοι supervacuum erat. Ibid. pro vulg. ἔκδηλα, Fevr. habet ἔνδηλα, quæ scriptio etiam est in MS. cod. eodem sensu.

166 Pro vulgatis ὥστε ἢ πλύσαι, ἢ αἷμα ἐμέσαι. MS. cod. scribit: ὥστε ἢ πλύσαι αἷμα, ἢ ἐμέσαι· τὰ δὲ γινόμενα: quod melius videtur.

167 MS. cod. ἀσθενέα pro vulgato ἀσθενέστερα habet.

ἀσθενέστεροι ἐόντες, καὶ [168] ἐπαΐουσι μᾶλλον, καὶ ἐπιμέλονται μᾶλλον τῶν παθημάτων. Γίνεται οὖν τὴν ἀρχὴν, τὸ παράπαν ἧσσον τῷ γεραιτέρῳ ἢ τῷ νεωτέρῳ· καὶ, ὁκόταν γένηται, τῷ μὲν γεραιτέρῳ ἀσθενέστερα γίνεται, τῷ δὲ νεωτέρῳ ἰσχυρότερα· καὶ τῷ μὲν νεωτέρῳ, ἅτε τοῦ σώματος [169] τόνον τε ἔχοντος καὶ ξηρασίην, καὶ τὴν σάρκα πυκινήν τε καὶ ἰσχυρὴν, καὶ πρὸς τοῖσιν ὀστέοισι προσκαθημένην, καὶ περὶ αὐτὴν τοῦ δέρματος περιτεταμένου, ὁκόταν τι πονήσῃ πλέον τοῦ εἰωθότος, μᾶλλον καὶ ἐξαίφνης σπασμοί τε γίνονται ἰσχυροὶ, καὶ ῥήγματα πολλά τε καὶ παντοῖα τῶν φλεβῶν καὶ τῶν σαρκῶν· καὶ τούτων τὰ μὲν παραυτίκα [170] ἔκδηλα γίνονται, τά δ' ὑστέρῳ χρόνῳ ἀναφαίνεται. Τοῖσι δὲ γεραιτέροισι τόνος ἰσχυρὸς οὐκ ἔνι, αἵ τε σάρκες περὶ τὰ ὀστέα περιῤῥέουσι, καὶ τὸ δέρμα περὶ τὰς σάρκας, καὶ αὐτὴ ἡ σὰρξ ἀραιή τε καὶ ἀσθενής· καὶ οὔτε τὶ ἂν πάθοι τοιοῦτον ὁμοίως ὡς καὶ ὁ νεώτερος, καὶ, ἤν τι πάθῃ, πάσχει ἀσθενέα τε [171] καὶ παραυτίκα οἱ ἔκδηλα γίνεται. Τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ τῶν παθημάτων, δυσχερέστερον ἀπαλλάσσουσιν οἱ νεώτεροι τῶν γεραιτέρων· ὁκόταν δὲ ἡ νοῦσος ἐμφανὴς γένηται, [172] καὶ ἢ πύον, ἢ αἷμα πτύσωσιν, ἢ ἀμφότερα, ὅσοι μὲν νεώτεροί εἰσιν, ἅτε τοῦ σώματος εὐτόνου τε ἐόντος καὶ πυκινοῦ, οὐ δύνανται ἀποκαθαίρεσθαι ὁμαλῶς ἀπὸ τῶν ἑλκέων τῶν [173] ἐν τῇ ἄνω κοιλίῃ τὸ πύον· ὅ, τε γὰρ πλεύμων οὐ κάρτα ἕλκει ἐς τὰς ἀρτηρίας, πυκνότερος ἐών· αἵ τε ἀρτηρίαι [174] λεπταὶ καὶ στεναὶ ἐοῦσαι, οὐκ εἰσδέχονται τὸ πύον, εἰ μὴ ὀλίγον τε καὶ ὀλιγάκις· ὥστε ἀνάγκη τὸ πύον ἐν τῷ θώρακί τε καὶ ἐπὶ τῶν ἑλκέων ἀθροίζεσθαί τε καὶ παχύνεσθαι.

53 Τῷ δὲ ἀφηλικεστέρῳ, ὅ, τε πλεύμων ἀραιότερος, καὶ κοιλότερος, καὶ αἱ ἀρτηρίαι εὐρύτεραι, ὥστε μὴ ἐγχρονίζειν τὸ πύον ἐν τῇ κοιλίῃ, καὶ ἐπὶ τῶν ἑλκέων, καὶ, ὅ, τι ἂν ἐπιγένηται, [175] τοῦτο ἀνάγκη πᾶν ἀνασπᾶσθαι ἄνω ὑπὸ τοῦ πλεύμονος ἐς τὰς ἀρτηρίας, καὶ παραχρῆμα ἐκπτύεσθαι. Τῷ μὲν οὖν νεωτέρῳ, ἅτε τῶν παθημάτων ἰσχυροτέρων ἐόντων, καὶ τῆς καθάρσιος οὐ γινομένης κατὰ λόγον τοῦ πτύσματος, οἵ τε πυρετοὶ ὀξύτεροι καὶ πυκνότεροι γίνονται, καὶ ὀδύναι ἐμπίπτουσιν ὀξεῖαι αὐτοῦ τε τοῦ παθήματος, καὶ τοῦ ἄλλου σώματος, ἅτε τῶν φλεβῶν εὐτόνων τε ἐόντων καὶ ἐναίμων· ὅταν δὲ ταῦτα διαθερμανθῇ, ὑφ' ἑωυτῶν ὀδύναι διαΐσσουσιν ἄλλοτε ἄλλῃ τοῦ σώματος, καὶ οὗτοι μὲν διαφθείρονται ὡς τὰ πολλὰ δι' ὀλίγου· τοῖσι δὲ γεραιτέροισιν, ἅτε τῶν παθημάτων ἀσθενεστέρων ἐόντων, καὶ τοῦ πτύσματος ἀπ' αὐτῶν κα-

debiliores sint, & sentiunt magis, ac majorem curam habent incommodorum. Seniori igitur hæc per initia omnino minus contingunt, quam juniori; quumque facta fuerint, seniori quidem debiliora, juniori vero vehementiora accidunt: & juniori quidem, ut qui corporis vegetas habet vires & siccitatem, carnemque densam & validam, & ad ossa adhærescentem, & cutem ei undique obtentam, siquid plus solito laborarit, vehementes convulsiones magis & derepente contingunt, multæque & variæ venarum & carnium ruptiones: atque horum quædam statim quidem manifesta fiunt, quædam vero posteriori tempore comparent. Senioribus autem corporis vigor non inest, carnesque circum ossa diffluunt, cutisque carnes ambiens, & ipsa caro rara est ac debilis; neque tale quid pati possit, ut junior, & siquid patiatur, leviter patitur, statimque manifestum redditur. Adeo quidem per affectionum exordia difficilius juniores, quam seniores liberantur: quum vero morbus conspicuus factus fuerit, & aut pus, aut sanguinem, aut utrumque expuerint, qui quidem juniores sunt, quum nimirum robustum, ac densum ipsorum sit corpus, non æqualiter ab ulceribus, quæ pus in superiore ventre habent, repurgari possunt: neque enim pulmo, quum densior sit, admodum ad arterias trahit; arteriæque tenues & angustæ, pus, nisi paucum & raro, non excipiunt; quare pus & in thorace, & ulceribus colligi, & crassescere necesse fit. At florentem ætatem transgresso pulmo rarior, & magis cavus est, arteriæque ampliores, adeo ut pus in ventre & ulceribus diutius non immoretur; & quicquid insuper acciderit, id totum a pulmone in arterias sursum attrahi, confestimque expui necesse est. In juniore igitur quum affectiones sint vehementiores, & purgatio pro sputi ratione non procedat, febres acutiores & frequentiores oriuntur; doloresque acuti tum ipsius affectionis, tum reliqui corporis incidunt, quum nimirum venæ robustæ sint & sanguine refertæ: ubi vero hæc percaluerint, ex ipsis dolores alias ad aliam corporis partem pervadunt; & hi quidem plerumque brevi perimuntur: senioribus vero quum debiliores sint affectiones, & ab his sputum re-

VARIÆ LECTIONES.

168 Hic vulgata exemplaria *ἐπανίουσι redeunt* legunt, a verbo *ἐπάνειμι* aut *ἐπανίω*, *ἐπανίω* Poetice & Ionice, *redeo*. Aliis placuit *remittunt*, remissiores sunt affectiones, quasi a verbo *ἐπανίημι remitto*. Nos autem ex MS. cod. legimus *ἐπαΐουσι*, *sentiunt* nempe magis incomoda, iisque diligentius obviam eunt seniores, quam juniores, quæ lectio etiam Lindeno arridet. Cæterum cuique suum judicium relinquimus. Deinde pro *ἐπιμελέονται*, ex MS. Cod. scripsimus *ἐπιμέλονται*.

169 *τόνον τε ἔχοντος* vulgati cod. pro quibus MS. cod. *τόνον ἔχοντος* eodem sensu legit. Ibidem *πυκινήν τε καὶ ἰσχυροτέρην* *densam, validioremque* nempe carnem, habet MS. cod.

170 *ἔκδηλα γίνεται· τὰ δ' ὕστερον· χρόνῳ ἀναφαίνεται* MS. cod.

171 *καὶ παραυτίκα ἔκδηλα· τοσούτῳ μὲν ἐν τῇ ἀρχῇ* MS. cod.

172 Vulgati cod. *καὶ ἢ πύον, ἢ αἷμα πτύσωσι*, pro quibus, *καὶ ἢ πύον, ἢ αἷμα πτύσουσι* scripsimus ex MS. cod.

173 Prius post *ἑλκέων τῶν* legebatur *ἂν*, verum *τὸ ἂν* delevimus MS. cod. secuti.

174 Sic MS. cod. pro *λεπταὶ οὖσαι, καὶ στεναὶ, οὐκ ἐνδέχονται*.

175 In MS. cod. *τοῦτο πάλιν ἀνάγκη ἀνασπᾶσθαι* legitur, ubi *πάλιν rursus*, pro *πᾶν totum* ponitur.

purgetur, tum febres leniores paucæque oriuntur, tum dolores adſunt quidem, ſed leves adſunt. Et ab hujusmodi quidem affectionibus ne ſenes quidem prorſus liberantur; ſed multo tempore ipſis vexati pereunt; interdumque pus ſpuunt, interdum ſanguinem, quandoque vero neutrum; tandem vero cum his moriuntur. Sic autem potiſſimum moriuntur, quum aliquis morbus huic, quem habent, ſimilis eos prehenderit, ita ut hoc etiam detineantur; & is, quem prius habuerint, vehementior fit, & ut plurimum conſumpti pereunt. At morbi, qui hæc potiſſimum efficiunt, ſunt pleuritis & pulmonum inflammatio.

CAPUT X.

De febris, rigoris, horroris, ac ſudoris frigidi & calidi, ortu, & cauſis.

EX his autem febris gignitur. Quum bilis, aut pituita incaluerit, ab his reliquum totum corpus caleſcit, & hoc vocatur febris. Caleſcit autem bilis & pituita, intus quidem a cibis & potibus, a quibus & nutritur & increſcit; extra vero, a laboribus & vulneribus, & a calido ſupra modum calefaciente, & a frigido plus æquo refrigerante: incaleſcit etiam a viſu & auditu; ſed ab his minimum. At vero rigor in morbis fit quidem etiam ab externis, ventis, aqua, & aëre ſereno, & aliis id genus: fit quoque & ab ingeſtis cibariis & potibus: præcipue autem vehementior fit, quum bilis & pituita, aut ex his alterum, aut utrumque ſanguini ſimul permixtum fuerit; magis tamen ſi ſola pituita permixta ſit; pituita enim natura frigidiſſima eſt, ſanguis vero calidiſſimus, bilis autem aliquanto ſanguine frigidior. Quum igitur hi humores aut ambo, aut alter cum ſanguine permixti fuerint, ſanguinem congelant; non penitus tamen, neque enim vivere homo poſſet, ſi ſanguis multo denſior & frigidior ſeipſo fieret. Ubi igitur ſanguis refrigeratur, totum corpus reliquum refrigerari neceſſe eſt; idque quum hujusmodi evenerit, rigor appellatur. Et ſiquidem vehemens rigor fuerit, vehementior etiam eſt tremor: ſanguine enim in ſe coëunte

θαιρομένου, οἵτε πυρεταὶ λεπ]ότεροι,[176] καὶ ὀλίγοι γίνονται, ϰ὚ ὀδύναι ἔνεισι μὲν, ἔνεισι 45
δὲ λεπ]αί. Καὶ παντάπασι μὲν τῶν παθημάτων τῶν τοιούτων οὐκ ἀπαλλάσσονται οὐδὲ οἱ γεραίτεροι, ἀλλ᾽ ἔχοντες αὐτὰ πουλὺν χρόνον, καταφθείρονται, ϰ὚ ἄλλοτε πῦον π]ύουσιν, ἄλλοτε αἷμα, ἄλλοτε δὲ οὐδέτερον· τέλος δὲ συναποθνήσκει[177] αὐτοῖσιν. Ἀποθνήσκουσι δὲ μάλιϛα οὕτως· ὅταν τι αὐτοὺς νούσημα τούτῳ, ᾧ ἂν ἔχωσι, παραπλήσιον καταλάβῃ, ὥϛε ἔχειν καὶ τοῦτο, καὶ, ὃ ἂν ἔχωσι νούσημα ἰσχυρότερον γίγνεται, καὶ ὡς τὰ πολλὰ διαφθείρονται. Ταῦτα[178] δέ ἐϛι τὰ μάλιϛα 137
ἐξεργαζόμενα τῶν νουσημάτων, πλευρῖτίς τε καὶ περιπλευμονίη.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ἡ τοῦ πυρετοῦ, καὶ τοῦ ῥίγους, καὶ τῆς φρίκης, ϰ὚ τοῦ ἱδρῶτος ψυχροῦ τε καὶ θερμοῦ, γένεσίς τε καὶ αἰτίαι.

ΠΥρετὸς δὲ ἀπὸ τῶνδε γίγνεται. Ὁκόταν χολὴ, ἢ φλέγμα θερμανθῇ, θερμαίνεται ϰ὚ τὸ ἄλλο πᾶν σῶμα ἀπὸ τουτέων, ϰ὚ καλέεται τοῦτο πυρετός.[179] Θερμαίνεται δὲ ἡ χολὴ ϰ὚ τὸ φλέγμα, ἔνδοθεν μὲν ἀπὸ σιτίων ϰ὚ ποτῶν, ἀφ᾽ ὧν ϰ὚ τρέφεται, ϰ὚ αὔξεται· ἔξωθεν δὲ, ἀπὸ πόνων ϰ὚ τρωμάτων,[180] ϰ὚ τοῦ θερμοῦ ὑπερθερμαίνοντος, ϰ὚ τοῦ ψυχροῦ ὑπερψύχοντος· θερμαίνεται δὲ ϰ὚ ἀπὸ ὄψιος ϰ὚ ἀκοῆς· ἐλάχιϛα δὲ ἀπὸ τούτων. Τὸ δὲ ῥίγος ἐν τῇσι νούσοισι γίνεται μὲν καὶ ἀπὸ τῶν ἔξωθεν, ἀνέμων, ϰ὚ ὕδατος, ϰ὚ αἰθρίης, ϰ὚ ἑτέρων τοιούτων· γίνεται δὲ ϰ὚ ἀπὸ τῶν ἐσιόντων σιτίων ϰ὚ ποτῶν·[181] μάλιϛα δὲ ἰσχυρότερον γίνεται, ὅταν χολή τε ϰ὚ φλέγμα συμμιχθῇ[182] ἐς τωὐτὸ τῷ αἵματι, ἢ τὸ ἕτερον, ἢ ἀμφότερα· μᾶλλον δὲ ἢν τὸ φλέγμα μοῦνον συμμιχθῇ· ψυχρότατον γὰρ φύσει τὸ φλέγμα, θερμότατον δὲ τὸ αἷμα· ψυχρότερον δέ τι ϰ὚ ἡ χολὴ τοῦ αἵματος. Ὅταν οὖν ταῦτα συμμιχθῇ, ἢ ἀμφότερα, ἢ τὸ ἕτερον ἐς τὸ αἷμα,[183] πηγνύουσι τὸ αἷμα· οὐ παντάπασι δὲ, οὐδὲ γὰρ ἂν δύναιτο ζῆν ὁ ἄνθρωπος· εἰ τὸ αἷμα πυκνότερόν τε καὶ ψυχρότερον γένοιτο πολ-
54 λαπλασίως αὐτὸ ἑωυτοῦ.[184] Ψυχομένου οὖν τοῦ αἵματος, ἀνάγκη ψύχεσθαι καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ καλέεται ῥίγος, ὁκόταν τοῦτο τὸ τοιοῦτον γένηται. Κἢν μὲν ἰσχυρὸν γένηται ῥίγος, ἰσχυρότερός ἐϛι καὶ ὁ τρόμος· αἱ γὰρ φλέβες συσπώμεναι, καὶ

VARIÆ LECTIONES.

176 ϰ὚ ὀλιγάκις γίνονται pro ϰ὚ ὀλίγοι γιν. vulgatis, MS. cod. legit.

177 Pro vulgato αὐτοῖσιν, in MS. cod. habetur τουτοῖσιν. Deinde ἀποθνήσκουσι δὲ μάλιϛα οὕτως inſerto μάλιϛα, quod ſequimur.

178 MS. cod. ταῦτα δέ ἐϛι μάλιϛα τὰ ἐξεργαζόμενα habet, pro vulgatis ταῦτα δέ ἐϛι τὰ μάλιϛα ἐξεργαζ.

179 Θερμαίνεται δὲ ἥτε χολὴ ϰ὚ τὸ σῶμα ἔσωθεν μὲν ἀπὸ σιτίων ϰ὚ ποτῶν, ἀφ᾽ ὧνπερ ϰ὚ τρέφεται MS. Cod.

180 Sic MS. cod. pro ϰ὚ ὑπὸ τοῦ θερμοῦ ὑπερθερμαίνοντες ϰ὚ τοῦ ψυχροῦ.

181 Sic MS. cod. pro vulgatis μάλιϛα δὲ ϰ὚ ἰσχυρότερον. Paulo poſt MS. Cod. legit: ψυχρότατον γὰρ τοῦ ἀνθρώπου φλέγμα θερμότατον δ᾽ αἷμα. Ubi pro φύσει, ponitur τοῦ ἀνθρώπου.

182 ἐπὶ τῷ αὐτῷ αἵματι vulgati codd. Nos ſecuti ſumus MS. cod. quæ lectio etiam notatur in Imp. Samb. & Fevr. & ſecutus eſt Lind. Deinde MS. cod. habet ἀμφότερον· μᾶλλον δ᾽ ἢν τὸ φλέγμα συμμιχθῇ· ψυχρότατον γὰρ τοῦ ἀνθρώπου φλέγμα, θερμότατον δὲ τὸ αἷμα.

183 συμπήγνυσι τὸ αἷμα MS. cod. Ibid. οὐ γὰρ pro οὐδὲ γὰρ idem.

184 MS. cod. ψυχομένου δὲ τοῦ, poſito δὲ pro οὖν.

[185] καὶ συνιόντος καὶ πηγνυμένου τοῦ αἵματος, συσπῶσί τε τὸ σῶμα, καὶ τρέμειν ποιέουσιν· [186] ἢν δὲ τι ἧσσον ἡ σύνοδος τοῦ αἵματος γένηται, τοῦτο δὲ καλέεται ῥῖγος· φρίκη δὲ λέγεται τὸ ἀσθενέστατον. 55 Ὅτι δὲ μετὰ τὸ ῥῖγος ἀνάγκη πυρετὸν ἐπιλαβεῖν ἢ πλέω ἢ ἐλάσσω, ὧδε ἔχει. Ὁκόταν τὸ αἷμα διαθερμαίνηταί τε καὶ [187] ἀποβιῆται, καὶ ἀπίῃ πάλιν ἐς τὴν ἑωϋτοῦ φύσιν, συνδιαθερμαίνεται καὶ τοῦ φλέγματος, καὶ τῆς χολῆς τὸ ἐν τῷ αἵματι συμμεμιγμένον, καὶ γίνεται τὸ αἷμα θερμότερον αὐτὸ ἑωϋτοῦ πολλαπλασίως· τούτων οὖν διατεθερμασμένων, ἀνάγκη πυρετὸν ἐπιγενέσθαι [188] ὑπὸ τῆς θερμασίης τοῦ αἵματος, μετὰ ῥῖγος. Ἱδρὼς δὲ γίνεται διὰ τόδε. Ὁκόσοισιν ἂν νοῦσοι κρίνωνται ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων, [189] καὶ τὸ πῦρ μεθίει, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ αἵματι φλέγματός τε καὶ τῆς χολῆς τὸ λεπτότατον, καὶ ἀποκρίνεται, καὶ χωρέει [190] τὸ μὲν ἔξω τοῦ σώματος· τὸ δὲ ἔνδον καὶ αὐτοῦ ἐν τῷ σώματι ὑπολείπεται· τὸ δὲ ὑπὸ θερμασίης λεπτυνόμενον, ἀτμὸς γίνεται, [191] καὶ σὺν τῷ πνεύματι μισγόμενον ἔξω χωρέει. Ἔστι μὲν οὖν ταῦτα τοιαῦτα, καὶ ἀπὸ τούτων ἀπογεννᾶται ὁ ἱδρώς· [192] διότι δὲ ὁτὲ μὲν θερμὸς, ὁτὲ δὲ ψυχρός ἐστιν, οὕτως. Θερμὸς μὲν ἀπὸ διατεθερμασμένου τε τοῦ κακοῦ, [193] καὶ ἐκκεκαυμένου, καὶ λελεπτυσμένου, καὶ ἀσθενέος, καὶ οὐ λίην πολλοῦ ἀποκρίνεται, καὶ ἀνάγκη θερμότερον αὐτὸν ἐκκρίνεσθαι ἐκ τοῦ σώματος· ὁ δὲ ψυχρὸς ἀπὸ πλέονος τοῦ κακοῦ ἀποκρινόμενος, τοῦ τε ὑπολειπομένου καὶ ἔτι ἰσχύοντος, καὶ οὔπω σεσηπότος, οὐδὲ λελεπτυσμένου, οὐδὲ ἐκκεκαυμένου, ψυχρότερος καὶ παχύτερος καὶ κακωδέστερος ἐκχωρέει. [194] Δῆλον δὲ τοῦτο ἐν τῷδε· 56 οἱ ψυχρῷ ἱδρῶτι ἱδροῦντες, μακρὰς νούσους νοσέουσιν ὡς ἐπιτοπουλύ, [195] ἐπισχύοντος τοῦ κακοῦ, τοῦ ἐν τῷ σώματι ὑπολειπομένου· οἱ δὲ θερμῷ ἱδρῶτι ἱδροῦντες, ταχύτερον ἀπαλλάσσονται τῶν νουσημάτων.

& congelato, dum venæ contrahuntur, corpus & contrahunt, & tremere faciunt: quod si minus in se coeat sanguis, id quidem rigor appellatur: horror autem dicitur, quod est debilissimum. At vero quod post rigorem necessario corripiat febris aut major, aut minor, sic (se res) habet. Quum sanguis percaluerit, perque vim eruperit, rursusque ad suam naturam redierit; quod pituitæ & bilis sanguini permixtum est, simul percalescit, & sanguis ipse se ipso multo calidior fit: his igitur percalefactis, post rigorem, præ sanguinis caliditate febrem suboriri necesse est. Sudor vero istam ob causam suboritur. Quibuscunque morbi præcipuis ad judicationem diebus judicantur, & ignis desinit, quicquid est in sanguine pituitæ & bilis tenuissimum, eliquatur & secernitur, partimque extra corpus abit, partim vero intus in corpore relinquitur; quod autem a calore attenuatur, vapor fit, & cum spiritu mixtum foras prodit. Hæc quidem sunt ejusmodi, & ab his sudor ortum ducit: cur autem interdum quidem calidus, interdum vero frigidus fit, ita contingit. Calidus certe ex percalefacto malo, & exusto, attenuatoque, ac debili, neque admodum multo secernitur, eumque ex corpore calidiorem excerni necesse est: frigidus autem ex malo copiosiore secernitur, & ex eo quod relinquitur, & adhuc invalescente, necdum putrefacto, neque attenuato, neque exusto, frigidior, crassior & graveolentior prodit. Hocque inde manifestum fit; qui frigidum sudorem exudant, plerumque longis morbis ægrotant, invalescente malo, quod in corpore relinquitur; qui vero calidum sudorem emittunt, celerius morbis defunguntur.

VARIÆ LECTIONES.

185 Pro vulgatis καὶ συνιόντος, καὶ πηγνυμένου τοῦ αἵματος, MS. cod. legit καὶ ἐπ' ἑωϋτὰς ἰοῦσαι· πηγνυμένου τε τοῦ αἵματος.

186 ἢν δέ τι ἧσσον ἡ σύνοδος vulgati cod. Verum MS. cod. ἢν δ' ἐπὶ ἧσσον ἡ ξύνοδος. Ibidem post φρίκη δὲ omittitur λέγεται in eodem MS. cod.

187 ἀποβιῆται, τουτέστι, μετὰ βίας ἀπέλθῃ, ab ἀποβιάομαι, ῶμαι vel ἀποβίῃ τι. i. ἀποβῇ, ἀποχωρῇ. Æmil. Port. Ibid. pro συνδιαθερμαίνεται, MS. cod διαθερμαίνεται.

188 MS. cod. ὑπὸ τῆς ὑπερθερμασίης τοῦ αἵματος, μετὰ τὸ ῥῖγος. Ἱδροῦν δὲ γίνεται διὰ τόδε· ὁκόσοις ἂν κρίνωνται αἱ νοῦσοι, quæ postrema verba ascribunt Imper. Samb. & Fevreus.

189 καὶ τὸ πῦρ μεθίῃ, ἐκτήκεται ἀπὸ τοῦ ἐν τῷ σώματι φλέγματος MS. cod.

190 MS. cod. τὸ μὲν ἔξω τοῦ αἵματος· τὸ δὲ καὶ αὐτοῦ.

191 καὶ σὺν τῷ αἵματι μισγόμενον ἔξω ἐκχωρέει MS. cod. Ibid. ἀπογεννᾶται in cod. deest, ante ὁ ἱδρώς.

192 MS. cod. legit ὅτι δὲ ὁ μὲν θερμός, ὁ δὲ ψυχρός· ὁ μὲν θερμὸς ἀπό τε θερμ.

193 καὶ ἐκ τοῦ κεκαυμένου Imp. Sambuci. Infra πολλοῦ ex Imp. Corn. restituimus, pro vulgato πολλῷ. Verum πολλὰ Serv. habet quem sequitur Lind. Paulo post pro vulgato ἀποκρινόμενος, Imp. Samb. ἐκκρινόμενος, MS. cod. vero ἀποκεκριμένος. Servin. ex codd. scribit συνεστηκότος.

194 MS. cod. δῆλον δὲ τῷδε τοῦτο· οἱ ψυχρῷ ἱδρῶτι ἱδρῶντες.

195 Pro vulgato ἐπισχύοντος MS. cod. legit ἔτι ἰσχύοντος. Ibid. pro ἱδροῦντες MS. cod. ἱδρῶντες.

CAPUT XI.

Pleuritidis ac peripneumoniæ, cum sputo, ac sine sputo, ortus, causæ, partes affectæ, curatio; qui pleuritici, qui peripneumonici intereant, aut salvi, aut suppurati evadant.

At vero pleuritis & peripneumonia hoc modo oriuntur. Pleuritis quidem, quum cumulatæ & validæ potiones admodum occuparint: a vino enim percalescit totum corpus, ac humectatur; potissimum vero bilis & pituita percalescit ac humectatur: quum igitur his commotis & humectatis, temulentum sive sobrium rigore corripi contingit, quippe quod latus corporis præcipue natura carne nudum sit, neque sit quicquam intus, ipsi quod renitatur, sed cavum sit, maxime rigorem sentit: quumque & riguerit & perfrigeratum fuerit, tum caro quæ est in latere, tum venulæ contrahuntur & convelluntur; & quantum in ipsa carne, aut in ejus venulis, bilis inest ac pituitæ, id magna ex parte, aut totum intro ad caliditatem propulsum, carne extra condensata, fecernitur, & ad latus impingitur, doloremque vehementem excitat & percalescit, propterque calorem ad se ex proximis venis & carnibus pituitam & bilem trahit. Atque hoc sane modo fit: cum vero quæ ad latus impacta sunt putruerint, & per sputum rejecta fuerint, convalescunt. Quod si & antiquum multum ad latus impactum sit, & aliud insuper accesserit, statim intereunt, quum ob salivæ copiam expuere nequeant; aut purulenti fiunt, & alii quidem intereunt, alii vero evadunt. Hæc autem in septem, aut novem, aut undecim, aut quatuordecim diebus, de se indicium præbent; dolorem quoque ad humerum & ad claviculam & ad axillam hac de causa excitant. Vena quæ splenitis vocatur, a liene ad latus tendit, a latere vero ad humerum & ad manum sinistram: jecoraria autem in dextram partem ad eundem modum; quumque ejus pars quæ in latere est, a rigore contracta fuerit, sanguisque in ea inhorruerit, alam, & jugulum humerumque petit, & convellit, & dolorem infert. Ad eandem quoque rationem loci circa dorsum ab impacto lateri pituitæ & bilis humore

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἡ τῆς πλευρίτιδος καὶ τῆς περιπνευμονίας, τῆς τε σὺν τῷ πτύσματι, καὶ τῆς ἀπτύστου, γένεσις, καὶ αἰτίαι, καὶ τὰ διατεθέντα μόρια, καὶ ἡ θεραπεία· τίνες πλευριτικοὶ καὶ περιπνευμονικοὶ ἀποθνήσκουσιν, ἢ διαφεύγουσιν, ἢ ἔμπυοι γίνονται.

Πλευρῖτις δὲ καὶ περιπλευμονίη γίνονται ὧδε. Ἡ μὲν πλευρῖτις, ὁκόταν πόσιες ἁλέες τε καὶ ἰσχυραὶ κάρτα λάβωσι. διαθερμαίνεται γὰρ τὸ σῶμα ἅπαν ὑπὸ τοῦ οἴνου καὶ ὑγραίνεται· μάλιστα δὲ ἥτε χολὴ καὶ τὸ φλέγμα διαθερμαίνεταί τε καὶ ὑγραίνεται· [196] ὁκόταν οὖν τούτων κεκινημένων τε καὶ ὑγρασμένων, ξυγκυρήσει· ὥστε ῥιγῶσαι μεθύοντα, ἤν τε νήφοντα, ἅτε ἐὸν τὸ πλευρὸν ψιλὸν φύσει σαρκὸς μάλιστα τοῦ σώματος, καὶ, οὐκ ἐόντος αὐτῷ ἔσωθεν τοῦ ἀντιστηρίζοντος οὐδενὸς, ἀλλὰ [197] κοίλου, αἰσθάνεται μάλιστα τοῦ ῥίγεος· καὶ, ὁκόταν ῥιγώσῃ τε καὶ ψυχθῇ, [198] ξυνέλκεταί τε καὶ συσπᾶται ἥτε σὰρξ, ἡ ἐπὶ τῷ πλευρῷ, καὶ τὰ φλέβια· [199] καὶ ὅσον τε ἐν αὐτῇ τῇ σαρκὶ ἔνι χολῆς καὶ φλέγματος, ἢ ἐν τοῖσιν ἐν αὐτῇ φλεβίοισι, [200] τοῦτο πολλὸν, ἢ πᾶν ἀποκρίνεται ἔσω συνωθεόμενον πρὸς τὸ θερμὸν, πυκνουμένης τῆς σαρκὸς ἔξωθεν, καὶ προσπήγνυται πρὸς τῷ πλευρῷ, καὶ ὀδύνην παρέχει ἰσχυρὴν καὶ διαθερμαίνεται· [201] καὶ διὰ τῆς θερμότητος ἄγει ἐφ' ἑωϋτὸ ἀπό τε τῶν πλησίον φλεβῶν καὶ σαρκῶν, φλέγμα τε καὶ χολήν. Γίνεται μὲν οὖν τούτῳ τῷ τρόπῳ· ὁκόταν δὲ τὰ πρὸς τὸ πλευρὸν προσπαγέντα σαπῇ καὶ πτυσθῇ, ὑγιέες γίνονται. Ἢν δὲ τό, τε ἀρχαῖον πολλὸν προσπαγῇ πρὸς τὸ πλευρὸν, καὶ ἄλλο προσεπιγένηται, αὐτίκα ἀπόλλυνται, οὐ δυνάμενοι ἀναπτύσαι ὑπὸ πλήθους τοῦ σιάλου· ἢ ἔμπυοι γίνονται, καὶ οἱ μὲν 138
ἀπόλλυνται, [202] οἱ δὲ διαφεύγουσι. Διάδηλοι δὲ ταῦτα ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐννέα, ἢ ἕνδεκα, ἢ τεσσαρεσκαίδεκα· ὀδύνην τε παρέχει ἐς τὸν ὦμον, καὶ ἐς τὴν κληῖδα, καὶ ἐς τὴν μασχάλην, διὰ τόδε. Ἡ φλὲψ ἡ σπληνῖτις καλεομένη, τείνει ἀπὸ τοῦ σπληνὸς ἐς τὸ πλευρόν· ἐκ δὲ τοῦ πλευροῦ ἐς τὸν ὦμον, καὶ ἐς τὴν χεῖρα τὴν ἀριστερήν· ἡ δὲ ἡπατῖτις εἰς τὰ δεξιὰ ὡσαύτως· καὶ, ὁκόταν ταύτης, τὸ ἐπὶ τοῦ πλευροῦ συνειρυσθῇ ὑπὸ τοῦ ῥίγεος, καὶ φρίξῃ τὸ αἷμα τὸ ἐν αὐτῇ, ἔς τε τὴν μασχάλην, καὶ τὴν κληῖδα, καὶ τὸν ὦμον, συνέρχεταί τε καὶ σπᾷ, καὶ ὀδύνην παρέχει. Κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὰ περὶ τὸν νῶτον χωρία διαθερμαίνεται ὑπὸ τοῦ [203] προσπεπηγότος ὑγροῦ πρὸς τῷ πλευ-

Variæ Lectiones.

196 Sic MS. cod. pro vulgatis καὶ δὴ: ita etiam Imp. Samb. & Fevr.

197 Pro κοιλίης vulgato, ex MS. cod. & Imp. Samb. emendavimus κοίλου.

198 MS. cod. ξυνέλκεται, καὶ σπᾶται.

199 καὶ ὅσον τε ἐν αὐτῇ vulgati cod. Sed. MS. Cod. legit καὶ ὅσον ἐν ταύτῃ, & pro χολῆς καὶ φλ. habet χολῆς ἢ φλ.

200 In MS. codice omittitur συνωθεόμενον.

201 Pro vulgato διὰ MS. cod. habet ὑπό.

202 οἱ δὲ ἐκφεύγουσι διάδηλα δὲ ταῦτα MS. Cod.

203 προσπεπηγότος πρὸς τῷ πλεύμονι MS. cod. pro vulgatis προσπ. ὑγροῦ πρὸς τῷ πλευρῷ.

πλευρῷ, φλέγματός τε καὶ χολῆς· παρέχει δὲ ὀδύνην ἐνίοτε καὶ τοῖσι τοῦ πλευροῦ κάτωθεν χωρίοισι· πολλάκις δὲ, ἢν ἐς τὰ κάτω τράπηται, ὀδύνην διαδιδοῖ ἐς τὴν κύστιν διὰ τῶν φλεβίων, καὶ οὐρέει πολλόν τε καὶ χολῶδες· νομίζουσι δὲ ταύτης τῆς νούσου τὸ ῥίγος αἴτιον εἶναι καὶ ἀρχήν. Ἡ δὲ περιπλευμονίη γίνεται, 57 ὁκόταν κεκινημένου[204] καὶ θερμαινομένου τοῦ φλέγματος καὶ τῆς χολῆς, ἑλκύσῃ ὁ πλεύμων ὑπὸ θερμασίης ἐφ' ἑωϋτὸν ἀπὸ τῶν πλησίον χωρίων πρὸς τοῖσιν ὑπάρχουσιν ἐν ἑωϋτῷ· διαθερμαίνει μὲν πᾶν τὸ σῶμα, καὶ ὀδύνην παρέχει· μάλιστα δὲ τῷ τε νώτῳ, καὶ τῇσι πλευρῇσι, καὶ τοῖσιν ὤμοισι, καὶ τῇ ῥάχει, ἅτε ἀπὸ τούτων ἕλκων ἐς ἑωϋτὸν τὴν ἰκμάδα τὴν πλείστην, καὶ ὑπερξηραίνονται ταῦτα καὶ ὑπερθερμαίνονται. Ὁκόταν δὲ εἰρύσῃ ἐς ἑωϋτὸν, καὶ ἕδρην λάβῃ ἤτε χολὴ καὶ τὸ φλέγμα[205] ἐς τὸν πλεύμονα, σήπεται καὶ ἐμπυοῦται. Καὶ, ἢν μὲν ἐν τῇσι κυρίῃσι τῶν ἡμερέων σαπέντα πτυσθῇ, [206] ὑγιὴς γίνεται· ἢν δὲ τάδε ἐπελθόντα τὴν ἀρχὴν δέχηται, καὶ προσεπιγίνηται ἕτερα, καὶ μήτε πτύων, μήτε σήπων κρατέῃ, ὑπὸ πλήθεος τῶν ἐπιγινομένων [207] ἀποθνήσκουσιν ὡς τὰ πολλά. 58 Ἢν δὲ πρὸς τὰς ἡμέρας[208] διαγίνωνται τὰς δύο καὶ εἴκοσι, καὶ τὸ πῦρ μεθῇ, [209] καὶ ἐν ταύτῃσι μὴ ἐκπτυσθῇ, ἔμπυοι γίνονται· γίνονται δὲ μάλιστα ἐκ τούτων, οἷσιν ἰσχυρόταται ἤτε πλευρῖτις καὶ ἡ περιπλευμονίη. Γίνεται δὲ καὶ πλευρῖτις ἄπτυστος καὶ περιπλευμονίη, [210] ἄμφω ὑπὸ τοῦ αὐτοῦ, ὑπὸ ξηρασίης. Ξηραίνει δὲ καὶ τὰ θερμὰ, ὅταν ὑπερθερμαίνῃ, καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψύχῃ· πήγνυται δὲ τὸ πλευρὸν, καὶ τὰ ἐν αὐτῷ τῷ πλευρῷ φλέβια, καὶ συσπᾶται, καὶ ὁκόσον ἐν αὐτῷ ἔνι χολῆς καὶ φλέγματος, τοῦτο ὑπὸ τῆς [211] θερμασίης ἐνέσκληκέ τε καὶ ὀδύνην παρέχει, καὶ ὑπὸ τῆς ὀδύνης πυρετόν. Τούτου ξυμφέρει τὴν φλέβα ἀποσχάσαι τὴν ἐν τῇ χειρὶ, τὴν σπληνῖτιν καλεομένην, ἢ τὴν ἡπατῖτιν, καθ' ὁποτέρην ἂν εἴη τὸ νούσημα· καὶ οὕτως ἡ ὀδύνη μαλακωτέρη γίνεται τοῦ πλευροῦ τε καὶ τῶν ἄλλων. Ἡ γὰρ φλὲψ, ὅσον ἔνι ἐν αὐτῇ χολῆς[212] καὶ φλέγματος, καὶ αὐτοῦ τοῦ αἵματος νενοσηκότος, μετὰ τούτων μεθίει τὸ πουλὺ ἔξω· τὸ δὲ ἐκ τῆς σαρκὸς ὑπό τε φαρμάκων, καὶ ποτῶν διαχέεται, καὶ ὑπὸ χλιασμάτων προστιθεμένων ἔξωθεν, ὥστε τὴν νοῦσον σκίδνασθαι ἀνὰ πᾶν τὸ σῶμα. [213] Καλέεται δὲ αὕτη πλευρῖτις ἄπτυστος. Ἡ δὲ περιπλευμονίη, ὁκόταν ὁ πλεύμων ὑπερξηρανθῇ καὶ αὐτὸς, [214] καὶ ὅσον

percalescunt, & lateris locis inferioribus quandoque dolorem exhibet; sæpe vero si ad inferiores partes convertatur, dolorem per venulas ad vesicam transmittit, multum & biliosum (æger) meiit; hujusque morbi causam & principium rigorem esse existimant. At vero peripneumonia fit, quum commotam & calefactam pituitam & bilem, calore ex vicinis locis pulmo in se traxerit ad ea, quæ jam in ipso sunt: totum quidem corpus percalefacit, doloremque præcipue dorso, costis, humeris, ac spinæ exhibet; quum nimirum ab his plurimam ad se humiditatem attrahat; hæque partes supra modum resiccantur, nimiumque incalescunt. Quum vero ad se traxerit, & bilis, ac pituita sedem in pulmone fixerit, putrescit, & suppuratur. Et, siquidem præcipuis judicatoriis diebus putrefacta per sputum rejecta fuerint, superstes evadit (æger:) si vero susceperit quæ per initia obvenerunt, aliaque præterea accesserint, & neque spuens, neque putrefaciens superarit, præ copia supervenientium plerumque hi moriuntur. Quod si ad duos & viginti dies perveniant, febrisque dimittat, neque in his per sputum repurgati fuerint, purulenti fiunt: fiunt autem ex his maxime, quibus pleuritis & peripneumonia vehementissimæ inciderunt. Fit autem & pleuritis sine sputo, & peripneumonia, ambæ ex eadem causa, ex siccitate. Siccant vero & calida, ubi supra modum calefaciunt, & frigida quoque, quum supra modum refrigerant: induratur autem latus, & convellitur, quæque in eo sunt venulæ, & quantum in eo est pituitæ & bilis, id a calore intus resiccatur, doloremque infert, & a dolore febrem. Huic confert venam pertundere in brachio splenitidem appellatam, aut jecorariam, ad utram sane morbus vergit: sicque lateris & aliarum partium dolor levatur. Vena enim quicquid in ea inest bilis & pituitæ, & ipsius sanguinis morbosi, una cum his magna ex parte foras emittit: pars vero ex carne medicamentis & potionibus diffunditur, & fomentis tepentibus extrinsecus admotis, adeo ut morbus per totum corpus dispergatur. Vocatur autem hæc pleuritis sputi expers. Peripneumonia vero, quum ipse etiam pulmo supra modum exiccatus fuerit, quumque quod

 in

Variæ Lectiones.

204 Vulgo erat ὑγραινομένου, *humectatam*, ex MS. cod. θερμαινομένου legimus; quæ lectio etiam ab Imp. Corn. notatur.

205 Pro ἐς τὸν πλεύμονα MS. cod. ἐν τῷ πλεύμονι, σήπεταί καὶ πτύεται.

206 Sic scripsimus ex MS. cod. pro vulgato περιγίνεται.

207 Omnia exemplaria ἀποθνήσκουσιν, *moriuntur* legunt. Ast ἀπογίνονται MS. cod. habet, ut & Imp. Samb. eadem significatione.

208 MS. cod. διαγένωνται pro vulgato διαγίνωνται habet; Asulana vero exemplaria διατείνωνται.

209 καὶ ταύτῃσι μὴ ἐκπτυσθῇ, πάντες ἔμπυοι γίνονται· μάλιστα δὲ τούτων. MS. cod.

210 ἄμφω ἀπὸ τοῦ αὐτοῦ, ἀπὸ ξηρασίης MS. cod. Deinde ὅταν ὑπερθερμανθῇ, καὶ τὰ ψυχρὰ, ὅταν ὑπερψυχθῇ idem cod.

211 ξηρασίης pro θερμασίης habet MS. cod.

212 ἢ pro καὶ MS. cod. & Imp. Samb. & pro μετὰ τούτων μεθίει, idem μετὰ τούτου μεθίησι legit.

213 καλέεται δὲ αὕτη ἡ νοῦσος πλευρῖτις ἄπτυστος. MS. cod.

214 Sic multo melius MS. cod. pro καὶ ὁκόταν ἐν αὐτῷ ἐνεόντι. Imp. Corn. ὁκόσον.

in eo bilis aut pituitæ ineſt, neque æquabiliter putrefacit, neque per ſalivam rejicit, & quod in eo eſt humiditatis, aut a potu, aut a ſorbitione, aut a vicinis locis, id totum & nimia ſiccitate & caliditate exurit. Huic confert potiones bibere, quibus pulmo humectatur & expuit: niſi enim expuerit, & durior pulmo evadit, ſimulque areſcit, & hominem perimit.

CAPUT XII.

Febris ardentis ſubjectum, ortus, inſultus, cauſæ, ſymptomata, in peripneumoniam tranſitus, pernicies; de phrenitide & melancholia; a ſanguine prudentia, a bile delirium.

AT vero febris ardens promptius biliosos prehendit, corripit etiam pituitoſos; corripit autem hoc modo. Quum bilis per corpus commota fuerit, & contigerit, ut venæ & ſanguis bilem trahant (eamque copioſiſſimam ex carnibus & ventriculo trahant;) qui prius ineſt, quippe quod natura calidiſſimus in corpore ſanguis ſit, quum ex carnibus & ventriculo percaluerit, ſupra eum qui jam ineſt, amplius adhuc a bile, reliquum etiam univerſum corpus percalefacit: & quædam ſane partes ob copioſam humiditatem penitus reſiccari nequeunt: quod ſi reſiccatæ fuerint, homo perimitur: quædam vero in ſummis corporis partibus, nimirum natura ſiccæ, reſiccantur, plurimumque ex ipſis humidum exuritur; ac ipſas ſi attingere velis, frigidas & ſiccas comperies. Quapropter qui febre ardente corripiuntur, internis quidem partibus a febre uruntur, externis vero frigidi ſunt; linguaque & fauces ab interno ſpiritu, & calore exaſperantur, & areſiunt. Quicquid autem bilis in ventriculo & veſica ineſt, quod quidem in ventriculo eſt, interdum quidem per inferiora exturbatur, plerumque vero primis diebus, aut quatuor, aut quinque evomitur; evomitur autem hanc ob cauſam. Quum ſuperior ventriculus ſupra modum incaluerit, ad ſe trahit, & vomitus excitatur: ob idque ipſum ex febre ardente & ex pleuritide, in peripneumoniam potiſſimum morbi

ἐν αὐτῷ ἔνι χολῆς ἢ φλέγματος, οὔτε σήπει ὁμαλῶς, οὔτε τὸ σίαλον ἀναδιδοῖ, ὅσον τε ἐν αὐτῷ ἐστιν ἰκμάδος, ἢ ἀπὸ ποτοῦ, ἢ ἀπὸ ῥοφήματος, ἢ ἀπὸ τῶν πλησίον χωρίων, τοῦτο πᾶν ἐκκαίει, ὑπὸ τῆς ὑπερξηρασίης τε καὶ θερμασίης.
59 Τούτῳ ξυμφέρει πόματα πίνειν, ὑφ᾽ ὧν ὑγραίνεται ὁ πλεύμων, καὶ [215] πτύσκεται· ἢν γὰρ μὴ πτυσθῇ, σκληρότερός τε γίνεται ὁ πλεύμων, καὶ συναυαίνεται, καὶ τὸν ἄνθρωπον ἀπόλλυσι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Τὸ τοῦ καύσου ὑποδεκτικὸν, ἡ γένεσις, ἡ εἰσβολὴ, αἱ αἰτίαι, τὰ συμπτώματα, ἡ ἐς τὴν περιπνευμονίαν μετάστασις, τὸ ὀλέθριον· περὶ τῆς φρενίτιδος καὶ τῆς μελαγχολίας· ἀπὸ τοῦ αἵματος ἡ σύνεσις, ἀπὸ τῆς χολῆς ἡ παράνοια.

ΚΑῦσος δὲ λαμβάνει μὲν μᾶλλον τοὺς χολώδεας· λαμβάνει δὲ καὶ τοὺς φλεγματίας, λαμβάνει δὲ ὧδε. Ὁκόταν χολὴ κινηθῇ [216] ἀνὰ τὸ σῶμα καὶ συγκυρήσῃ, ὥστε τὰς φλέβας καὶ τὸ αἷμα εἰρύσαι τῆς χολῆς (εἰρύσαι δὲ τὸ πλεῖστον ἐκ τῶν σαρκῶν, καὶ τῆς κοιλίης·) [217] τὸ πρόσθεν ἐνεὸν, ἅτε καὶ τῇ φύσει θερμότατον ἐὸν ἐν τῷ σώματι τὸ αἷμα, [218] ὁκόταν γοῦν διαθερμανθῇ ἐκ τῶν σαρκῶν καὶ τῆς κοιλίης πρὸς τῷ ἐνεόντι, μᾶλλον ἔτι ὑπὸ τῆς χολῆς, διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν· καὶ τὰ μὲν ὑπὸ τῆς πολλῆς ἰκμάδος οὐ δύναται ἀποξηραίνεσθαι παντάπασιν· ἢν δὲ ἀποξηρανθῇ, [219] ἀποθνήσκει ὁ ἄνθρωπος· τὰ δὲ ἐν τοῖσιν ἀκρωτηρίοισι τοῦ σώματος, ἅτε ξηρὰ ἐόντα φύσει, ἀποξηραίνεταί τε, καὶ ἐκκαίεται ἐξ αὐτῶν τὸ ὑγρὸν τὸ πλεῖστον, καὶ εἰ θέλοις ψαύειν, ψυχρά τε εὑρήσεις αὐτὰ καὶ ξηρά. [220] Διὰ τοῦτο, ὁκόσοι ὑπὸ καύσου ἁλίσκονται, τὰ μὲν εἴσω καίονται ὑπὸ τοῦ πυρὸς, τὰ δὲ ἔξω, ψυχροί εἰσιν· [221] ἥ τε γλῶσσα, καὶ ὁ φάρυγξ τρηχύνεταί τε [222] καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος καὶ τῆς θερμότητος. Ὅσον δ᾽ ἂν ἐν τῇ κοιλίῃ 139
[223] ἢ ἐν τῇ κύστει ἐγγένηται χολῆς, τὸ μὲν ἐν τῇ κοιλίῃ, ἐνίοτε μὲν διαταράσσεται κάτω· τὰ δὲ πολλὰ ἐμέεται ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν, ἢ ἐν τέσσαρσιν, [224] ἢ ἐν πέντε. ἐμέεται δὲ διὰ τόδε. Ὁκόταν ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ᾽ ἑωυτὴν, καὶ γίνεται ἔμετος· διὰ τοῦτο δ᾽ αὐτὸ καὶ ἐς περιπλευμονίην ἐκ καύσου τε καὶ ἐκ πλευρίτιδος μάλιστα μεθίσταται· τὰ νου-

VARIÆ LECTIONES.

215 Pro πτύσκεται. MS. cod. habet πτύσηται, quam lectionem etiam præſeferunt Aſul. exempl. Ibidem pro σκληρότερός τε MS. Cod. legit σκληρὸς δέ.

216 In MS. codice pro ἀνὰ habetur κατά.

217 Sic MS. cod. pro τὸ δὲ πρόσθεν, omiſſo δέ.

218 MS. cod. ὁκόταν διαθερμανθῇ ἔκ τε τῶν σαρκῶν, καὶ τῆς κοιλίης πρὸς τῷ ἐνεόντι ὑπὸ τῆς χολῆς, διαθερμαίνει, καὶ τὸ ἄλλο σῶμα πᾶν. καὶ τὰ μὲν ἔνδον ὑπὸ πολλῆς, quæ lectio non eſt contemnanda.

219 Pro ὁ ἄνθρωπος MS. cod. ἄνθρωπος.

220 καὶ ante διὰ τοῦτο addit MS. cod. Poſtea pro εἴσω in MS. cod. eſt ἔνδον.

221 ἡ δὲ γλῶσσα, καὶ ὁ φάρυγξ MS. cod. pro vulgatis ἥ τε γλῶσσα, καὶ ὁ φάρυγξ.

222 MS. cod. pro vulgatis καὶ αὐαίνεται ὑπὸ τοῦ εἴσω πνεύματος, habet καὶ ξηραίνεται ὑπὸ τοῦ πνεύματος τοῦ ἔνδον.

223 ἢ pro καὶ ex MS. cod. adſcripſimus. Pro ſequenti ἐγγένηται Aſulana exemplaria ibidem legunt ἐγγίνεται.

224 In MS. cod. propoſitio ἐν deeſt.

νουσήματα. Ὁκόταν γὰρ ἡ ἄνω κοιλίη ὑπερθερμανθῇ, ἕλκει ἐφ' ἑωϋτὴν, καὶ ὑποδέχεται ὁ πλεύμων, καὶ γίνεται περιπλευμονίη, καὶ ὡς τὰ πολλὰ ἀπόλλυνται, ατε ἀσθενέες ἤδη ἐόντες, καὶ ἑτέρης νούσου καινῆς ἐπιγενηθείσης, οὐ δυνάμενοι τὰς ἡμέρας διατελέειν, ἄχρις οὗ τὸ σίαλον πεπανθῇ ἐν τῷ πλεύμονι· ἀλλ' ὡς τὰ πολλὰ [225] προαπόλλυνται ὑπὸ ἀσθενείης· ἔνιοι δὲ περιγίνονται. Ὁκόσοισι δὲ ἐς τὴν κύστιν [226] συῤῥεῖ τι χολῆς, οὐρέεται παχύ· (παχὺ δὲ ὑπὸ φλέγματος) [227] χολῶδες δὲ διαχωρέει, ὑπὸ τοῦ συγκεκαῦσθαι ἐν τῇ κοιλίῃ τὰ ἐνεόντα. [228] Φρενῖτις δὲ ὧδε ἔχει. Τὸ αἷμα τὸ ἐν τῷ ἀνθρώπῳ πλεῖστον ξυμβάλλεται μέρος συνέσιος· ἔνιοι δὲ λέγουσι, τὸ πᾶν. Ὁκόταν οὖν χολὴ κινηθεῖσα ἐς τὰς φλέβας καὶ ἐς τὸ αἷμα εἰσέλθῃ, διεκίνησε καὶ διούρησε τὸ αἷμα ἐκ τῆς εἰωθυίης συστάσιός τε καὶ κινήσιος, καὶ διεθέρμηνε· [229] διαθερμανθὲν δὲ διαθερμαίνει καὶ τὸ ἄλλο σῶμα πᾶν, καὶ παρανοεῖται ὁ ἄνθρωπος, καὶ οὐκ ἐν ἑωϋτῷ ἐστιν,
ὑπό τε τοῦ πλήθεος τοῦ πυρετοῦ, καὶ τοῦ 60
αἵματος τῆς [230] διουρήσιός τε καὶ κινήσιος γινομένης οὐ τῆς εἰωθυίης. Προσεοίκασι δὲ μάλιστα οἱ ὑπὸ τῆς φρενίτιδος ἐχόμενοι τοῖσι [231] μελαγχολῶσι κατὰ τὴν παράνοιαν. Οἵτε γὰρ μελαγχολώδεες, ὁκόταν φθαρῇ τὸ αἷμα ὑπὸ χολῆς καὶ φλέγματος, τὴν νοῦσον ἴσχουσι καὶ [232] παράνοοι γίνονται, ἔνιοι δὲ καὶ μαίνονται· καὶ ἐν τῇ φρενίτιδι ὡσαύτως. [233] Οὕτω δὲ ἧσσον ἡ μανίη τε καὶ ἡ παραφρόνησις γίνεται, ὅσωπερ ἡ χολὴ τοῦ φλέγματος ἀσθενεστέρη ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πόθεν ὕφαιμον καὶ πελιδνὸν ἐν τῇ πλευρίτιδι καὶ περιπλευμονίῃ τὸ πτύαλον· καὶ τίνες καὶ πόθεν ὑπὸ τούτων τῶν νοσημάτων, ὥσπερ καὶ ὑπὸ τοῦ καύσου, καὶ τῆς φρενίτιδος ἀποθνήσκουσι.

& bilem sursum purget; si quidem frigus fuerit, ubi prius foveris & calida laveris. Deinde trium dierum intermissione facta, caput purgato; posteaque medicamentum deorsum purgans bibendum dato: quod si anni tempus ferat, serum deinceps propinato; sin minus, lac asininum. Post purgationes autem cibis quam paucissimis, maximeque alvum subducentibus utatur, neque lavet. Quod si caput ulceretur, smegmate ex vini fæce usta parato, glandis putamen læviter tritum admisceto, nitri pari portione admixta, quibus defrictus, multa calida lavetur. Caput autem inungatur, baccis lauri tritis, gallis, myrrha, thure, argenti flore, adipe suillo, & oleo laurino; quibus commixtis illinito. Post hæc autem vomitionibus ter in mense utatur, exerceat se, & calida lavetur. Quod si cum hæc feceris, morbus quidem ex reliquo corpore discesserit: in capite autem adhuc ipsi ulcera oriantur, rursus capite purgato, medicamentum deorsum purgans postea propinato. Deinde caput derasum levibus incisuris incidito: quumque sanguis effluxerit, confricato; mox lanis succidis vino madentibus obvolvito; quumque solveris, spongia detergito, nec madefacito; deinde insperso cyparissi pulvere, oleo sublinito; laneis autem vinculis, quoad sanus evadat, utatur. Alius morbus. Caput dolor vehemens corripit, & ubi quis vel paululum agitatur, bilem vomit; interdum vero difficulter mingit, & mente alienatur; quumque ad septimum diem pervenerit, quandoque moritur: quod si septimum transmiserit, etiam nono aut undecimo die, nisi ei per nares, vel aures effluxerit: si vero eruperit, evadit: fluit autem aqua aliquantulum biliosa; deinde successu temporis putrefacta, pus gignitur. Quum igitur ita habuerit, quamdiu quidem dolor vehemens tenuerit, per initia, antequam ex naribus & auribus erumpat, spongias aqua calida madefactas capiti propius admoveto. Si vero his minime remittat, utre eo modo quo in priore morbo, utitor. Aquam autem mulsam aquosam bibat; sin minus, post mulsam, bibat aquam, in qua farina crassior macerata fuerit: ptisanæ vero succum sorbeat, & vinum al-

Variæ Lectiones.

88 προπυριάσας· λούσας θερμῷ legitur in MS. cod.
89 Pro vulgato ἀργυρέου, ex MS. cod. scripsimus ἀργυροῦ, atque ita significat *argentum*; quod si ἀργυρέου retinueris tunc *nummum argenteum* sive *pecuniam* indicabit.
90 τὸν δὲ μετὰ ταῦτα χρόνον omnia exemplar. publicata habent, in MS. cod. autem τὸν δ' ἔπειτα χρόνον.
91 καὶ γυμναζέτω, καὶ θερμολουτέτω, καὶ τὴν ὥρην ὀρρωπατείτω MS. cod. addit *seri potionem tempestivam*.
92 ἐν δὲ τῇ κεφαλῇ ἕλκεα MS. cod. omisso ἔτι.
93 ἄλλη νοῦσος, MS. cod. ἑτέρη νοῦσος.
94 καὶ ἐπὴν κινήσηται ἧσσον Imp. Corn.
95 ἐνίοτε καὶ ἀποθνήσκει· ἢν δὲ ταύτην ἐκφύγῃ ἐνναταῖος scribit MS. cod.
96 Post κατὰ τὰ ὦτα Servin. addit καὶ οὕτω θνήσκει, & *sic moritur*.
97 ἔπειτα τῷ χρόνῳ πῦον γίνεται· ἐπὴν σαπῇ· ὅταν οὕτως scribit MS. cod.
98 ἢν δὲ μὴ τούτοισι χαλᾷ τῷ ἀσκῷ χρῆσθαι τὸν αὐτὸν τρόπον, ὅνπερ. MS. cod.
99 μελίκρητα ὑδαρέα ὀλίγον MS. cod.
100 ἢν δὲ μὴ δ' ἀπὸ τοῦ μελικρήτου, ἀπὸ τῶν κριμνῶν ὕδωρ πινέτω MS. cod. κρίμνον est potio, quæ paratur ex farina crassiori, cui tenuissimus pollen detractus est, in aqua diu macerata; & inde collata, & hæc non solum refrigerat; verum etiam alvum mollit.

album aquoſum ſuperbibat. Ubi autem per aures eruperit, febriſque, & dolor remiſerit, cibis utatur alvum ſubducentibus, a paucis initio ducto, ſemper aliquid addendo: calida caput lavet, & aures aqua limpida proluat, ſpongiamque melle intinctam immittat. Si vero neque ſic reſiccetur, verum diuturna fluxio fiat, collutione facta, argenti florem, ſandaracham, ceruſſam, ſingula pari portione tenuiter trita immittito, his aures impleto, ac obturato, & ſi quid præterlabatur, aliquid de medicamento ſuperinjicito: quum vero auris reſiccata fuerit, ubi expurgaveris, medicamentum abluito; deinde (nam primum reſiccata obſurdeſcit) lenibus fomentis ipſi aures foveto: ſic enim vix, ac longo tempore ſedabitur. Moriuntur autem, ſi etiam vehemens dolor aurem occupet, neque intra ſeptem dies eruperit. Hunc calida multa lavato, & ſpongias aqua calida maceratas, tepidas & expreſſas ad aurem apponito: ſi vero neque ſic erumpat, ei fomentum ad aurem admoveto: ſorbitionibus autem & potionibus iiſdem, quibus in ſuperioribus, utitor.

30 λευκὸν οἶνον ὑδαρέα. Ἐπὴν δὲ [101] ῥαγῇ κατὰ τὰ ὦτα, καὶ ὁ πυρετὸς ἀνῇ, καὶ ἡ ὀδύνη, σιτίοισι χρήσθω διαχωρητικοῖσιν, ἀρξάμενος ἐξ ὀλίγων, [102] προστιθεὶς αἰεί· καὶ λούσθω θερμῷ κατὰ τῆς κεφαλῆς, καὶ τὰ ὦτα διακλύζειν ὕδατι καθαρῷ, καὶ ἐντιθέτω σπογγίαν μέλιτι ἐμβάπτων. Ἢν δέ τοι μὴ ξηραίνηται οὕτως, ἀλλὰ χρόνιον γένηται τὸ ῥεῦμα, διακλύσας, ἐμβάλλειν ἀργύρου ἄνθος, σανδαράχην, ψιμμύθιον, ἴσον ἑκάστου, [103] διατρίβων, ἐμπιπλεὶς τὸ οὖς σάσσειν, καὶ, ἢν παραῤῥέῃ, ἐπεμβάλλειν τοῦ φαρμάκου· ἐπὴν δὲ ξηρὸν γένηται τὸ οὖς ἐκκαθήρας, ἐκλύσαι τὸ φάρμακον· ἔπειτα (κωφὸν γὰρ γίνεται τὸ πρῶτον ἀποξηρανθὲν) πυριῆν [104] αὐτῷ βληχρῇσι πυρίῃσι τὰ ὦτα· [105] καταστήσεται γὰρ οὕτω μόλις καὶ ἐν χρόνῳ. Ἀποθνήσκουσι δὲ καὶ, ἢν ἐς τὸ οὖς περιωδυνίη γενομένη μὴ ῥαγῇ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν. [106] Τοῦτον λούειν πολλῷ θερμῷ, καὶ σπόγγους ἐν ὕδατι θερμῷ βρέ-
31 χων, καὶ [107] ἐκμάσσων, χλιαροὺς προστιθέναι πρὸς τὸ οὖς· [108] ἢν δὲ μηδὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτῷ τὸ οὖς· ῥοφήμασι δὲ καὶ πόμασι τοῖσιν αὐτοῖσι χρῆσθαι, οἷσί περ ἐπὶ τοῖσι πρόσθεν.

CAPUT VI.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

De aqua in cerebro collecta, ſeu hydrocephalo; de rigore, dolore, & febre per caput; de venarum circa cerebrum, ac venarum in caput ſupervomitu; ac de eorum affectuum cauſis, ſignis, & curatione.

Περὶ τοῦ ὕδατος ἐπὶ τῷ ἐγκεφάλῳ συναθροισθέντος, ἢ τοῦ ὑδροκεφάλου· περὶ ῥίγους, καὶ ὀδύνης, καὶ πυρετοῦ διὰ τῆς κεφαλῆς· περὶ ὑπερεμέτου τῶν περὶ τὸν ἐγκέφαλον, καὶ τῶν ἐς τὴν κεφαλὴν φλεβίων· καὶ περὶ τῶν τούτων τῶν παθημάτων αἰτίων τε καὶ σημείων, καὶ θεραπείας.

Alius morbus. Si aqua in cerebro fuerit, dolor acutus ſinciput, & tempora, interdumque alia capitis parte detinet; ſubindeque rigor ac febris; oculorum regiones dolor occupat, iique caligant, pupilla ſcinditur, & ex uno duo ſibi cernere videtur; & ſi ſurrexerit, ipſum tenebricoſa vertigo prehendit, neque ventum, neque ſolem ſuſtinet; aures tinniunt, (auditoque) ſtrepitu offenditur; ſalivam & pituitam vomit, quandoque vero etiam cibos; capitis cutis extenuatur, & contactu gaudet. Quum ſic habuerit, primum quidem

32 [109] Ἑτέρη νοῦσος. Ἢν ὕδωρ ἐπὶ τῷ ἐγκεφάλῳ γένηται, ὀδύνη ὀξείη ἴσχει διὰ τοῦ βρέγματος καὶ τῶν κροτάφων ἄλλοτε ἄλλῃ· καὶ ῥῖγος καὶ πυρετὸς ἄλλοτε καὶ ἄλλοτε· καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει καὶ ἀμβλυώσσει, καὶ ἡ κόρη σχίζεται, καὶ δοκέει ἐκ τοῦ ἑνὸς δύο ὁρᾷν· καὶ, ἢν ἀναστῇ, σκοτοδινίη μιν λαμβάνει, καὶ τὸν ἄνεμον οὐκ ἀνέχεται, οὐδὲ τὸν ἥλιον· καὶ τὰ ὦτα τέτριγε, [110] καὶ τῷ ψόφῳ ἄχθεται (ἀκούων·) καὶ ἐμέει σίελα καὶ λάπην, ἐνίοτε δὲ καὶ τὰ σιτία· καὶ τὸ δέρμα λεπτύνεται τῆς κεφαλῆς, καὶ ἥδεται ψαυόμενος. Ὅταν οὕτως ἔχῃ, [111] πρῶτον μὲν δοῦ-

VARIÆ LECTIONES.

101 Poſt ῥαγῇ Calvus κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὰ ὦτα per nares & aures eruperit, legiſſe videtur parum apte, id quod ex ſequentibus patet. Poſtea καὶ ὁ πυρετὸς ſcripſimus ex MS. cod. inſerto articulo ὁ.

102 προστιθεὶς ἀεὶ prius legebatur; ſed pro ἀεὶ ex MS. cod. ſcribimus αἰεὶ, quod Ionicum eſt.

103 Pro λεῖα τρίβων, MS. cod. habet διατρίβων, quam lectionem adhibuimus.

104 αὐτῷ pro αὐτὸν MS. cod. & Servin. quam lectionem ſequimur; hæc enim emendatio requiri videbatur.

105 MS. cod. καταστήσεται γάρ οἱ τῷ χρόνῳ, omiſſis οὕτω μόλις καὶ ἐν.

106 ἢ τοῦτον λούειν vulgati cod. verum ἢ ſuperabundare videtur, & delevimus ex MS. cod. in quo non adſcribitur.

107 Hunc locum expreſſit Foeſius in Oeconom. in dictione ἐκμάσσειν.

108 ἢν δὲ μηδὲ οὕτω ῥήγνυται, πυριᾶν αὐτῷ τὸ οὖς MS. cod. ſcribit.

109 ἄλλη νοῦσος pro ἑτέρη νοῦσος Mercurial. ex vet. cod. pro epigraphe habet. Sed in MS. cod. non legitur.

110 καὶ τῷ ψόφῳ ἄχθεται MS. cod. omiſſo ἀκούων.

111 πρῶτον μὲν οἱ πιεῖν φάρμακον δοῦναι MS. cod.

δοῦναί οἱ πιέειν φάρμακον, ὅ, τι ἄνω φλέγμα ἄξει, καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· ἔπειτα διαλιπὼν, φάρμακον πίσαι κάτω· ἔπειτα σιτίοισιν ἀνακομίζειν αὐτὸν, ὡς ὑποχωρητικωτάτοισιν, ὀλίγα αἰεὶ προστιθείς. Ἐπὴν δὲ κατεσθίῃ ἤδη τὰ σιτία ἀρκοῦντα, ἐμέτοισι χρήσθω νῆστις, τῷ φακείῳ ξυμμίσγων μέλι καὶ ὄξος, λάχανα προτρώγων· καὶ τῇ ἡμέρῃ [112] ταύτῃ ἣ ἂν ἐμέσῃ, πρῶτον μὲν κυκεῶνα πινέτω λεπτόν· ἔπειτα 33 ἐς ἑσπέρην σιτίοισιν ὀλίγοισι χρήσθω, [113] καὶ ἀλουτεέτω, καὶ περιπατείτω ἀπὸ τῶν σιτίων, καὶ ὄρθρου, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον, καὶ πρὸς πῦρ μὴ προσιέτω. [114] Καὶ, ἢν μὲν τοιαῦτα [115] ποιήσηται ὑγιὴς γένηται· εἰ δὲ μὴ, προκαθήρας αὐτὸν τοῦ ἦρος, πρῶτον μὲν ἐλλεβόρῳ· [116] ἔπειτα καὶ ἐς τὰς ῥῖνας ἐγχέαι φάρμακον, καὶ διαλιπὼν ὀλίγον χρόνον, κάτω καθῆραι· ἔπειτα ἀνακομίσας σιτίοισιν, εἶτα [117] καταταμὼν τὴν κεφαλὴν κατὰ τὸ βρέγμα, τρυπῆσαι πρὸς τὸν ἐγκέφαλον, καὶ ἰῆσθαι ὡς πρίσμα. Ἄλλη 34 νοῦσος. Ῥῖγος, [118] καὶ ὀδύνη, καὶ πυρετὸν διὰ τῆς κεφαλῆς· μάλιστα δὲ ἐς τὸ οὖς, καὶ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ τὰς χώρας τῶν ὀφθαλμῶν ἀλγέει· καὶ αἱ ὀφρύες δοκέουσίν οἱ ἐπικέεσθαι, καὶ τὴν κεφαλὴν βάρος ἔχει· καὶ, ἤν τίς μιν κινήσῃ, οὐρήσει, [119] καὶ οὐρέει πουλὺ καὶ ῥηϊδίως· καὶ τοὺς ὀδόντας ναρκᾷ, καὶ αἱμωδίῃ ἔχει· καὶ αἱ φλέβες αἴρονται, [120] καὶ σφύζουσιν αἱ ἐν τῇ κεφαλῇ· καὶ οὐκ ἀνέχεται ἠρεμέων, ἀλλ' ἀλύει καὶ ἀλλοφρονέει ὑπὸ τῆς ὀδύνης. Τούτῳ, ἢν μὲν κατὰ τὰς ῥῖνας, ἢ
144 κατὰ τὰ ὦτα ῥαγῇ, ὕδρωψ ῥεῖ ὑπόπυος, καὶ ὑγιὴς γίνεται· [121] εἰ δὲ μὴ, ἀποθνήσκει ἐν ἑπτὰ ἡμέρῃσιν, ὡς τὰ πολλά. Αὕτη ἡ νοῦσος γίνεται μάλιστα ἐκ [122] λιπυρίης, ἐπὴν 35 ἀπαλλαγεὶς τοῦ πυρὸς, ἀκάθαρτος ἐὼν, [123] ἢ σιτίων ἐμπλησθήσεται, ἢ θωρήξεται, ἢ ἐν ἡλίῳ κάμῃ. Ὅταν οὕτως ἔχῃ, [124] πρῶτον μὲν ἀφεῖναι ἀπὸ τῆς κεφαλῆς τοῦ αἵματος, ὁπόθεν ἄν σοι δοκέῃ· ἐπὴν δὲ ἀφῇς, τὴν κεφαλὴν ξυρήσας, ψύγματά οἱ προσφέρειν· καὶ, ἢν μὴ ὑποχωρέῃ ἡ γαστὴρ, ὑποκλύσαι· πίνειν δὲ διδόναι [125] τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν, καὶ ἐπιπίνειν ὕδωρ. Ἢν δέ οἱ πρὸς τὰ ψύγματα μὴ χαλᾷ, μεταβαλὼν, τῷ ἀσκῷ χρῆσθαι καὶ θερμαίνειν· ἐπὴν δὲ παύσηται ἡ ὀδύνη, σιτίοισι χρήσθω [126] διαχωρητικοῖσι, καὶ μὴ ἐμπιπλάσθω. Ἐπὴν δε γένηται

medicamentum purgans, quod sursum pituitam educat, exhibeto, post hæc caput purgato; deinde intermissione facta, medicamentum deorsum purgans propinato; mox eum cibis quam maxime alvum subducentibus reficito, sensim semper adjiciendo. Ubi vero jam satis ciborum comederit, jejunus vomitionibus utatur, lenticulæ decocto, melle & aceto admixto, olera prius comedens; eoque die quo vomuerit, primum quidem cyceonem liquidum bibat; deinde sub vesperum paucis cibis utatur, neque lavet; & a cibis deambulet, & mane, ventum & solem devitans, neque ad ignem accedat. Quod si cum hæc fecerit, sanus evadet, (sat est;) sin minus, ubi eum vere primum quidem veratro ante purgaveris: deinde etiam in nares medicamentum infundito, & pauco tempore intermisso, deorsum purgato; deinde postquam cibis eum refeceris, demum inciso juxta sinciput capite, ad cerebrum usque perforato, & velut sectionem per terebram curato. Alius morbus. Rigor, & dolor & febris caput vexat, maxime vero ad aurem, & tempora, ac sinciput, & oculorum regiones dolet; supercilia incumbere ei videntur; & caput gravitas detinet, ac siquis eum moverit, mejet; ac copiose & facile mejit; ac dentes torpor, & stupor detinet; capitis venæ attolluntur & pulsant; quietem ferre nequit, sed anxius est, & præ dolore mente alienatur. Huic, si quidem per nares aut aures eruperit, aqua effluit aliquantum purulenta, & convalescit; alioquin in septem diebus fere moritur. Hic morbus præcipue ex febre lipyria fit, quum febre liberatus, neque purgatus, aut cibis se impleverit, aut inebriatus fuerit, aut in sole laboraverit. Quum sic habuerit, primum quidem sanguinem e capite undecunque tibi visum fuerit, mittito; eoque detracto, raso capite, ei refrigerantia admoveto; & si venter non subducatur, subluito: potui autem ptisanæ succus frigidus exhibendus, & aqua superbibenda. Quod si ad refrigerantia ei non remittat (morbus,) mutatione facta, utre utitor, & calefacito: ubi vero dolor sedatus fuerit, cibis alvum subducentibus utatur, neque impleatur. Quum autem sedato

 do-

Variæ Lectiones.

112 ταύτῃ ἣ ἂν ἐμέσῃ MS. cod. inserto ἣ, quod nobis probatur.
113 καὶ ἀλουτεέτω ἀπὸ τῶν σιτίων, omissis καὶ περιπατείτω, & deambulet MS. cod.
114 καὶ ἢν μέν τοι ταῦτα MS. cod.
115 ποιήσηται omnes cod. pro quo Serv. & MS. habent ποιήσεται.
116 ἔπειτα ἐς τὰς ῥῖνας MS. cod. omisso καί.
117 Pro καταταμὼν in MS. cod. scribitur ταμών.
118 Sic scripsimus ex MS. cod. inserto καί. Postea μάλιστα δὲ καὶ ἐς τὸ οὖς Servin. habet.
119 εἰ καὶ οὐρήσει πουλὺ καὶ ῥηϊδίως· καὶ τοὺς ὀδόντας αἱμωδίῃ καὶ ναρκᾷ ἔχει, MS. cod.
120 Sic MS. cod. pro vulgatis καὶ σφύζουσιν τῇ κεφαλῇ.
121 Sic MS. cod. pro ἢν δὲ μή.
122 λειπυρίης quidam legunt, verum λιπυρίης magis Ionicum est. Calvus λύπης legisse videtur, ut alias sæpe, cum hujus dictionis mentio incidit. Postea pro ἀπαλλαγεὶς in MS. cod. scribitur ἀπαλλαγῇ.
123 MS. cod. ἐμπίπλαται, ἢ θωρήσσεται.
124 πρῶτον μὲν ἀφιέναι MS. cod.
125 MS. cod. τὸ ἀπὸ τῶν κρημνῶν ὕδωρ· ῥυμφάνειν δὲ διδόναι τὸν ἀπὸ τῆς πτισάνης χυλὸν ψυχρὸν MS. cod. omissis καὶ ἐπιπίνειν ὕδωρ.
126 Pro διαχωρητικοῖσι Serv. ex MSS. scribit διαφορητικοῖσι.

dolore ad vigesimum diem pervenerit, fomento ipsius capiti adhibito, medicamentum ad nares admoveto, & intermissione trium dierum facta, medicamentum deorsum purgans propinato. Alius morbus. Si venulæ sanguifluæ circa cerebrum superevomuerint, & cerebrum calefecerint; febris vehemens ac dolor ad tempora, & sinciput, & posteriorem capitis partem detinet; & aures tinniunt, ac flatibus implentur, nihil audit, anxius est, & præ dolore se ipse jactat. Hic quinto, aut sexto die moritur. Quum sic habuerit, caput ipsius calefacito; etenim si per aures, aut nares aqua proruperit, mortem effugit. Si vero sex dies evaserit, eundem victum, quemadmodum priore morbo, instituito. Alius morbus. Si venæ in caput superevomuerint, dolor gravis totum caput detinet, & ad cervicem (pertingit,) interdumque ad alias capitis partes transmittit; deinde ubi surrexerit, eum tenebricosa vertigo occupat; febris autem non prehendit. Quum igitur sic habuerit, deraso capite, nisi tepefactoriis cesserit, a capite frontem qua capillus desinit, scindito; quum autem secueris, diducta cute, ubi sanguis defluxerit, tenuissimo sale conspergito; postquam vero sanguis effluxerit, ubi sectionem composueris, duplici filo totam sectionem involve; deinde splenium cera ac pice illitum, ulceri inferiore parte imponito, lana succida apposita deligato, & ad dies septem ne soluito, nisi dolor detineat; qui si detineat, soluito. Aquam autem, in qua farina hordei crassior macerata fuerit, quoad convaluerit, ei bibendam exhibeto; ptisanæ vero succum sorbendum, aquam etiam superbibendam dato.

CAPUT VII.

Cerebri bile vexati, cerebri siderati, repentini capitis doloris, ac vocis interceptionis ex temulentia, ortus, causæ, symptomata, signa, prognostica, remedia.

Alius morbus. Si cerebrum bilis vexet, febris lenis & rigor detinet, dolorque toto capite, maxime vero ad tempora, ad sinciput, & ad oculorum

εἰκοςαῖος, πεπαυμένης τῆς ὀδύνης, πυριήσας αὐτοῦ τὴν κεφαλὴν, πρὸς τὰς ῥῖνας φάρμακον προςίθει, καὶ διαλιπὼν ἡμέρας τρεῖς, φάρμακον πῖσαι κάτω. Ἑτέρη νοῦσος. Ἢν ὑπερεμήσαντα τὰ φλέβια [127] τὰ ἔναιμα τὰ περὶ τὸν ἐγκέφαλον, θερμήνῃ τὸν ἐγκέφαλον, πυρετὸς ἴσχει ἰσχυρὸς, καὶ ὀδύνη ἐς τοὺς κροτάφους, καὶ τὸ βρέγμα, καὶ ἐς τοὔπισθεν τῆς κεφαλῆς· καὶ τὰ ὦτα ἠχέει, καὶ πνεύματος ἐμπίπλαται, καὶ ἀκούει οὐδὲν, καὶ ἀλύει, καὶ ῥιπτάζει αὐτὸς ἑωϋτὸν ὑπὸ τῆς ὀδύνης. Οὗτος ἀποθνήσκει πεμπταῖος, ἢ ἑκταῖος. Ὅταν οὕτως ἔχῃ, θερμαίνειν αὐτοῦ τὴν κεφαλήν· ἢν γὰρ ῥαγῇ διὰ τῶν ὤτων [128] ἢ τῶν ῥινῶν ὕδωρ, οὕτως ἐκφυγγάνει τὸν ὄλεθρον. Ἢν δ' ἐκφύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾷν αὐτὸν, ὥσπερ τὴν προτέρην. [129] Ἑτέρη νοῦσος. Ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐς
36 τὴν κεφαλὴν, ὀδύνη ἔχει [130] βαρείη τὴν κεφαλὴν πᾶσαν, καὶ ἐς τὸν τράχηλον, [131] καὶ μεταβάλλει ἄλλοτε ἄλλῃ τῆς κεφαλῆς· καὶ, ἐπειδὰν ἀναςῇ, σκοτοδινίη μὶν ἴσχει· πυρετὸς δὲ οὐ λαμβάνει. [132] Ὅταν οὖν οὕτως ἔχῃ, ξυρήσας τὴν κεφαλὴν, ἢν μὴ τοῖσι χλιάσμασιν ὑπακούει,
37 σχίσαι ἀπὸ τῆς κεφαλῆς τὸ μέτωπον, ᾗ ἀπολήγει τὸ δασύ· ἐπὴν δὲ τάμῃς, διαςείλας τὸ δέρμα, ὅταν ἀποῤῥυῇ τὸ αἷμα, ἁλσὶ λεπτοῖσι διαπάσαι· ἐπὴν δέ σοι τὸ αἷμα ἀποῤῥυῇ, συνθεὶς τὴν τομὴν, [133] κρόκῃ διπλῇ κατειλίξαι πᾶσαν τὴν τομήν· ἔπειτα περιχρίσας τῇ κηροπίσσῳ σπληνίσκον, ἐπιθεὶς κάτω ἐπὶ τῷ ἕλκει, [134] εἴριον πινόεν ἐπιτιθεὶς, καταδῆσαι, καὶ μὴ λῦσαι ἄχρις ἑπτὰ ἡμερέων, ἢν μὴ ὀδύνη ἔχῃ· ἢν δὲ ἔχῃ, ἀπολύσασθαι. Διδόναι δὲ, ἐς ἂν ὑγιὴς γένηται, πίνειν μὲν τὸ ἀπὸ τοῦ κρίμνου· ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ ἐπιπίνειν ὕδωρ.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Αἱ χολῶντος ἐγκεφάλου, ἐγκεφάλου σφακελισθέντος, ἐξαπιναίας τῆς κεφαλῆς ὀδύνης, καὶ τῆς ἐκ θωρήξεως ἀφωνίας, γένεσις, αἰτίαι, συμπτώματα, σημεῖα, προγνωστικὰ, θεραπευτικά.

[135] Ἑτέρη νοῦσος. Ἢν δὲ χολᾷ ὁ ἐγκέφαλος, πυρετὸς ἴσχει βληχρὸς καὶ ῥῖγος, καὶ ὀδύνη διὰ τῆς κεφαλῆς πάσης, [136] μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ ἐς τὸ βρέγμα, καὶ ἐς τὰς χώ-

VARIÆ LECTIONES.

127 τὰ αἵματα omnia legunt exemplaria; pro quo τὰ ἔναιμα scripsimus ex MS. cod. Imp. Samb. & Fevr.
128 In MS. cod. ἢ διὰ τῶν ῥινῶν ὕδωρ, οὕτως ἐκφυγγάνει· ἢν δ' ἐκφύγῃ τὰς ἡμέρας τὰς ἕξ, διαιτᾷν, ὥσπερ τὴν προτέρην. Imp. Samb. & Fevr habent quoque ἐκφύγῃ, pro φύγῃ vulgato.
129 Hæc epigraphe ἑτέρη νοῦσος omittitur in MS. cod. & sequentia sic proferuntur, ἢν ὑπερεμήσωσιν αἱ φλέβες ἐν τῇ κεφαλῇ.
130 βαρείη gravis scilicet dolor legit Cornar. pro βραχείη.
131 Sic MS. cod. καὶ μεταβάλλει ἄλλοτε ἄλλῃ, quod probamus, pro vulgatis καὶ μεταβάλλει ἄλλοτε ἄλλα.
132 ὅταν οὕτως ἔχῃ, ξυρήσας αὐτοῦ τὴν κεφαλὴν MS. cod.
133 κρόκῃ διπλῇ κατέλιξε πᾶσαν τὴν τομὴν MS. cod. scribit, ubi τὴν τομὴν ponitur pro αὐτὴν vulgato.
134 MS. cod. εἴριον πινόεν ἐπιθεὶς, καὶ ἀναδῆσαι, καὶ μὴ ἐπιλῦσαι ἐπ' ἑπτὰ ἡμερέων.
135 ἑτέρη νοῦσος deest hæc epigraphe in MS. cod.
136 MS. cod. scribit μάλιστα δὲ τοὺς κροτάφους omisso ἐς.

χώρας τῶν ὀφθαλμῶν· καὶ αἱ ὀφρύες ἐπικρέμασθαι δοκέουσι, [137] καὶ ἐς τὰ ὦτα ὀδύνη ἐσφοιτᾷ, ἐνίοτε καὶ κατὰ τὰς ῥῖνας χολὴ ῥεῖ, καὶ ἀμβλυώσσουσι τοῖσιν ὀφθαλμοῖσι· καὶ τοῖσι μὲν πλείστοισιν ἐς τὸ ἥμισυ τῆς κεφαλῆς ἡ ὀδύνη ἐσφοιτᾷ· γίνεται δὲ καὶ ἐν πάσῃ τῇ κεφαλῇ. Ὅταν οὕτως ἔχῃ, ψύγματά οἱ προστιθέναι πρὸς τὴν κεφαλήν· [138] καὶ, ἐπὴν ἤτε ὀδύνη" [139] καὶ τὸ ῥεῦμα παύηται, σελίνου χυλὸν ἐς τὰς ῥῖνας ἐνστάζειν, [140] καὶ μὴ λουέτω ἕως ἂν ἡ ὀδύνη ἔχῃ·" καὶ ῥοφανέτω κέγχρον λεπτὸν, μέλι ὀλίγον παραχέων, καὶ πινέτω ὕδωρ. Ἢν δὲ μὴ ὑποχωρέῃ, [141] κράμβας τρωγέτω, καὶ τὸν χυλὸν ῥοφανέτω· ἢν δὲ μὴ," τῆς ἀκτῆς τῶν φύλλων τὸν αὐτὸν τρόπον· καὶ, ἐπὴν σοι δοκέῃ καιρὸς εἶναι, [142] σιτία προσφέρειν οἱ ὡς ὑποχωρητικώτατα. Καὶ, ἢν ἀπηλλαγμένου τοῦ ῥεύματος, καὶ τῆς ὀδύνης," ὑπὲρ τῆς [143] ὀφρύος αὐτῷ βάρος τι ἐγγένηται καὶ κατὰ τὸν μυξωτῆρα, ἢν μύξα παχείη ᾖ καὶ σαπρὴ, πυριήσας αὐτὸν ὄξει, καὶ ὕδατι, καὶ ὀριγάνῳ· ἔπειτα λούσας θερμῷ ὕδατι, προσθεῖναι τὸ ἄνθος τοῦ χαλκοῦ καὶ τὴν σμύρναν πρὸς τὰς ῥῖνας. Ταῦτα ποιήσας, ὡς τὰ πολλὰ" [144] ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος οὐ θανατώδης. Ἑτέρη νοῦσος. [145] Ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη [illegible]άζεται ἐκ τῆς κοτίδος ἐς τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην καταφοιτᾷ ψῦχος, καὶ ἱδρὼς ἐξαπίνης [146] καινὸς τελέθει, καὶ διὰ τῶν ῥινῶν αἷμα ῥεῖ· πολλοὶ δὲ καὶ ἐμέουσιν. Οὗτος ἐν τρισὶν ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ τὰς ἑπτὰ ἡμέρας ὑπερφύγῃ ([147] οὐχ ὑπερφεύγουσι δὲ οἱ πολλοὶ) ἢν οὖν τὸ αἷμα ἐμέῃ, ἢ ἐκ τῶν ῥινῶν ῥέῃ, μήτε λούειν αὐτὸν θερμῷ, μήτε χλιάσματα προσφέρειν· [148] πίνειν δὲ διδόναι ὄξος λευκὸν," ὑδαρὲς κιρνὰς· καὶ, ἢν ἀσθενέῃ, τῆς πτισάνης ῥοφάνειν. Ἢν δὲ πλεῖόν σοι δοκέῃ τοῦ δικαίου ἐμέειν τὸ αἷμα, ἢ ἐκ τῶν ῥινῶν οἱ ῥέῃ, ἀπὸ μὲν τοῦ ἐμέτου πινέτω" ἄλητον σιτάνιον ἐπὶ ὕδωρ ἐπιπάσσων· ἢν δὲ ἐκ τῶν ῥινῶν ῥέῃ, ἀποδείτω τὰς φλέβας τὰς ἐν τοῖσι βραχίοσι καὶ τὰς ἐν τοῖσι κροτάφοισι, σπλῆνας ὑποτιθείς. Ἢν δὲ τούτων οἱ μηδ' ἕτερον ᾖ, ἀλγέει δὲ τὴν κοτίδα, καὶ τὸν τράχηλον, καὶ τὴν ῥάχιν, καὶ ἐπὶ τὴν καρδίην ἴῃ τὸ ψῦχος, [149] χλιαίνειν τοῖσιν ὀρόβοισι τὰ στέρνα, καὶ τὸν νῶτον, καὶ τὴν κοτίδα, καὶ τὸν τράχηλον. Ταῦτα ποιέων, [150] μάλιστα

regiones; & supercilia impendere videntur, & ad aures dolor pervadit, quandoque per nares bilis effluit, & oculi caligant; & plerisque quidem ad dimidiam capitis partem dolor pervenit: quandoque etiam toto capite oritur. Quum ita habuerit, refrigerantia capiti admoveto; & ubi dolor & fluxio quieverit, apii succum in nares
38 instillato, neque lavet quamdiu dolor detinet; & milium tenue, pauco melle affuso,
39 sorbeat, & aquam bibat. Quod si alvus non subducatur, brassicas rodat, & succum sorbeat; sin minus, foliorum sambuci (suc-
40 cum) eodem modo: quumque tempestivum tibi esse videbitur, cibos quam maxime alvum subducentes ei porrigito. Ac si depulsa fluxione ac dolore, ipsi ad su-
41 percilia & juxta nasum pondus quoddam incumbat, mucusque crassus sit & putridus, fomento ex aceto, aqua, & origano adhibito: mox calida aqua loto, æris florem & myrrham ad nares admoveto. Hæc ubi fecerit, plerumque sanus fit;
42 morbus autem minime est lethalis. Alius morbus. Si vero cerebrum attonitum fuerit, dolor ex occipitio ad spinam tendit, & ad cor frigus permanat, & derepente novus sudor oritur, & per nares sanguis fluit: plerique etiam vomunt. Hic intra tres dies moritur: quod si septem dies superaverit (plerique vero minime superant) si quidem sanguinem vomat, aut ex naribus effluat, neque eum calida lavato, neque calefactoria admoveto: acetum vero al-
43 bum aqua temperatum potui exhibeto; & si debilis fuerit, ptisanam sorbendam dato. Quod si plus æquo tibi sanguinem vomere, aut ipsi ex naribus fluere vi-
44 deatur; a vomitu quidem farinam trimestris tritici aquæ inspersam bibat: si vero e naribus fluat, brachiorum & temporum venas spleniis suppositis deligato. At si horum neutrum ipsi affuerit, occipitium autem, & cervicem, & spinam dolor vexet, & ad cor frigus procedat; eruo pectus, dorsum, occipitium, & cervicem calefacito. His factis maxime

 ju-

VARIÆ LECTIONES.

137 καὶ ἐς τὰ ὦτα ὀδύνη φοιτᾷ MS. cod. & pro ἀμβλυώσσουσι, in cod. scribitur ἀμβλυώσσει.

138 καὶ ἐπὴν ἡ ὀδύνη MS. cod.

139 καὶ τὸ ῥεῦμα παύηται ex MS. cod. scripsimus, pro vulgatis καὶ τὸ πνεῦμα: priorem lectionem adhibuit Lind.

140 Pro καὶ μὴ λουέτω, MS. cod. καὶ ἀλουτείτω. Imp. Samb. autem καὶ ἀλουτείτω.

141 Sic MS. cod. ut & Imp. Samb. pro vulgato ἐσθιέτω. Paulo post ἀκτῆς MS. cod. quam lectionem secuti sunt interpretes pro αὐτῆς.

142 σιτία οἱ προσφέρειν MS. cod.

143 Quædam exempl. legunt ὀφρύος αὐτῷ βάρος τι γίνηται κατὰ τὸν μυξωτῆρα, ἢ μύξα παχείη ᾖ καὶ σαπρή. Pro quibus MS. cod. habet ὀφρύος αὐτῷ βάρος ἐγγίνηται, ἢ μύξα παχείη καὶ σαπρή.

144 Pro vulgatis ὑγιῆ δείξεις ex MS. cod. scripsimus ὑγιὴς γίνεται, quam lectionem præseferunt Membranæ Regiæ, & in textum intulit Lind. Postea ἑτέρη νοῦσος abest in Cod.

145 Imp. Samb. & MS. cod. δὲ habent, quod secuti sumus. Postea istud glossema in Imp. Samb. adscribitur: κοτίς ἐστι τῆς κεφαλῆς ἡ κορυφὴ, κοτὶς est *capitis vertex*; sed a Galeno in Exeges. exponitur ἰνίον seu cervicis nervus, occiput, παρεγκεφαλὶς seu cerebellum.

146 καὶ ἄπνοος τελευτᾷ MS. cod. scribit. Lind. καινὸς τελέθει.

147 οὐχ ὑπεκφεύγουσι δὲ οἱ πολλοί· οὗτος ἢν μὲν τὸ αἷμα MS. cod. ita etiam Imp. Samb.

148 MS. cod. legit πίνειν δὲ ὄξος λευκὸν, ὑδαρὲς κιρνὰς, καὶ ἢν ἀσθενέῃ, hancque lectionem probamus, pro πίνειν δὲ διδόναι ὄξος λευκὸν, ὑδαρέα κιρνᾶν, καὶ ἢν ἀσθενέῃ. Melius ὑδαρὲς, quam vulgatum ὑδαρέα; refertur enim ad ὄξος λευκὸν, cujus neutrum est genus.

149 Vulgati codd. χλιαίνειν ἐν τοῖσιν ὀρόβοισι, verum in MS. cod. χλιαίνειν τοῖσιν ὀρόβοισι, quem secuti sumus deleto ἐν.

150 μάλιστ' ἂν ὠφελέοις· ἐκφεύγουσι δ' ὀλίγοι MS. cod. & omittuntur τὴν τοιαύτην νοῦσον. Postea τὸν ὦτον MS. Cod. pro τὸν νῶτον.

juveris : pauci vero ex tali morbo evadunt. Alius morbus. Derepente sanum capitis dolor prehendit, confestimque vox deficit, & stertit, & os hiat; & siquis eum vocet, aut agitet, solum ingemiscit, nihil autem intelligit; & copiose meiit, ac se mingere non sentit. Hic, nisi eum febris corripiat, intra septem dies moritur; quod si corripuerit, plerumque sanus evadit: hujusmodi autem morbus senioribus contingit magis, quam junioribus. Hic, quum sic se habebit, multa calida lavandus est, & quam maxime fovendus, eique aqua mulsa tepida in os instillanda. Quod si mentis compos fiat, & morbum effugiat, quum eum cibis refeceris, & viribus valere tibi visus fuerit, immisso in nares ejus medicamento, paucisque intermissis diebus, medicamentum deorsum purgans propinato: nisi enim purgaveris, metus est, ne rursus morbus revertatur. Fere autem ex priore minime evadunt. Alius morbus. At si quis ex temulentia voce deficiat, siquidem jam confestim eum febris corripiat, convalescit; nisi vero corripuerit, intra tertium diem moritur. Quum autem ita habentem offenderis, multa calida lavato, & spongias aquæ calidæ immersas ad caput admoveto, & in nares cepas detracto cortice immittito. Hic si quidem apertis oculis, & voce recuperata ad se redeat, neque nugas loquatur, eo die sopore detentus jacet, postero vero convalescit: quod si exurgens bilem vomuerit, insanit, ac maxime diebus quinque, nisi dormiat, moritur. Huic igitur hæc facere oportet; multa calida lavare, donec is ad se redeat; deinde copioso oleo illitum, in mollibus stratis, vestimentis contectum recumbere, neque apud eum lucernam ardere, neque loqui; a balneo enim ut plurimum dormit, & si dormierit, sanus evadit. At postquam ad se redierit, tribus quatuorve primis diebus, milium tenue, aut ptisanæ succum sorbendum, & vinum mellitum bibendum exhibeto; deinde cibis quam mollissimis, primumque paucis utatur.

ἂν ὠφελέοι· ἐκφεύγουσι δὲ τὴν τοιαύτην νοῦ-
45 σον ὀλίγοι. Ἑτέρη νοῦσος. Ἐξαπίνης ὑ-
γιαίνοντα ὀδύνη ἔλαβε τὴν κεφαλὴν, καὶ παρα-
χρῆμα ἄφωνος γίνεται, καὶ ῥέγχει, καὶ τὸ στόμα
κέχηνε· καὶ, ἤν τις αὐτὸν καλέῃ, ἢ κινήσῃ,
[151] στενάζει μοῦνον· συνίει δὲ οὐδέν· καὶ οὐρέει
46 πουλὺ, καὶ οὐκ ἐπαΐει οὐρέων. Οὗτος, ἢν μὴ
πυρετὸς λάβῃ, ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀπο-
θνήσκει· ἢν δὲ λάβῃ, ὡς τὰ πολλὰ ὑγιὴς
γίνεται· ἡ δὲ τοιαύτη νοῦσος πρεσβυτέροι-
σι μάλιστα γίνεται, ἢ νεωτέροισι. Τοῦτον,
ὅταν οὕτως ἔχῃ, [152] λούειν χρὴ πολλῷ
θερμῷ, καὶ θάλπειν ὡς μάλιστα, καὶ ἐνστάζειν
μελίκρητον [153] χλιαρὸν ἐς τὸ στόμα. Ἢν δὲ
ἔμφρων γένηται [154] καὶ ἐκφύγῃ τὴν νοῦσον,
ἀνακομίσας αὐτὸν σιτίοισιν, ἐπήν σοι δοκέῃ
ἰσχύειν, ἐς τὰς ῥῖνας ἐνθεὶς αὐτῷ [155] φάρ-
μακον, καὶ διαλιπὼν ὀλίγας ἡμέρας, κατω-
τερικὸν δὸς φάρμακον πιεῖν· ἢν γὰρ μὴ κα-
θήρῃς, δεῖμα αὖτις τὴν νοῦσον ὑποστρέψαι.
Ἐκφυγγάνουσι δὲ οὐ μάλα ἐκ τῆς πρώτης.
[156] Ἑτέρη νοῦσος. Ἢν δὲ ἐκ θωρήξιος
ἄφωνος γένηται, [157] ἢν μὲν αὐτίκα δὴ καὶ
παραχρῆμα λάβῃ μιν πυρετὸς, ὑγιὴς γίνε-
ται· [158] ἢν δὲ μὴ λάβῃ, τριταῖος ἀπο-
47 θνήσκει. Ἢν δὲ μὲν οὕτως ἔχοντι ἐπιτύ-
χῃς, λούειν πολλῷ καὶ θερμῷ, καὶ πρὸς τὴν
κεφαλὴν σπόγγους ἐν ὕδατι βάπτων θερμῷ
προστιθέναι, καὶ ἐς τὰς ῥῖνας κρόμμυα ἀπο-
λέπων ἐντιθέναι. Οὗτος, ἢν μὲν ἀνατείνας
τοὺς ὀφθαλμοὺς καὶ φθεγξάμενος παρ' ἑωϋ-
τῷ γένηται, καὶ μὴ [159] φλυηρῇ, τὴν μὲν
ἡμέρην ταύτην κεῖται κωμαίνων· τῇ δ' ὑστε-
ραίῃ ὑγιὴς γίνεται· ἢν δὲ ἀνιστάμενος χο-
λὴν ἐμέῃ, μαίνεται καὶ ἀποθνήσκει μάλιστα
ἐν πέντε ἡμέρῃσιν, ἢν μὴ κατακοιμηθῇ.
Τοῦτον οὖν χρὴ τάδε ποιέειν· [160] λούειν
πολλῷ καὶ θερμῷ, ἔστ' ἂν αὐτὸς ἐς ἑωϋτὸν
παρῇ· ἔπειτα ἀλείψας ἀλείφατι πολλῷ,
κατακλῖναι ἐς στρώματα μαλθακῶς, καὶ ἐπι-
βάλλειν ἱμάτια, καὶ μήτε λύχνον καίειν παρ'
αὐτῷ, μήτε φθέγγεσθαι· ὡς γὰρ ἐπιτοπο-
λὺ ἐκ τοῦ λουτροῦ κατακοιμᾶται, [161] καὶ
ἢν κοιμηθῇ, ὑγιὴς γίνεται. Ἐπὴν δὲ παρ'
ἑωϋτὸν γένηται, τὰς πρώτας ἡμέρας τρεῖς
ἢ τέσσαρας, διδόναι κέγχρον λεπτὸν ῥοφά-
48 νειν, ἢ πτισάνης χυλόν· καὶ οἶνον [162] με-
λιτοειδέα πίνειν· ἔπειτα σιτίοισι χρῆσθαι ὡς
[163] μαλθακωτάτοισι καὶ ὀλίγοισι τὸ πρῶτον.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

151 Hæc leguntur sic in MS. cod. στενάζει, ξυνίει δ' οὐδὲν, καὶ οὐρέει πουλὺ, καὶ οὐκ ἐπαΐει οὐρέων· οὗτος ἢν μὲν μὴ πυρετὸς λάβῃ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκει· ἢν δὲ λάβῃ· ὡς τὰ πολλὰ, ὑγιὴς γίνεται· ἡ δὲ νοῦσος πρεσβυτέροισι μᾶλλον. Scripsimus ἐπαΐει pro vulgato ἐπάγει.

152 Vulg. codd. λούειν χρὴ πολλῷ καὶ θερμῷ, in MS. cod. deest καί.

153 Pro vulgato χλιαίνων, ex MS. cod. scripsimus χλιαρὸν, quæ lectio probatur Lindeno.

154 καὶ ἐκφεύγῃ MS. cod. eodem significatu.

155 Sic MS. cod. addito verbo φάρμακον.

156 Hæc epigraphe ἑτέρη νοῦσος non adscribitur in MS. cod.

157 ἢν μὲν αὐτίκα δὴ vulgati codd. δὴ abest in MS. cod.

158 Sic omnia exemplaria scribunt; Servin. autem ἢν δὲ σὺν, quod sequitur Lind. sed melior vulgata lectio, nam supra dixit Hipp. *siquidem jam confestim eum febris corripiat, convalescit*; nunc vero innuit, si illa non supervenerit, ægrum mori.

159 Sic MS. cod. Ionice, pro φλυαρῇ.

160 λούειν πολλῷ καὶ θερμῷ, in MS. cod. καὶ abest.

161 MS. cod. ita habet; καὶ ἢν τοῦτο ποιήσῃ, ὑγιὴς γίνεται· ἢν δὲ παρ' ἑωυτῷ γένηται, τὰς πρώτας ἡμέρας τῶν σιτίων εἴργειν αὐτόν· ἡμέρας τρεῖς, ἢ τέσσαρας διδόναι δὲ κέγχρον λεπτὸν ῥοφάνειν, hoc est: *& si id fecerit, sanus evadit: si autem ad se redierit, primis diebus ipsum cibis prohibere oportet; per tres aut quatuor dies milium tenue sorbendum dare.*

162 Pro μελιτοειδέα, MS. cod habet μελιηδέα, quam lectionem Galen. ex hoc loco adhibuisse videtur in Exeges. cum μελιηδέα, οὐ μόνον τὸν ἡδὺν, ἀλλὰ καὶ τῷ μέλιτι μεμιγμένον exponit.

163 Vulgati codd. μαλθακοῖσι; sed MS. cod. μαλθακωτάτοισι, atque ita scripsimus.

SECTIO II.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Σφάκελος ἐγκεφάλου, τερηδὼν, βλητός· καὶ τὰ τούτων τῶν νοσημάτων συμπτώματα, αἰτίαι, σημεῖα, βοηθήματα διαιτητικά τε καὶ φαρμακευτικὰ, μάλιστα δὲ χειρουργικά.

[164] Σφάκελος ἐγκεφάλου. Ἢν σφάκελος λάβῃ, ἡ ὀδύνη ἴσχει μάλιστα τὸ πρόσθεν τῆς κεφαλῆς [165] ἐκ τοῦ κατὰ μικρὸν, κὴ ἀνοιδέει, κὴ πελιδνὸν γίνεται, κὴ πυρετὸς, κὴ ῥῖγος [166] λαμβάνει. Ὅταν οὕτως ἔχῃ, ταμεῖν χρὴ, ῇ ἂν ἐξοιδέῃ, κὴ διακαθήραντα 49 τὸ ὀστέον, ξύσαι, ἕως ἂν ἀφίκηται [167] πρὸς τὴν διπλοΐδα· ἔπειτα ἰῆσθαι ὡς κάτηγμα. [168] Τερηδών. Ὅταν τερηδὼν γένηται ἐν τῷ ὀστέῳ, ὀδύνη λαμβάνει ἀπὸ τούτου τὸ ὀστέον· τὸ δὲ χρόνῳ λεπτὸν γίνεται, κὴ ἀναφυσᾶται, κὴ γίνεται ἐπ' αὐτῷ κάτηγμα· κὴ, ἢν τοῦτο ἀνατάμῃς, εὑρήσεις ἀνατεῖνον ὀστέον, κὴ τρηχὺ, κὴ πυῤῥόν· [169] ἐνίοισι δὲ κὴ διαβεβρωμένον πρὸς τὸν ἐγκέφαλον. Ὅταν οὕτως ἔχοντι ἐπιτύχῃς, ἢν μὲν εἴη πέρην διαβεβρωμένον, αἱρεῖν ἄριστον, κὴ ἰῆσθαι ὡς τάχιστα τὸ ἕλκος· ἢν δὲ [170] τετρωμένον μὲν μὴ εἴη, τρη- 50 χὺ δὲ, ξύσας μέχρι τῆς διπλοΐδος, ἰῆσθαι ὥσπερ τὴν πρόσθεν. [171] Ἑτέρη νοῦσος. Ἢν βλητὸς γένηται, κὴ ἀλγέῃ τὸ πρόσθεν τῆς κεφαλῆς, κὴ τοῖσιν ὀφθαλμοῖσιν οὐ δύνηται ὁρᾷν· ἀλλὰ κῶμά μιν ἔχῃ· [172] κὴ αἱ φλέβες ἐν τοῖσι κροτάφοισι σφύζωσι, κὴ πυρετὸς βληχρὸς ἔχῃ, κὴ τοῦ σώματος παντὸς ἀκρατίη, κὴ [173] μινύθῃ· ὅταν οὕτως ἔχῃ, 51 κὴ λούειν αὐτὸν θερμῷ πολλῷ, κὴ χλιάσματα πρὸς τὴν κεφαλὴν προστιθέναι. Ἐκ δὲ τῆς πυρίης [174] ἐγχεῖν ἐς τὰς ῥῖνας σμύρναν καὶ ἄνθος χαλκοῦ· ῥοφάνειν δὲ τὸν χυλὸν τῆς πτισάνης, καὶ πίνειν ὕδωρ. Καὶ, ἢν μὲν ταῦτα ποιέοντι [175] ῥᾷον γένηται· εἰ δὲ μὴ, ταύτῃ γὰρ μόνη ἐλπὶς, σχίσαι αὐτοῦ τὸ 52 βρέγμα· κὴ, ἐπὴν ἀποῤῥυῇ τὸ αἷμα, συνθεὶς τὰ χείλεα, [176] ἰῆσθαι κὴ καταδῆσαι· ἢν δὲ μὴ σχίσῃς, ἀποθνήσκει ὀκτωκαιδεκαταῖος, ἢ εἰκοσταῖος ὡς ἐπὶ τὰ πολλά.

CAPUT VIII.

Sideratio cerebri, ossis capitis caries, sidere ictus; eorum affectuum symptomata, causæ, signa, auxilia diætetica, pharmaceutica, ac potissimum chirurgica.

Cerebri sideratio. Si sideratio (cerebrum) invaserit, dolor paulatim anteriorem maxime capitis partem detinet, & intumescit, & livescit, febrisque ac rigor prehendit. Quum sic habuerit, qua parte tumescit, secare oportet, & os perpurgatum radere, donec ad duplicatam laminam perveniat; deinde ut fracturam curare. Caries. Quum caries in osse oborta fuerit, ex ea os dolor corripit; hoc vero successu temporis attenuatur, ac inflatur, in eoque fractura contingit: quod si hanc resecueris, os sublatum, asperum, & fulvum reperies; quibusdam vero etiam ad cerebrum usque corrosum. Quum ita habentem offenderis, siquidem ultra corrosum fuerit, auferre optimum, & quam citissime ulcus curare: si vero perforatum non fuerit, sed asperum, derasum ad duplicatam usque laminam, sicuti præcedens curato. Alius morbus. Si quis attonitus sit, & capitis anteriore parte doleat, & oculis videre non possit; sed sopor ipsum detineat; & temporum venæ pulsent, & levis febris, totiusque corporis impotentia detineat, & imminuatur; quum sic habuerit, tunc eum multa calida lavato, tum ad caput calefactoria admoveto. A fomentis vero myrrham & æris florem in nares infundito: ptisanæ succum sorbendum, & aquam bibendam dato. Et siquidem quum hæc feceris melius habeat, (sat est;) sin minus (hæc enim unica spes est) ei sinciput scindito; quumque sanguis affluxerit, labris compositis curato, & deligato: quod nisi scideris, decimo octavo, aut vigesimo die plerumque moritur.

CA-

Variæ Lectiones.

164 σφάκελος ἐγκεφάλου, deest hæc epigraphe in MS. cod. ut & articulus ἡ ante ὀδύνη.

165 Pro ἐκ τοῦ κατὰ μικρὸν; MS. cod. scribit κατὰ σμικρόν.

166 Sic MS. cod. pro vulgato verbo καταλαμβάνει. Ibidem ταμόντα χρὴ, ἣν ἐξοιδέῃ, διακαθήραντα τὸ ὀστέον, ξύσαι ἐς ὅ ἂν ἀφίκηται in cod. legitur.

167 MS. cod. ita habet, pro εἰς τὴν διπλοΐδα.

168 τερηδὼν abest in MS. cod. Paulo post ἀπὸ τούτου τοῦ ὀστέου· τῷ δὲ χρόνῳ τὸ δέρμα λεπτὸν γίνεται, καὶ ἀναφυσᾶται, καὶ γίνεται ἐν αὐτῷ κάτηγμα, scribitur in MS. cod. sed non sine suspicione glossematis.

169 ἐνίοισι δὲ κὴ vulg. codd. verum κὴ abest in MS. cod. Paulo post αἱρεῖν auferre ex codice scripsimus, quæ lectio vulgata multo melior est, pro vulgato ἐᾷν, sinere.

170 βεβρωμένον corrosum Imp. Corn. Deinde ξύσαι τὴν διπλοΐδα MS. cod. Imp. Sambuc. vero ξύσαι ἐς τὴν διπλοΐδα eodem significatu.

171 MS. cod. ἑτέρη νοῦσος non habet hanc epigraphen.

172 κὴ ἢν αἱ φλέβες omnia exemplaria, in MS. cod. ἢν omittitur, quod melius videtur, & nos probamus.

173 Istud μινύθῃ, imminuatur, vocarunt interpretes marcorem; verum minus recte, cum marcor referatur ad corporis substantiam, quæ hisce in affectibus potius ampliatur, cum plures patientes ex hisce morbis tumeant, quam imminuantur.

174 ἐγχεῖν abest in MS. cod.

175 Sic MS. cod. pro vulg. ῥᾴων γίνεται. Paulo post κὴ ἢν ἀποῤῥυῇ in eodem legitur.

176 ἰῆσθαι, pro vulgato ἰᾶσθαι, ex MS. cod. scripsimus.

CAPUT IX.

De trium anginarum caussis, ac earum curatione.

ANgina. Febris corripit & rigor, & dolor capitis, maxillæ tumescunt, ægreque sputum deglutit, & expuit sensim densam salivam, & in imis faucibus stertit. Ac si apprehensa lingua inspexeris, curgulio quidem non magnus, sed mollis est; fauces autem interiores saliva viscida implentur, neque excreare potest; neque decumbere sustinet, sed si decumbat, suffocatur. Hunc si ita affectum offenderis, hæc facito. Imprimis quidem cucurbitulas ad primam cervicis vertebram admoveto; deinde capiti præraso ad aurem utraque ex parte apponito; & ubi cucurbitulam stricte aptaveris, quam plurimo tempore adhærere sinito. Deinde suffitum illi ex aceto, nitro, origano, & nasturtii semine parato; quæ læviter trita, pari aquæ mensura ad acetum permixta, & pauco oleo instillato, macerato; postea in ollulam infusa, operculo apposito, arundine cava indita, mox prunis imposita fervefacito; & ubi per arundinis fistulam sursum vapor ascenderit, eum aperto ore intro trahat, cavens ne fauces adurat. Foris autem spongias aqua calida imbutas ad genas & maxillas apponat. Gargarismus vero ipsi parandus est ex origano, ruta, satureia, apio, mentha, & pauco nitro; aquaque mulsa aquosa admixta, paucum acetum instillato: prædictarum herbarum foliis lævigatis ac tritis, nitroque in ea macerato, tepido os colluat. Si vero saliva supprimatur, sumpta myrti virga, lævigata, & summa ejus parte tenella inflexa, molli lana obvoluta, inspectis faucibus, salivam expurgato; & si venter non subeat, glandem indito, aut clystere subluito. Ptisanæ autem succum sorbeat, & aquam insuper bibat. Si vero ei tumor enascatur, & ad pectus intumescat, & rubicundum fit, & ardeat, salutis major spes

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῶν τριῶν κυναγχῶν αἰτίων, καὶ τῆς αὐτῶν θεραπείας.

[177] ΚΥνάγχη. Πυρετὸς λαμβάνει καὶ ῥῖγος,
καὶ ὀδύνη τὴν κεφαλὴν, καὶ τὰ σιαγόνια
οἰδίσκεται, καὶ τὸ πτύαλον χαλεπῶς καταπίνει,
[178] καὶ ἀποπτύει τὰ σίαλα σκληρὰ καὶ κατ' ὀ-
λίγον, καὶ ἐν τῷ φάρυγγι κάτω ῥέγχει. Καὶ, ἢν
καταλαβὼν τὴν γλῶσσαν σκέπτῃ, [179] ὁ μὲν
γαργαρεὼν οὐ μέγας, ἀλλὰ λαπαρός· ἡ δὲ
φάρυξ ἔσωθεν σιάλου γλίσχρου ἔμπλεως, καὶ
οὐ δύναται ἐκχρέμπτεσθαι· καὶ οὐκ ἀνέχεται
[180] κείμενος, ἀλλ', ἢν κατακέηται, πνίγεται.
Τοῦτον ἢν οὕτως ἐπιτύχῃς ἔχοντα, ποιέειν τάδε.
53 δε. Πρῶτον μὲν σικύας προσβάλλειν πρὸς τὸν
σπόνδυλον τὸν ἐν τῷ τραχήλῳ τὸν πρῶτον·
[181] ἔπειτα παραξυρήσας ἐν τῇ κεφαλῇ πα-
54 ρὰ τὸ οὖς τιθέναι ἔνθεν καὶ ἔνθεν· καὶ, ἐπὴν
[182] ἀποσφίγξῃς τὴν σικύην, ἐᾷν προσκέεσθαι
ὡς πλεῖστον χρόνον. Ἔπειτα πυριᾷν αὐτὸν ὄξει,
καὶ λίτρῳ, [183] καὶ ὀριγάνῳ, καὶ καρδάμου σπέρμα-
τι, τρίψας λεῖα, κεράσας τὸ ὄξος ἰσόχοον ὕδα-
τι, καὶ ἄλειφαρ ὀλίγον ἐπιστάξας, [184] διεῖναι τοῦ-
55 τῳ· ἔπειτα ἐς χυτρίδιον ἐγχέας [185] ἐπιθεὶς
ἐπίθημα, κάλαμον ἐνθεῖναι κοῖλον· ἔπειτα ἐ-
πιθεὶς ἐπ' ἄνθρακας, ἀναζέσαι· [186] καὶ, ἐπὴν διὰ
τοῦ αὐλοῦ τοῦ καλάμου ἡ ἀτμὶς ἀνείη, περιχά- 146
σκων ἑλκέτω εἴσω τὴν ἀτμίδα, φυλασσόμενος
μὴ κατακαύσῃ τὴν φάρυγγα. [187] Ἔξωθεν δὲ
σπόγγους βάπτων ἐς ὕδωρ θερμὸν, προστιθέσθω
πρὸς τὰς γνάθους καὶ τὰ σιαγόνια. Ἀναγαρ-
γάριστον δὲ αὐτῷ ποιέειν ὀρίγανον, [188] καὶ πήγα-
νον, καὶ θύμβραν, καὶ σέλινον, καὶ μίνθην, καὶ λίτρον
ὀλίγον, μελίκρητόν τε κεράσας ὑδαρὲς, ὄξος
ὀλίγον ἐπιστάξαι· λεῖα τρίψας τὰ φύλλα
[189] τῶν προειρημένων βοτανῶν, καὶ τὸ λίτρον
56 τούτῳ διεὶς, χλιηνὰς ἀναγαργαριζέτω. Ἢν δὲ
τὸ σίαλον [190] ἴσχηται, μύρτου λαβὼν ῥάβδον,
λείην ποιήσας, καὶ τὸ ἄκρον αὐτῆς ἐπικάμψας,
τὸ ἁπαλὸν κατειλίξας αὐτῆς ἐν εἰρίῳ μαλθα-
κῷ, καθορῶν εἰς τὴν φάρυγγα, τὸ σίαλον ἐκκα-
θαίρειν· καὶ, ἢν ἡ γαστὴρ μὴ ὑποχωρέῃ, βάλανον
προστιθέναι, ἢ ὑποκλύζειν. Ῥοφανέτω δὲ τὸν
57 χυλὸν τῆς πτισάνης, καὶ ὕδωρ ἐπιπινέτω. Εἰ
δέ οἱ οἴδημα ἐκφύῃ καὶ οἰδίσκηται πρὸς τὰ στή-
θεα, καὶ ἐρυθρὸν ἔῃ, καὶ καίηται, ἐλπίδες πλέονες
σωτη-

VARIÆ LECTIONES.

177 περὶ κυνάγχης pro epigraphe scribit MS. Serv.

178 Sic MS. cod. pro ἀποπτύει δὲ καὶ &c. Postea καὶ κατ' ὀλίγον MS. cod. quod probamus, pro κατ' ὀλίγα vulg.

179 ὁ μὲν γαργαρέων, in MS. cod. omittitur μέν.

180 Sic MS. cod. pro κεῖσθαι vulgato. Deinde πρῶτον μὲν σικύαν προβάλλειν in eodem cod. scribitur.

181 Ita habet MS. cod. pro ἔπειτα παραξυρήσας. Imp. Corn. autem προξυρήσας scribit, & καὶ particula deest in MS. cod. ante παρὰ τὸ οὖς, quod probamus.

182 Sic omnia exemplaria, quam lectionem confirmat MS. cod. Etsi Foesio magis arrideat ἀποσκίμψῃς; quod longe a sensu abire videtur. Lindenus ἀποχάσῃς *scarificaveris* mavult.

183 MS. cod. καὶ καρδάμου σπέρματι καὶ ὀριγάνῳ scribit.

184 διεῖναι τούτῳ ex Membr. Vatican. emendavimus pro διεῖναι τοῦτο. Deinde χυτρίδα legunt omnia exempl. publicata, pro qua voce χυτρίδιον, ut alias sæpe, legitur in MS. cod. Calvus χύτραν νέαν, *ollam novam* legisse videtur.

185 Pro vulgatis ἐπιθεὶς ἐπίθημα, κάλαμον ἐνθεῖναι κοῖλον, MS. cod. scribit: ἐπιθεὶς ἐπίθημα καὶ κατασκεπάσας· τρυπήσας τὸ ἐπίθημα κάλαμον ἐνθεῖναι κοῖλον, *imposito operculo contectam*, scilicet ollulam, *ubi operculum pertuderis, cavam arundinem immittito*, quod multo clarius rem explicat.

186 καὶ ἐπὴν διὰ τοῦ καλάμου ἡ ἀτμὶς ἀνείη scribit MS. cod.

187 καὶ ἔξωθεν σπόγγους scribit MS cod.

188 Sic MS. cod. καὶ πήγανον insertis, quæ desunt in vulgatis codd.

189 τῶν προειρημένων βοτανῶν desunt in MS. cod. Paulo post pro τοῦτο vulgato ex MS. cod. τούτῳ scripsimus, ad aquam mulsam referendo.

190 Pro ἴσχηται, Æmil. Port. οἰδίσκηται scripsit, hoc sensu, si vero saliva *intumescat*. Mox sequentia sic leguntur in MS. cod. μύρτου λαβὼν ῥάβδον λείην ποιήσας, αὐτὴν ἐπικάμψας, τὸ ἄκρον τὸ ἁπαλὸν τῆς ῥάβδου κατειλίξας εἰρίῳ μαλθακῷ.

58 σωτηρίης. Ποιέειν δὲ οἱ τάδε· ἐπὴν ἔξω τράπηται τὸ φλέγμα, τεῦτλα ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, [191] προστιθέναι· ἀναγαργαρίζέτω δὲ χλιαροῖσι, καὶ ἀλουτεέτω. Ταῦτα ποιέων [192] μάλιστα ἂν ἐκφυγγάνῃ· ἡ δὲ νοῦσος θανατώδης, καὶ ἐκφυγγάνουσιν ὀλίγιστοι. Ἑτέρη κυνάγχη. Πυρετὸς καὶ ὀδύνη λαμβάνει τὴν κεφαλὴν, καὶ ἡ φάρυγξ φλεγμαίνει, καὶ τὰ σιαγόνια, καὶ τὸ σίαλον καταπίνειν οὐ δύναται· πτύει δὲ παχὺ καὶ πολλὸν, καὶ φθέγγεται χαλεπῶς. Ὅταν οὕτως ἔχῃ, πρῶτον μὲν σικύην προσβάλλειν τὸν αὐτὸν τρόπον, [193] ὥσπερ καὶ ἄνωθεν εἴπομεν· ἔπειτα προσίσχειν σπόγγον, βρέχων ἐν ὕδατι θερμῷ, πρὸς τὸν τράχηλον καὶ τὰ [194] σιαγόνια· ἀναγαργαρίζειν δὲ διδόναι μελίκρητον ὑδαρές· ῥοφάνειν δὲ ἀναγκάζειν τὸν χυλὸν τῆς πτισάνης. Ἢν δὲ οἱ [195] τοιαῦτα ποιέοντι τὸ σίαλον

59 μὴ ἐξίῃ, πυριᾶν τὸν αὐτὸν τρόπον, ὥσπερ ἐν τῇ πρόσθεν. Ἢν δὲ οἱ ἐς τὰ στήθεα τράπηται, ἢ ἐς τὸν τράχηλον τὸ φλέγμα, τεῦτλα ἢ κολοκύντας καταταμὼν, [196] ἐμ-

60 βαλὼν ἐς ὕδωρ χλιαρὸν, ἐπιῤῥοφανέτω, καὶ πινέτω ψυχρὸν, [197] ὅπως τὸ σίαλον εὐπετέστερον ἀποχρέμπτηται· ὅταν δὲ ἐξοιδήσῃ ἐς τὰ στήθεα, οἱ πλέονες ἐκφεύγουσιν. Ἢν δὲ

61 τῆς φάρυγγος καθεστηκυίης καὶ τῶν οἰδημάτων, [198] τρεφθῇ ἐς τὸν πλεύμονα ἡ νοῦσος, πυρετὸς εὐθὺς ἐπανέλαβε, καὶ ὀδύνη τοῦ πλευροῦ, καὶ ὡς ἐπιτοπολὺ ἀπέθανε, ἐπὰν τοῦτο γένηται· [199] ἢν δὲ ὑπερφύγῃ ἡμέρας πέντε, ἔμπυος γίνεται, ἢν μή μιν βὴξ [200] ἐπιλάβῃ αὐτίκα· ἢν δὲ ὑπολάβῃ, ὑποχρεμψάμενος καὶ ἀποκαθαρθεὶς, ὑγιὴς γίνεται. Τοῦτον ἐς τ' ἂν ἡ ὀδύνη τὸ πλευρὸν ἔχῃ, χλιαίνειν τὸ πλευρὸν, [201] καὶ προσφέρειν, ὅσα τῇ περιπλευμονίῃ· ἢν δὲ ὑπερφύγῃ τὰς πέντε ἡμέρας, καὶ ὁ πυρετὸς ἀνῇ, ἡ δὲ βὴξ ἔχῃ, τὰς μὲν πρώτας ἡμέρας ῥοφήμασι [202] διαχρῆσθαι· ἐπὴν δὲ τῶν σιτίων ἄρξηται, ὡς λιπαρώτατα καὶ ἁλικώτατα [203] ἐσθίειν. [204] Ἢν δὲ τοι βὴξ μὴ ἔῃ, ἀλλὰ γινώσκεις ἔμπυον γινόμενον, δειπνήσαντα, ἐπὴν μέλλει καθεύδειν, σκόροδα ἐσθιέτω ὠμὰ ὡς πλεῖστα, καὶ ἐπιπινέτω οἶνον οἰνώ-

62 δεα ἀκρητέστερον· καὶ [205] ἢν μὲν οὕτως οἱ ῥαγῇ τὸ πῦον· ἢν δὲ μὴ, τῇ ὑστεραίῃ λούσας θερμῷ θυμιάσαι, καὶ ἢν ῥαγῇ, ἰῆσθαι ὥσπερ ἔμπυον. Ἑτέρη κυνάγχη. Φλεγμαίνει τοὔπισθεν

58 est. Hæc autem ei facienda sunt: ubi foras inflammatio vertitur, betas aqua frigida imbutas admoveto; tepidis autem os colluat, & ne lavet. His factis maxime evaserit: morbus autem lethalis est, & paucissimi evadunt. Alia angina. Febris & dolor caput prehendit, fauces & maxillæ inflammantur, neque salivam deglutire potest; sed crassam & copiosam expuit, & ægre loquitur. Quum sic habuerit, primum quidem eo, quo supra diximus, modo cucurbitulam admoveto; deinde spongiam aqua calida imbutam cervici & maxillis apponito; aquam autem mulsam aquosam ad os colluendum dato, & ptisanæ succum sorbere cogito. Si vero huic hæc facienti saliva non exierit, suffitum

59 eodem modo velut in superiore, parato. Si vero ad pectus aut ad cervicem inflammatio vertatur, betis aut cucurbitis concisis, in aquam tepidam conjectis, superfor-

60 beat, & frigidam bibat, quo facilius sputum excreetur: quum vero tumor in pectore (extuberaverit,) plures evadunt. At si faucibus & tumoribus sedatis, ad pul-

61 monem morbus conversus fuerit, confestim febris & lateris dolor insuper corripit, & ubi hoc contigerit, plerumque moritur: quod si dies quinque effugerit, purulentus evadit, nisi ipsum confestim tussis corripuerit: si vero corripuerit, excreato & repurgato sputo, convalescit. Huic, quamdiu dolor lateris detinet, latus calefaciendum, & offerenda, quæ pulmonis inflammationi conveniunt: quod si quinque dies effugerit, & febris remiserit, tussis vero detineat, primis quidem diebus sorbitionibus utatur: quum vero cibos sumere occœperit, quam pinguissimos, & maxime salsos edat. At si tussis non affuerit, verum purulentum fieri cognoscas; ubi cœnaverit, quumque dormire volet, allia quam plurima cruda edat, & vinum

62 vinosum meracius superbibat: quod si sic quidem ei pus eruperit, bene habet; sin minus, postridie ubi calida laveris, suffitum exhibeto, & si eruperit, velut purulentum curato. Alia angina. Linguæ pars

VARIÆ LECTIONES.

191 In MS. cod. scribitur προσιθέτω.

192 μάλιστ' ἂν ἐκφυγγάνοι MS. cod. & pro ὀλίγιστοι, scribit ὀλίγοι.

193 ὥσπερ τὸ πρόσθεν εἴπομεν eodem sensu MS. cod.

194 σιηγόνια· ἀναγαργαρίζειν δὲ διδόναι τὸ δέον τῶν φύλλων ἐλελισφάκου· πίνειν δὲ διδόναι μελίκρητον MS. cod.

195 τὸ τοιαῦτα ποιέοντι μὴ ἐξίῃ habent Asul. exemplaria. MS. cod. autem legit τὸ σίαλον ταῦτα ποιέοντι μὴ ῇ.

196 ἐσβαλὼν ἐς ὕδωρ, immisses in aquam betis MS. cod. eodem sensu. Verum Imp. Corn. hunc locum ita scribit, ἐμβάπτων ἐς ὕδωρ ψυχρὸν, ἐπιῤῥιπτέτω, καὶ πινέτω, intingens in aquam frigidam superinjiciat, & bibat, intelligens de medicamine ad inflammationem pectoris accommodato, ut in superiore anginæ specie. Sed Foesio videtur Hippocrates de betarum decocto, & quidem sorbendo, locutus fuisse, ad sputum humectandum, quo facilius expectoretur.

197 ὅκως τὸ σίαλον εὐπετέστατα ἀποχρέμπτηται, quo facillime sputum excreetur MS. cod.

198 τρεφθῇ conversus fuerit, scilicet morbus ex MS. cod. legimus, quæ lectio probatur Lindeno; prius enim legebatur στραφῇ, quod minime stare potest.

199 ἢν δὲ ὑπεκφύγῃ ἡμέρας MS. cod.

200 λάβῃ αὐτίκα· ἢν δὲ ἐπιλάβῃ MS. cod. quæ lectio etiam adnotatur in Imp. Sambuc.

201 καὶ προσφέρειν ὁκόσα εἰ περιπλευμονίῃ ἔχοιτο· ἢν δὲ ὑπεκφύγοι MS. cod.

202 Sic quidem MS. cod. pro quo MS. Servin. δεῖ χρῆσθαι, quam lectionem notat Æmil. Port. & in textum intulit Lindenus, ut sit, sorbitionibus uti oportet.

203 In MS. cod. scribitur μεθίειν, pro ἐσθίειν.

204 ἢν δὲ οἱ ἡ βὴξ μὴ ῇ· ἀλλὰ γινώσκῃς ἔμπυον γινόμενον, δειπνήσαντα MS. cod.

205 ἢν μὲν οὕτως MS. cod. ablata particula καί.

posterior inflammatur, locusque sub tonsillis ad gutam, neque salivam, neque aliud quicquam deglutire potest; sed, si coactus fuerit, ei per nares effluit. Quum ita habuerit, mentham viridem, apium, origanum, nitrum, & rhois rubri portionem terito, melle subigito, iisque crassioribus redditis linguam interiore parte, qua tumet, illinito; deinde ficus aqua decoquito, rhois triti parvam portionem hoc ficuum decocto macerato, eoque, si possit, ad gargarizandum utatur; sin minus, os colluat: aquam vero, in qua crassiores farinæ maceratæ fuerint, potui exhibeto. Extrinsecus autem collo, & maxillis cataplasma ex farina calida in tepido vino, & oleo, cocta imponito, & panes calidos admoveto. Ut plurimum enim locus sub tonsillis ad guttur suppurat: quod si sua quidem sponte eruperit, sanus evadit; si vero non erumpat, ubi digito contigeris an molle sit, acuto ferramento, ad digitum alligato, perforato. His factis multi convalescunt: is vero morbus minime lethalis est.

CAPUT X.

De uva, tonsillis, linguæ tuberculo, palati inflammatione, & eorum morborum curatione.

UVa morbus. Si uva in faucibus oriatur, summus gurgulio aqua impletur, ejusque pars extrema rotunda, & pellucida fit, spirationemque intercipit. Quod si maxillæ utraque ex parte inflammatæ fuerint, strangulatur: si vero, his non inflammatis, hic morbus per se consistat, minus moritur. Quum sic habuerit, gurgulionem digito apprehensum, & sursum ad palatum appressum, extrema parte præcidito; deinde foliorum hortensium

63 τῆς γλώσσης, καὶ τὸ [206] κλῆθρον τὸ ὑπὸ
τῷ βρόγχῳ, καὶ οὐ δύναται καταπίνειν τὸ
σίαλον, οὐδ' ἄλλο οὐδέν· ἢν δὲ ἀναγκασθῇ,
64 διὰ τῶν ῥινῶν [207] οἱ ῥέει. Ὅταν οὕτως
ἔχῃ, τρίψας μίνθην χλωρὴν, καὶ σέλινον,
65 καὶ ὀρίγανον, καὶ λίτρον, καὶ τῆς ῥόου
τῆς ἐρυθρῆς, μέλιτι διεὶς, παχὺ ποιέων
[208] ἐσχρίειν τὴν γλῶσσαν ἔσωθεν ᾗ ἂν οἰδέει· ἔπειτα ἀναζέσας σῦκα ἀποχέας
66 τὸ ὕδωρ, τρίψας τῆς ῥόου ὀλίγην, διῆναι τῷ συκίῳ τούτῳ, καὶ ἀναγαργαρίζειν ἐὰν δύνηται· ἢν δὲ μὴ, διακλύζεσθαι· πίνειν δὲ διδόναι τὸ ἀπὸ τῶν [209] κρίμνων ὕδωρ. Ἔξωθεν δὲ τὸν αὐχένα καὶ τὰ σιηγόνια καταπλάσσειν ἀλήτῳ, ἐν οἴνῳ καὶ ἐλαίῳ ἕψοντα χλιαρῷ, καὶ ἄρτους προστιθέναι θερμούς. Ἀποπυΐσκεται γὰρ ὡς τὰ πολλὰ ἐν τῷ [210] κλήθρῳ· καὶ, ἢν μὲν ῥαγῇ αὐτόματον, ὑγιὴς γίνεται· ἢν δὲ μὴ ῥήγνυται, ψηλαφήσας τῷ δακτύλῳ, ἢν [211] μαλθακὸν ἔῃ, σιδήριον ὀξὺ προσδησάμενος πρὸς τὸν δάκτυλον, τρῆσαι. Ταῦτα ποιήσαντι, πολλοὶ ὑγιαίνουσιν· ἡ δὲ νοῦσος αὕτη, ἥκιστά ἐστι θανατώδης.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῆς σαφυλῆς, καὶ τῶν ἀντιάδων, καὶ τῆς ὑπογλωσσίδος, καὶ τοῦ κατὰ τὴν ὑπερῴαν φλέγματος· καὶ περὶ τῆς τούτων τῶν νοσημάτων θεραπείας.

67 [212] ΣΤαφυλή. Ἢν σαφυλὴ ἐν τῇ φάρυγγι γένηται, ἐμπίπλαται ἄκρος ὁ γαργαρεὼν ὕδατος, καὶ γίνεται σρογγύλος τὸ ἄκρον καὶ διαφανὴς, καὶ ἐπιλαμβάνει τὴν πνοιήν. Καὶ, ἢν φλεγμαίνῃ τὰ σιηγόνια ἔνθεν καὶ ἔνθεν, ἀποπνίγεται· ἢν δὲ αὐτὸ [213] ἐφ' ἑωϋτοῦ γένηται, τούτων μὴ φλεγμηνάντων, ἧσσον ἀποθνήσκει. Ὅταν οὕτως ἔχῃ, λαβὼν τῷ δακτύλῳ τὸν γαργαρεῶνα, ἄνω ἐς τὴν ὑπερῴην ἀποπιέσας, [214] διαταμέειν ἄκρον· ἔπειτα διδόναι ἀναγαργαρίζειν τὸ

VARIÆ LECTIONES.

206 Pro vulgato κλεῖθρον MS. cod. scribit κλῆθρον quod Hippocrati magis familiare est, utpote Ionicum. κλῆθρον autem exponit Galen. in Exegesi ὁ περὶ τὴν κατάποσιν τόπος ὑπὸ τοῖς παρισθμίοις, *locus ad gulam sub tonsillis*, hancque notionem secuti sumus. Calvus non inepte *gutturis aditum* interpretatur, velut gutturis claustrum. Mox τὸν βρόγχον ex MS. Servin. pro τῷ βρόγχῳ.

207 Vatic. & Aldin. exempl. οἰδέει; verum vulgata lectio melior est. Paulo post τοῦ ῥόδου τοῦ ἐρυθροῦ *rosas rubras* legisse videtur Calv.

208 Vulgati codd. ἐγχρίειν τὴν γλῶσσαν ἔσωθεν οὗ ἂν οἰδέῃ· ἔπειτα ἀναζέσας σῦκα καὶ ἀποζέσας ἐς ὕδωρ. Pro quibus MS. cod. ἐχρίειν τὴν γλῶσσαν ἔσωθεν ᾗ ἂν οἰδέει· ἔπειτα ἀναζέσας σῦκα, ἀποχέας τὸ ὕδωρ, quæ lectio vulgata multo meliorem sensum facit, & nos in textum intulimus; nam vulgata implicatissima est. Paulo post in MS. cod. ἐὰν δύνηται ἀναγαργαρίζειν legitur, & Imp. Sambuc. pro καὶ ἀναγαργαρίζειν ἐὰν δύνηται.

209 Imp. Sambuci istud glossema habet: κρίμνα λέγονται τὰ ἁδρομερέστερα τῶν ἀλφίτων id est *κρίμνα vocantur crassiores partes farinæ hordeaceæ.* cui correspondet Galeni expositio in Exegesi. Dioscorid. Libr. II. cap. 12. κρίμνον esse tradit τὸ ἁδρότερον τῇ κατεργασίᾳ τοῦ ἀλεύρου, γινόμενον ἔκ τε ζειᾶς καὶ πυροῦ, ἐξ οὗ ὁ πόλτος γίνεται, *farinam e tritico zeave crassius confectam seu molitam, e qua confici pultes solent.*

210 Sic MS. cod. Ionice pro κλείθρῳ. Mox in eodem ῥηγνύνται scribitur, pro ῥήγνυται.

211 Pro μαλθακὸν ἔῃ, in MS. cod. habetur μαλακὸν ᾖ. Paulo post dicitur τύψαι· τοῖσι πλείστοισι ταῦτα ποιήσαντες, ὑγιέες γίνονται.

212 Hæc epigraphe σαφυλὴ non legitur in MS. cod. In MS. Serv. scribitur περὶ σαφυλῆς. In MS. cod. autem sic habetur ἢν σαφυλὴ γένηται ἐν τῇ φάρυγγι.

319 Pro χρῆσθαι in MS. cod. ſcribitur χρῆσθω eodem ſenſu. Paulo poſt quid ſit οἶνος τορνίος, *vinum tornium*, non abs re erit paucis dilucidare. Dicitur itaque vinum tornium, quaſi per tornum, id eſt, per inſtrumentum ligneum, quod torno factum eſt, expreſſum. Id genus vini antiquiores *tornium* appellabant, & erat illud, quod noviſſime exprimebatur: ſicut primum, quod ex uva compreſſa emittebatur πρότροπον dicebant. Hoc autem ſicuti illo noviſſimo erat dulcius, & ſuavius; ita hoc noviſſimum erat προτρόπῳ auſterius, acerbius, inſuavius: unde potius vim exaſperandi, quam leniendi habebat. Heſychio πρότροπον exponitur τοῦ γλεύκους τὸ πρόχυμα *album muſtum*, quod uvæ, antequam calcentur, profundunt, ſeu effundunt, velut lachrima vinum. Vide ſis Baccii Hiſtor. Vinor. Libr. V. p. m. 222. tali methodo etiam paratur vinum Tockavienſe Ausbruch appellatum.

320 Quid ſit σίον Cratevas tradit πόα θαμνοειδὴς, ὀλίγη, ἔχουσα πολλὰ φύλλα περιφερῆ, *herba fruticoſa, exigua, habens multa folia rotunda.* In ſcaturientium fontium rivis, quorum aquæ hieme calent; æſtate vero frigeſcunt, plerumque naſcitur. Galen. Libr. VIII. de med. ſimpl. facult. virtutum meminit. Vide ſis Dioſcorid. Libr. II. cap. 144. Matthiol. p. m. 377.

321 MS. cod. ἴσον δὲ ἑκάςου inſerta conjunctione δέ.

322 Sic MS. cod. quam lectionem ſecuti ſunt interpretes pro vulg. κνίκης σπέρμα.

323 In MS. cod. καὶ ἐλαίῳ ſcribitur, omiſſo ὀλίγῳ.

324 Pro τῶν ἐγχύτων. Mſc. cod. τῷ ἐγχύτῳ, ſcribit.

325 In MS. Cod. legitur σὺν πάντων, pro μετὰ πάντων; ſed vulgatam prætulimus lectionem.

326 οὐδὲν θαυμαςὸν MS. cod. quæ verba non ſcribuntur in Aſul. & Baſil. codd. ſecuti tamen ſunt interpretes.

327 Sic omnia exemplaria publicata & MS. cod. e contra ῥᾷον Serv. ex MS.

328 ἄλλη νοῦσος: deeſt hæc epigraphe in MS. cod. qui ita legit ὅτ' ἂν ὁ χρόνος πλείων γένηται, ὅ, τε πυρετὸς ἰσχυρότερος.

329 Pro κατακείμενος, MS. cod. ἀνακείμενος.

330 ἐπὶ δὲ τὸ ἀλγέον MS. cod. omiſſo μέρος.

331 τῶν ὀφθαλμῶν eodem ſignificatu MS. cod.

332 βούλεσθαι δ' ἐς τὸν ἀριςερὸν τάμνειν· ἧσσον γὰρ θανατῶδες MS. cod.

333 Poſt ψοφέῃ in MS. cod. ὥςε καταμαθεῖν αὐτὸ non adſcribuntur.

τάμνειν ὡς κατωτάτω, ὄπισθεν τοῦ οἰδήμα-
τος μᾶλλον ἢ ἔμπροσθεν, [334] ὅκως σοι ἡ ἔ-
ξοδος τοῦ πύου εὔροος ᾖ. " Τάμνειν δὲ με- 113
ταξὺ τῶν πλευρέων, [335] στηθοειδέϊ μαχαιρί-
δι τὸ πρῶτον δέρμα· " ἔπειτα [336] ὀξυβε- 114
λέει ἀποδήσας ῥάκει τὸ ἄκρον τῆς μαχαιρί-
δος, λιπὼν ὅσον τὸν ὄνυχα τοῦ δακτύλου τοῦ
μεγάλου, καθεῖναι ἔσω· ἔπειτα ἀφεὶς τὸ
πῦον, ὅσον ἄν σοι δοκέῃ, " μοτοῦν ὠμολίνῳ 115
151 μοτῷ λίνον ἐκδήσας· " ἀφεῖναι δὲ τὸ πῦον,
[337] ἑκάστης ἡμέρης ἅπαξ. " Ἐπὴν δὲ γένη- 116
ται δεκαταῖος, ἀφεὶς ἅπαν τὸ πῦον, ὀθονίῳ
μοτοῦν· ἔπειτα ἐγχεῖν οἶνον καὶ ἔλαιον χλιαί-
νων αὐλίσκῳ, ὡς μήτε ὁ πλεύμων ἐξαπίνης,
[338] ἐωθὼς βρέχεσθαι τῷ πύῳ, ἀποξηρανθῇ·
ἐξιέναι δὲ τὸ ἔγχυμα, τὸ μὲν ἕωθεν ἐς ἑσπέ-
ρην, [339] τὸ δὲ ἐς ἑσπέρην, ἕωθεν. Ἐπὴν
δὲ τὸ πῦον λεπτὸν, οἷον ὕδωρ, ᾖ, καὶ γλί-
σχρον τῷ δακτύλῳ ψαυόμενον, καὶ ὀλί-
γον, ἐντιθέναι μοτὸν κασσιτέρινον κοῖλον·
ἐπὴν δὲ παντάπασι ξηρανθῇ ἡ κοιλίη, ἀ-
ποτάμνων τοῦ μοτοῦ κατὰ μικρὸν, συμφύειν
τὸ ἕλκος, ἔστ' ἂν ἐξέλῃς τὸν μοτόν. Ση-
μήϊον δὲ, " ἢν μέλλῃ ἐκφεύξεσθαι· ἢν μὲν 117
τὸ πῦον ᾖ λευκὸν, καὶ καθαρὸν, καὶ ἶνες αἵ-
ματος ἐνέωσιν, ὡς τὰ πολλὰ ὑγιὴς γί-
νεται· ἢν δὲ οἷον λεκιθοειδὲς ἀποῤῥυῇ τῇ
πρώτῃ, ἢ τῇ ὑστεραίῃ ἀποῤῥυῇ παχὺ, ὑπό-
χλωρον, ὄζον, ἀποθνήσκουσιν ἐπειδὰν ἐκρυῇ
τὸ πῦον.

infima parte post ipsum tumorem potius, quam anteriore secato, quo facilior puri exitus pateat. Primum autem inter costas cutem scalpello lato secato; deinde scalpello acuto panniculo deligato, cujus extremam partem, unguis pollicis magnitudine relictam, intro adigito: postea emisso pure quantum visum tibi fuerit, vulnus linamento ex lino crudo, cui filum alligaris, obducito; quotidie vero pus semel emittito. Postquam autem decimus dies acciderit, toto pure emisso, penicillum ex linteo indito; deinde vinum & oleum tepida per fistulam infundito, ne pulmo pure madescere consuetus derepente resiccetur: infusum autem matutinum sub vesperam, at vespertinum mane educito. At ubi pus tenue velut aqua, & ad digiti contactum glutinosum, ac paucum fuerit, stanneum penicillum cavum indito: quum vero prorsus venter resiccatus fuerit, paulatim resecto penicillo, dum ipsum eximas, vulnus coalescere finito. Signum autem, an sit evasurus æger, esto: si pus album ac purum fuerit, fibræque sanguinis insint, ut plurimum convalescit; at si primo die ovi luteo simile defluat, aut postero die crassum defluat, aliquantum ex virore pallidum, & graveolens, ubi pus effluxerit, moriuntur.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς τοῦ πλευμῶντος φθίσεως, καὶ τῶν ταύτης σημείων τε καὶ ἐπικινδύνων συμπτωμάτων, τῆς τριχῶν ῥύσεως καὶ σιάλων βαρυόδμων, καὶ τῆς θεραπείας.

[340] ΕΤέρα νοῦσος. " Ὅταν [341] πλευμοῖ, 118
τούτου τὸ σίαλον παχὺ, ὑπόχλω-
ρον, γλυκὺ βήσσεται, καὶ βρυγμὸς, καὶ ὀδύνη
ἐς τὸ στέρνον, καὶ ἐς τὸ μετάφρενον, καὶ συρίζει ἐν
τῇ φάρυγγι λεπτὸν, [342] καὶ ἡ φάρυγξ ξηρὴ γί-
νεται· " καὶ τὰ [343] κύλα ἐρυθρὰ, καὶ βαρέη ἡ 119
φωνὴ, καὶ οἱ πόδες οἰδίσκονται· καὶ οἱ ὄνυχες ἕλ-
κονται, καὶ καταλεπτύνονται τὰ ἄνω, καὶ μινύ-
θει· " καὶ [344] μυσάττεται τὸ σίαλον, [345] ἐπὴν 120
ἀποχρεμψάμενος ἔχῃ ἐν τῷ στόματι· καὶ βήσ-
σει τοὺς ὄρθρους, καὶ μεσονυκτίου μάλιστα·

CAPUT XVII.

De tabe ex pulmone affecto, ejusque signis, ac periculosis symptomatis, pilorum defluvio & sputis graveolentibus; ac curatione.

ALius morbus. Quum quis tabescit, huic sputum crassum, aliquantulum ex virore pallescens, & dulce per tussim rejicitur; & stridor, & dolor pectus, & dorsum occupat, & tenuis sibilus in faucibus editur, faucesque siccescunt; cavitates sub oculis rubent, vox gravis est, pedes tument; ungues contrahuntur, partes superiores extenuantur, ac imminuuntur, sputum ore contentum excreaturus detestatur; mane & media nocte maxime tussit;

 tus-

VARIÆ LECTIONES.

334 ὅπως σοι ἡ ἔξοδος τῷ πύῳ εὔροος ᾖ MS. cod.

335 στηθοειδέϊ exponitur Gal. in Exeg. μαχαιρίῳ τῷ σμιλίῳ, *scalpello lato*, pro quo quidam ξιφοειδέϊ μαχαίριδι, *novacula ad instar gladii*, legere malunt.

336 ὀξυβελέϊ ex hoc loco exponit Gal. in Exegesi, μαχαίριδι, ὀξυβελεῖ, τῷ φλιβοτόμῳ, *cultello acuto phlebotomo*.

337 ἅπαξ τῆς ἡμέρης MS. cod. omisso ἑκάστης.

338 Pro εἰωθὼς, in MS. cod. scribitur ἐωθῶς Ionice, quod sequimur.

339 τὸ δ' ἑσπερινὸν MS. cod. In MS. Servin. τὸ δὲ ἑσπέρην.

340 ἑτέρη νοῦσος deest hæc epigraphe in MS. cod.

341 πλευμοῖ, τὸ σίαλον παχὺ MS. cod. quam lectionem adhibuisse videtur Gal. in Exegesi, cum πλευμοῖ, non autem πλευμᾷ, exponit πλευμώδης γίνεται, ἢ φθίνει, *pulmonarius fit, vel tabescit*, atque ita legendum esse videtur: nam in præcedentibus dixerat, ὅταν ἐκ περιπλευμονίης ἔμπυος γένηται. Unde πλεῦμος dicitur φθόη, ἢ τὸ πλευμῶδες πάθος. Vide Foesii Oeconom. voce πλευμᾶν.

342 καὶ ἡ φάρυγξ σκληρὴ γίνεται MS. cod.

343 κύλα ἐρυθρὰ, pro κοῖλα ἐρυθρὰ vulg. MS. cod. quem sequimur. Κύλα Hesychio exponitur τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς μῆλα, τὰ ὑπώπια, *cavitates oculorum, quæ palpebris subsunt*, quæ & κυλάδες dicuntur.

344 μυσάττεται exponit Hesych. δυσχεραίνει. Calvus autem μυξάττεται legisse videtur, ut sit veluti in mucum convertit, quam expositionem Merc. secutus est.

345 Imp. Corn. καὶ ἀποχρεμψάμενος.

tussit & alio tempore; hicque morbus juvenculam mulierem potius, quam vetulam, invadit. Huic si jam capilli ex capite defluant, caputque velut ex morbo jam nudetur, & super prunas expuenti sputum graviter oleat, hunc intra breve tempus periturum asserito, & quod enecet, alvi profluvium fore. Ubi enim jam pus circa cor putruerit, id prunis impositum nidorem exhalat, & una incalescens cerebrum salsuginem emittit, quæ alvum ciet; hujus rei signum est, quod capilli ex capite defluant. Hunc, quum ita habuerit, ne curato: at si per initia hunc morbum offenderis, lenticulæ cremorem propinato; deinde intermisso uno die, veratrum ita temperatum, ut ne inferiorem alvum cieat, exhibeto: quumque noctu ad os salsugo ipsi devenit, crebriora ei medicamenta ad nares admoveto: sed si non fluat, admoveto quidem, sed ex majore intervallo, & semel in mense, veratro quantum duobus digitis tolli potest, in vino dulci temperato, insuper epoto. Lenticulæ vero decoctum confestim inde bibendum dato: medicamenta autem purgantia, nisi eum febres acutiores prehendant, quam paucissima bibat: dracunculi radicem albam & veratri delingat, non tamen ex melle; sic enim minime alvum movebit. Quod si tormina in alvo inferiore suboriantur, eam primum quidem ex infuso, in quod coccus cnidius commiscetur, subluito: quod si neque sic sedentur, lacte asinino cocto purgato, medicamentum autem deorsum purgans ne exhibeto. Si vero ante lentis decoctum epoto veratro bilem vomat, ipso lentis decocto assumpto vomat. Cibis autem utatur, nisi febres acutæ detineant, carnibus ovillis elixis, & volucrium, cucurbita, & betis: jusculum ne sorbeat, neque ad intinctus utatur. Piscibus autem utatur scorpiis, & cartilagineis coctis, calidum vero nihil edat; neque lavet, si multa febris detineat: neque oleribus acribus utatur, excepta satureia, aut origano; vinum vero album bibat. At si febris sit expers, calores autem alias atque alias corripiant, pisces quam optimos ac pinguissimos edat, & pinguia, & dulcia, & salsa quam maxime: deambulationibus utatur, neque in vento, neque in Sole: & a cibis, quum tempestivum visum fuerit, vomat; tepidaque lavet, capite excepto.

βήσσει τὲ καὶ τὸν ἄλλον χρόνον· καὶ ' λαμ-
βάνει μᾶλλον γυναῖκα νεωτέρην, ἢ πρεσβυ-
121 τέρην. " Τούτῳ, ἢν μὲν αἱ τρίχες ἤδη ἐκ
τῆς κεφαλῆς ῥέωσι, καὶ ψιλῶται ἤδη ἡ κε-
φαλὴ ὡς ἐκ νούσου, καὶ πτύοντι ἐπ' ἄνθρα-
κας, βαρὺ ὄζῃ τὸ σίαλον, φάναι αὐτὸν
ἀποθανεῖσθαι ἐντὸς ὀλίγου χρόνου· τὸ δὲ
κτεῖνον ἔσεσθαι διάῤῥοιαν. Ἐπὴν γὰρ ἤδη
τὸ πῦον, τὸ περὶ τὴν καρδίην, σήπηται, τοῦ-
το ὄζει κνίσης ἐπὶ τοῖσιν ἄνθραξι, καὶ ξυν-
θερμαινόμενος ὁ ἐγκέφαλος [346] ῥεῖ ἅλμην,
122 " ἢ κινεῖ τὴν κοιλίην· σημήϊον δὲ τούτου,
123 ῥέουσιν ' ἐκ τῆς κεφαλῆς τρίχες. " Τοῦ-
τον μὴ ἰᾶσθαι, ὅταν οὕτως ἔχῃ· ἢν δὲ κα-
ταρχὰς ἐπιτύχῃς τῇ νούσῳ, φάκιον δὸς
πιεῖν· εἶτα, διαλιπὼν μίην ἡμέρην, ἐλλέβο-
ρον δοῦναι [347] κεκρημένον, ὅκως τὴν κάτω
κοιλίην μὴ κινήσῃ· καὶ, ἐπὴν ἐς τὸ στόμα
τῆς νυκτὸς αὐτῷ φοιτᾷ ἅλμη, πρὸς τὰς
ῥῖνας αὐτῷ προστίθει φάρμακα πυκνότερα·
[348] ἢν δὲ μὴ ῥέει, προστίθει μὲν, διὰ πλέο-
νος δὲ χρόνου, καὶ τοῦ μηνὸς ἅπαξ, προσ-
πιπίσκοντα ἐλλέβορον, [349] ὅσον τοῖσι δα-
κτύλοισιν δύο ἆραι, ἐν οἴνῳ γλυκεῖ ' κεκρη-
μένον· φάκιον δὲ αὐτίκα διδοὺς ἐπιπίνειν.
Φάρμακα δὲ ὡς ἐλάχιστα πινέτω, [350] ἢν μὴ
αὐτὸν οἱ πυρετοὶ ὀξύτεροι ἐπιλαμβάνωσι·
124 " τὴν ῥίζαν τὴν [351] λευκὴν καὶ τοῦ ἐλλε-
βόρου λείχειν, [352] ἐν μέλιτι δὲ οὔ· οὕτω
γὰρ ἥκιστα τὴν κοιλίην κινήσει. Ἢν δὲ
στρόφος ἐγγένηται ἐν τῇ κάτω κοιλίῃ, πρῶ-
τον μὲν κλύσαι ἐκείνῳ, ἐς ὃ ὁ κόκκος συμ-
μίσγεται· ἢν δὲ μηδ' οὕτω παύηται, γά-
λακτι ὀνείῳ ἑφθῷ κάθηρον· φάρμακον δὲ
μὴ δίδου κατωτερικόν. Ἢν δὲ πρὸ τοῦ
[353] φακίου ' προπίνων τὸν ἐλλέβορον, [354] χο-
λὴν ἐμέει, αὐτῷ τῷ φακίῳ ἐμεέτω. Σι-
125 τίοισι δὲ χρήσθω, " [355] ἢν μὴ οἱ πυρετοὶ
ὀξέες ἔχωσι, κρέασι μηλείοισιν ἑφθοῖσι,
καὶ ὀρνιθίοισι, καὶ κολοκύνθῃ, καὶ τεύτλοι-
σι· ζωμὸν δὲ μὴ ῥοφεέτω, μηδὲ βάπτεσθαι.
Ἰχθύσι δὲ χρήσθω, σκορπίοισι καὶ σελά-
χεσιν ἑφθοῖσι· θερμὸν δὲ μηδὲν ἐσθιέτω,
μηδὲ λουέσθω, ἢν ὁ πυρετὸς ἔχῃ πουλὺς,
μηδὲ λαχάνοισι δριμέσι χρήσθω, ὅτι μὴ
θύμβρῃ ἢ ὀριγάνῳ· οἶνον δὲ λευκὸν πινέτω.
126 " Ἢν δὲ ἄπυρος ᾖ, θέρμαι ' δὲ λαμβάνωσιν
ἄλλοτε καὶ ἄλλοτε, ἐσθιέτω ἰχθῦς ὡς ἀρίστους
καὶ πιοτάτους, καὶ λιπαρὰ καὶ γλυκέα, καὶ ἀλ-
μυρὰ ὡς μάλιστα· καὶ περιπάτοισι χρήσθω,
μήτε ἐν ἀνέμῳ, μήτε ἐν ἡλίῳ· καὶ ἐμεέτω
ἀπὸ τῶν σιτίων, ὅταν οἱ δοκέῃ καιρὸς εἶναι·
καὶ λοῦσθαι χλιαρῷ, πλὴν τῆς κεφαλῆς.
Σι-

VARIÆ LECTIONES.

346 ῥαγῇ ἅλμην ex MS. Servin. Nos vulgatam retinuimus lectionem, quæ & in MS. cod. adscribitur.
347 κεχειμένον Imp. Samb. sed puto, mendose.
348 In MS. cod. legitur: ἢν δὲ μὴ ῥέῃ.
349 ὅσον τοῖσι δυσὶ δακτύλοισιν ἆραι ἐν οἴνῳ γλυκεῖ κεκρημένον· φάκιον δ' αὐτίκα δοῦναι ἐπιπίνειν MS. cod.
350 ἢν μὴ, omisso αὐτὸν, MS. cod.
351 λευκὴν ῥίζαν exponit Galen. in Exeg. τὴν τοῦ δρακοντίου.
352 ἐν μέλιτι δίδου MS. cod. scribit, pro ἐν μέλιτι δὲ οὔ.
353 Pro φαρμακίου vulgato, MS. cod. φακίου, quem sequimur, multo meliori sensu; hinc non absque ratione Ald. exempl. asteriscum hic apponunt, nam omnia exemplaria vitiosa φαρμακίου scribunt.
354 χολὴν ἐμέῃ, αὐτῷ τῷ φακίῳ ἐμεέτω MS. cod. scribit.
355 Pro ἢν μὲν, ex MS. cod. ἢν μὴ scripsimus, eamque lectionem adhibuit Calvus, & probat Martianus p. m. 178.

Σιτίων δὲ ἄρτος ἀμείνων, ὅσοι μὴ μαζοφάγοι εἰσί· τούτοισι δὲ ἀμφότερα συμμίσγειν.

Ex cibariis panis melior, iis qui maza non victitant; his vero utraque commiſceto.

SECTIO III.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς φθόης, καὶ περὶ τῶν τῆς σύριγγος τοῦ πνεύμονος ἀφθῶν, καὶ τῆς ἀμφοτέρων διαγνώσεως, καὶ προγνώσεως, καὶ θεραπείας.

[356] Ἑτέρη νοῦσος, ἥτις καλέεται φθόη. Βὴξ ἔχει, καὶ τὸ πτύσμα πολλὸν καὶ ὑγρόν· καὶ ἐνίοτε ῥηϊδίως ἀναβήσσεται καὶ τὸ πῦον, [357] οἷον χάλαζα, καὶ διατριβόμενον ἐν τοῖσι δακτύλοισι, σκληρὸν καὶ κάκοδμον γίνεται· ἡ δὲ φωνὴ καθαρὴ, καὶ ἀνώδυνος, καὶ οἱ πυρετοὶ οὐ λαμβάνουσι· θέρμη δὲ ἐνίοτε, ἄλλως τε καὶ ἀσθενής. Τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν καὶ φάκιον, καὶ εὐωχέειν ὡς μάλιστα [358] καὶ ἀπεχόμενον τῶν δριμέων, καὶ κρεῶν βοείων, καὶ χοιρείων, καὶ [359] οἰείων· καὶ γυμνάζεσθαι ὀλίγα, καὶ περιπατέειν· καὶ ἀπὸ σιτίων ἐμέτοισι χρῆσθαι, καὶ λαγνείης ἀπέχεσθαι. Αὕτη ἡ νοῦσος γίνεται ἑπτὰ ἔτεα ἢ ἐννέα· οὗτος, ἢν ἐξ ἀρχῆς θεραπευθῇ, ὑγιὴς γίνεται. [360] Ἄλλη νοῦσος. Ἢν ἀφθήσῃ ἡ σύριγξ τοῦ πλεύμονος, [361] πυρετὸς ἴσχει βληχρὸς, καὶ ὀδύνη μέσον τὸ στῆθος, καὶ τοῦ σώματος κνησμὸς, καὶ ἡ φωνὴ βραγχώδης, καὶ τὸ σίαλον ὑγρὸν καὶ λεπτὸν πτύει· ἐνίοτε δὲ παχὺ καὶ οἷον πτισάνης χυλόν· καὶ ἐν τῷ στόματι ὀδμὴ οἱ ἐγγίνεται βαρείη, οἷον ἀπὸ ἰχθύων ὠμῶν, καὶ
152 ἄλλοτε καὶ ἄλλοτε ἐν τῷ σιάλῳ ἐμφαίνεται σκληρὰ, οἷον μύκης ἀφ' ἕλκεος· καὶ 127
τὰ ἄνω λεπτύνεται, μάλιστα δὲ ἅπας, καὶ οἱ [362] κύκλοι τοῦ προσώπου ἐρυθριῶσι, καὶ οἱ 128
ὄνυχες τῷ χρόνῳ ἕλκονται, καὶ ξηροὶ καὶ χλωροὶ γίνονται. Τελευτᾷ δὲ αὐτίκα, ἢν μὴ θεραπευθῇ, αἷμα [363] πτύων καὶ πῦον· 129
ἔπειτα καὶ πυρετοὶ ἰσχυροὶ ἐπιγινόμενοι 130
αὐτὸν ἔκτειναν· ἢν δὲ θεραπευθῇ, [364] ἐκφυγγάνει ἐκ ταύτης τῆς φθίσιος. Θεραπεύειν δὲ χρὴ, φάκια πιπίσκοντα ἐμέειν· ἢν δέ σοι καιρὸς δοκέῃ εἶναι, ἐλλέβορον πιπίσκειν· [365] ἢν μὲν δυνατὸς ἔῃ ὁ ἄνθρωπος, αὐτόθι· ἢν δὲ μὴ, παραμίσγειν τῷ φακίῳ ἥμισυ πόσιος, διαλείπων ἐν πέμπτῃ ἢ ἐν ἕκτῃ πόσει. Τὴν δὲ κάτω κοιλίην μὴ κινέειν φαρμάκῳ, ἢν μὴ οἱ πυρετοὶ λαμβάνωσιν ἰσχυροί· ἢν δὲ μὴ λαμβάνωσι, γάλακτι ὄνου ὑποκαθαίρειν. [366] Ἢν δὲ

CAPUT XVIII.

De tabe pulmonis, de fervido ulcere fiſtulæ pulmonis, utrarumque dignotione, prognoſi, & curatione.

ALius morbus, qui tabes vocatur. Tuſſis vexat, & ſputum copioſum ac liquidum; interdumque facile per tuſſim rejicitur etiam pus, veluti grando, quod dum digitis conteritur, durum & graveolens eſt: vox autem pura eſt & doloris expers, neque febres corripiunt; ſed quandoque calor, & alioqui debilis eſt. Huic veratrum bibendum eſt, & lentis decoctum, & large cibus ſumendus, dum ab acribus, carnibus bubulis, ſuillis, & ovillis, abſtineat: exercitetur modice, & deambulet, & a cibis vomitu utatur, & a venere abſtineat. Morbus hic per ſeptem aut novem annos durat; quod ſi æger per initia curatus fuerit, ſanus evadit. Alius morbus. Si pulmonis fiſtula ulcere fervido, & ſuperficiario laborarit, febris imbecillis detinet, & medium pectus dolor, & corporis pruritus adeſt, & vox rauca, ſputum liquidum ac tenue ſpuit, interdum etiam craſſum, ac velut ptiſanæ ſuccum: in ore quoque gravis odor, ut a piſcibus crudis oboritur, & alias atque alias in ſputo dura, velut fungus ab ulcere, apparent; ſuperiores partes attenuantur, atque adeo totus homo, malæ faciei rubent, ungues temporis ſucceſſu contrahuntur, aridi & ex virore pallidi fiunt. Quam primum autem moritur, ſanguinem & pus expuens, niſi curetur. Poſtea etiam vehementes ſubortæ febres ipſum interficerent: at ſi curatus fuerit, ex hac tabe ſalvus evadit. Curare autem oportet, ut epotis lenticulæ decoctis vomat: quod ſi occaſio tibi apparuerit, veratrum per ſe, ſi quidem homo viribus polleat, propinato; ſin minus, dimidium potionis ad lenticulæ decoctum admiſceto, ita ut quinta aut ſexta potione deſinat. Ventrem autem inferiorem, niſi febres vehementes prehenderint, medicamento purgante ne agitato: quod ſi non prehenderint, lacte aſinino per inferiora purgato. Si vero adeo

VARIÆ LECTIONES.

356 Pro hac epigraphe ἑτέρη νοῦσος, MS. cod. ἄλλη φθόη. Servin. ex MS. ἄλλη νοῦσος φθόης.
357 οἷον χάλαζα τὸ πῦον MS. cod.
358 Sic MS. cod. & Imp. Sambuci, inſerta particula καί.
359 Pro οἰείων in MS. cod. ſcribitur ὀΐων.
360 ἄλλη νοῦσος non adſcribitur hæc epigraphe in quibusdam exemplaribus. At in MS. cod. habetur.
361 πυρετὸς ἴσχει ἰσχυρὸς, *febris detinet vehemens* MS. cod. quam lectionem prætulimus, pro vulgatis πυρετὸς ἴσχει βληχρός.
362 κύκλοι προσώπου exponit Gal. in Exegeſi τὰ μῆλα, genas.
363 Sic MS. cod. pro πτύων, quod paſſim legitur in quibusdam exemplaribus.
364 πλεῖστοι MS. cod. habet ἐκφυγγάνουσι.
365 ἢν μὲν δυνατὸς ᾖ ὁ ἄνθρωπος, αὐτόθεν ſcribit MS. cod.
366 ἢν δ' ἀσθενὴς ᾖ, pro ἢν δὲ ἀσθενέῃ, MS. cod.

adeo debilis sit, ut bibere nequeat, (per clysterem) subluito; caput autem minus (moveas:) quod si sputum quidem copiosum & salsum ad os defluat, naribus, quod bilem minime ducat, apponito: si vero fluxio ad os non eat, capiti nihil adhibeto. Quum autem sputum graveolens fuerit, intermediis inter lenticulæ decoctum diebus, medicamentum in pulmones infundito; intermisso vero uno die, suffito. Cibis utatur, carnibus ovillis & volucrium, piscibus cartilagineis, & scorpiis coctis: quarto quoque die salsamentum quam optimum & maxime pingue comedat, in prandio quidem mazam sumat, in cœna vero huic panem admisceat, neque quicquam sorbeat, neque cyceonem bibat, si comedere possit. Opsonia sesamo pro tritico condita, & coriandro & anetho comedat: silphio ne utatur, neque ullo alio olere acuto, præterquam origano, aut thymo, aut ruta. Deambulationibus autem ante & post cibum utatur, vitatis vento & sole; a crapula & venere abstineat; tepida lavet, capite excepto, quod quam rarissime (lavet.)

131 ἀσθενήσῃ ὥςε πίνειν, [367] ὑποκλύσαι· ἧσσον δὲ κεφαλήν· καὶ, ἢν μὲν τὸ σίαλον ἐς τὸ ςόμα ἴῃ πολλὸν, καὶ ἁλμυρὸν, πρὸς τὰς ῥῖνας προσθεῖναι ὅ, τι χολὴν μὴ [368] ἄξει· ἢν δὲ μὴ ἴῃ τὸ ῥεῦμα ἐς τὸ ςόμα, μὴ προςιθέναι πρὸς τὴν κεφαλήν. Ἐπὴν δὲ τὸ σίαλον δυσῶδες ᾖ, τὰς μεταξὺ τῶν φακίων ἐγχεῖν ἐς τὸν πλεύμονα φάρμακον· μίην δὲ διαλιπὼν, ἐπὴν ἔχῃς ἡμέρην, θυμιᾷν. Σιτίοισι δὲ [369] χρῆσθαι, κρέασι μηλείοισι καὶ ὀρνιθίοισι, καὶ ἰχθύσι σελάχεσι, καὶ σκορπίοισιν ἑφθοῖσι· διὰ τετάρτης ἡμέρης τάριχον ἐσθιέτω ὡς ἄριςον καὶ πιότατον, καὶ ἀριςάτω μὲν μάζαν· δειπνεέτω δὲ ταύτῃ συμμίσγων καὶ ἄρτον· καὶ μήτε ῥοφανέτω μηδὲν, μήτε κυκεῶνα πινέτω, ἢν ἐσθίειν δυνατὸς ᾖ. Τὰ δ' ὄψα ἡδύνειν, καὶ ἐσθίειν, σησάμῳ ἀντὶ τοῦ πυροῦ, καὶ κοριάνῳ, καὶ ἀνήθῳ· σιλφίῳ δὲ μηδὲν χρῆσθαι, μηδὲ τινι ἄλλῳ λαχάνῳ δριμεῖ, ὅτι μὴ ὀριγάνῳ, ἢ θύμῳ, ἢ πηγάνῳ. Περιπάτοισι δὲ χρήσθω, καὶ πρὸ τοῦ σιτίου, καὶ μετὰ τὸ σιτίον, φυλασσόμενος τὸν ἄνεμον καὶ τὸν ἥλιον· θωρηξίων ἀπεχέσθω καὶ ἀφροδισίων· λούσθω δὲ χλιαρῷ, πλὴν τῆς κεφαλῆς· ταύτην δὲ ὡς διὰ πλείςου χρόνου.

CAPUT XIX.

Tabes dorsalis; ejus ortus, causæ, signa, curatio; ac de pulmonis morbo, quo pulmonarii vocantur ægri.

Tabes dorsalis. Tabes dorsalis a spinali medulla oritur, maxime vero recentes sponsos, & libidinosos corripit: febris sunt expertes, bene comedunt, & colliquantur. Quod si ita affectum perconteris, dicet sibi videri ex superioribus partibus a capite velut formicas in spinam descendere; quumque urinam aut stercus reddit, ipsi semen genitale copiosum & liquidum prodit, neque genitura intus concipitur, & inter dormiendum, cum uxore dormiat, nec ne, semen profundit. Quumque tum alias, tum præcipue per locum arduum iter fecerit aut cucurrerit, anhelatio, ac imbecillitas ipsum prehendit, & capitis gravitas, & aures sonant. Hic temporis progressu vehementibus febribus correptus, perit ex lipyria febre. Quum ita habuerit, si per exordia curandum susceperis, fomento toti corpori admoto, medicamentum per superiora purgans bibendum dato,

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Φθίσις νωτιὰς, καὶ ἡ αὐτῆς γένεσις, καὶ αἰτίαι, καὶ σημεῖα, καὶ θεραπεία· καὶ περὶ τοῦ πνεύμονος νόσου, καθ' ἣν περιπνευμονικοὶ οἱ νοσοῦντες καλοῦνται.

Φθίσις νωτιάς. Ἡ νωτιὰς φθίσις ἀπὸ τοῦ μυελοῦ γίνεται· λαμβάνει δὲ μάλιςα νεογάμους, καὶ φιλολάγνους· γίνονται δὲ [370] ἄπυροι, καὶ ἐσθίειν ἀγαθοὶ, καὶ τήκονται. Καὶ, ἢν ἐρωτᾷς αὐτὸν, φήσει

132 [371] οἱ ἄνωθεν ἀπὸ τῆς κεφαλῆς κατὰ τὴν ῥάχιν [372] κατέρχεσθαι δοκεῖν οἷον μύρμηκας· καὶ, [373] ἐπὴν οὐρέῃ, ἢ ἀποπατέῃ, προέρχεται οἱ θορὸς πουλὺς

133 καὶ ὑγρός· καὶ γενεὴ οὐκ ἐγγίνεται, καὶ ὀνειρώσσει, κἢν συγκοιμηθῇ γυναικὶ, κἢν μή. Καὶ, ὅταν ὁδοιπορήσῃ ἢ

134 δράμῃ, ἄλλως τε καὶ πρὸς αἶπος, ἆσθμά μιν καὶ ἀσθενείη [374] λαμβάνει, καὶ τῆς κεφαλῆς βάρος, καὶ τὰ ὦτα ἠχέει. Τοῦτον ἐν τῷ χρόνῳ, ὅταν

135 ἐπιλάβωσιν πυρετοὶ ἰσχυροὶ, ἀπώλετο [375] ὑπὸ λειπυρίου. Ὅταν οὕτως ἔχῃ, ἢν ἐξ ἀρχῆς μεταχειρίσῃ, πυριάσας αὐτὸν ὅλον, φάρμακον δοῦναι πίνειν ἄνω, καὶ

VARIÆ LECTIONES.

367 Ab ὑποκλύζαι deest pagina in codice, quæ abscissa pertingebat usque ad lineam 30. ad verbum γαλακτοποτέιν.
368 ἄξει deest in MS. Servini.
369 Pro vulgato χρῆσθαι in MS. Serv. & Imp. Samb. legitur χρήσθω.
370 Quædam exemplaria ἄπτιροι, minus recte scribunt. In Imp. Sambuci & Serv. ἄπυροι legitur, quam lectionem adhibuimus cum Charterio.
371 Pro οἱ ἄνωθεν vulg. MS. cod. Servin. ἄνωθεν αὐτῷ scribit.
372 ὁδοιπορέειν, *ambulare*, Imp. Samb. & ex MS. Servin. pro κατέρχεσθαι.
373 Sic cum Foesio legimus pro ἔπος.
374 Pro λαμβάνει, Imp. Samb. scribit ἐπιλάμβανει.
375 ὑπὸ λύπης, *præ moerore*, Vatican. exempl. & Calvus.

καὶ μετὰ τοῦτο τὴν κεφαλὴν καθῆραι· μετὰ δὲ, πίσαι κάτω· (ἐγχειρέειν δὲ βούλεσθαι μάλιστα τοῦ ἦρος·) καὶ μετὰ πίσαι ὀῤῥὸν ἢ γάλα ὄνειον. Βόειον δὲ γάλα διδόναι πιέειν τεσσαράκοντα ἡμέρας· ἐς ἑσπέρην δὲ, ἕως ἂν [376] γαλακτοποτέοι, χόνδρον διδόναι ῥοφεῖν· σιτίων δὲ ἀπεχέσθω· ἐπὴν δὲ παύσηται γαλακτοποτέων, σιτίοισι διακομίζειν αὐτὸν μαλθακοῖσιν ἐξ ὀλίγου ἀρχόμενος, καὶ [377] παχύνειν ὡς μάλιστα. Καὶ ἐνιαυτοῦ θωρηξίων ἀπεχέσθω, καὶ ἀφροδισίων, καὶ ταλαιπωριέων, ὅτι μὴ περιπάτοισι, φυλασσόμενος τὰ ψύχεα, καὶ τὸν ἥλιον· λούσθω δὲ χλιαρῷ. [378] Πλεύμονος νοῦσος. Τὸ σίαλον παχὺ καὶ [379] λιγνυῶδες βήσσεται, καὶ ἡ χροιὴ μέλαινα καὶ ὑποιδαλέη, καὶ ὀδύναι λεπταὶ ὑπὸ τὸ στῆθος καὶ
ὑπὸ τὰς ὠμοπλάτας, " [380] καὶ δυσελκέες 136
γίνονται· ἧσσον δ' ἐπικίνδυνος [381] τοῦ ἑτέρου οὗτος, καὶ ἐκφυγγάνουσι πλέονες. Τοῦτον χρὴ ἐλλέβορον πιπίσκειν, καὶ αὐτὸν καὶ τοῖσι φακίοισι μίσγοντα· καὶ ἐγχέειν εἰς τὸν πλεύμονα, καὶ θυμιᾷν, καὶ εὐωχέειν ἀπε-
χόμενον κρεῶν βοείων, " [382] καὶ οἰείων, καὶ 137
χοιρείων, καὶ λαχάνων δριμέων, ὅτι μὴ ὀριγάνῳ ἢ θύμβρῃ. Καὶ περιπάτοισι [383] χρή-
σθω, " ἐξ ἠοῦς δὲ [384] πρὸς αἶπος ὁδοιπορέειν 138
νῆστιν· ἔπειτα πίνειν τῶν φύλλων ἐπ' οἴνῳ ἐπιπάσσοντα κεκρημένῳ. Τὸ δὲ λοιπὸν σιτίοισι χρήσθω τοῖσιν εἰρημένοισιν.

posteaque caput purgato; deinde vero deorsum purgans exhibeto: at curationem vere maxime aggredi velis; posteaque serum aut lac asininum propinato. Lac vero bubulum per quadraginta dies bibendum exhibeto: vesperi autem, quamdiu lac potat, alicam sorbendam dato; a cibis autem abstineat: quum vero a lactis potu cessaverit, mollibus cibis, a paucis initio ducto, eum reficito, & quam maxime pinguem reddito. Per annum crapula, venere, & immoderatis exercitationibus abstineat; præterquam deambulationibus, in quibus frigora, & solem vitet: tepida autem lavet. Pulmonis morbus. Sputum crassum ac fuliginosum tussi rejicitur, color niger est, subturgescit, dolores leves sub pectore & scapulis (detinent,) & ulcera his ægre sanescunt: hic morbus superiore minus periculosus est, & plures evadunt. Hunc veratrum & per se, & lentis decocto admixtum bibere oportet; in pulmonem etiam infundere, & suffitibus uti, & liberaliter cibum sumere, dum carnibus bubulis, ovillis, & suillis abstineat, & oleribus acribus; præterquam origano & satureia. Deambulationibus utatur, mane vero jejunus ad arduum locum iter faciat: deinde folia (hortensia condimentis usurpata) vino temperato aspersa bibat. Cæterum cibis commemoratis utatur.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ἀρτηρία τρωθεῖσα, ῥηγματίας πνεύμονος, ἀορτρα τοῦ πνεύμονος σπασθέντα· καὶ τὰ τούτων τῶν παθημάτων σημεῖα, καὶ προγνωστικὰ, καὶ βοηθήματα.

[385] ΑΡτηρίη τρωθεῖσα. Ἣν τρωθῇ ἡ ἀρτηρίη, βὴξ ἔχει καὶ αἷμα βήσσεται, καὶ λανθάνει ἡ φάρυγξ πιμπλαμένη τοῦ αἵματος, καὶ ἐκβάλλει θρόμβους, καὶ ὀδύνη γίνεται ἐκ τοῦ στήθεος ἐς τὸ μετάφρενον ὀξείη, καὶ τὸ σίαλον γλίσχρον καὶ πολὺ, καὶ ἡ φάρυγξ ξηρὴ, " καὶ
πυρετὸς καὶ ῥῖγος ἐπιλαμβάνει, " [386] καὶ κέρχνε- 139
ται ἡ φάρυγξ, οἷον ὑπὸ λιπαροῦ· ἔστε μὲν πεντεκαίδεκα ἡμέρας πάσχει τοιαῦτα. Μετὰ
δὲ πῦον πτύει " [387] καὶ οἷον ἕλκεος κρότωνας, 140
καὶ αὖθις βὴξ, καὶ ἐῤῥάγη οὖν τὸ αἷμα, καὶ μετὰ, τὸ πῦον παχύτερον πτύει, καὶ ὁ πυρετὸς ἰσχυρότερος γίνεται, καὶ τελευτᾷ ἐς πλεύμονα,

CAPUT XX.

Arteria vulnerata, pulmonis ruptio, convulsæ pulmonis fibræ; eorumque affectuum signa, prognostica, remedia.

ARteria vulnerata. Si arteria vulnerata fuerit, tussis detinet, sanguis tussi expuitur, fauces latenter sanguine implentur, sanguinis grumos rejicit; dolor acutus ex pectore ad dorsum permeat, sputum glutinosum est & copiosum, fauces siccæ, & febris & rigor corripit, fauces strident, velut a pingui aliquo; & hæc ad dies quindecim patitur: Postea vero pus expuit, ac veluti ulceris frustula ricinis similia; & rursus tussis, & sane sanguis erumpit, posteaque pus crassius expuit; febris vehementior evadit, & in pulmonem desinit, vo-

VARIÆ LECTIONES.

376 Hic denuo incipit MS. cod. γαλακτοποτέη.
377 Pro παχύνειν, MS. cod. παχύναι scribit eodem sensu.
378 πλεύμονος MS. cod. omisso νοῦσος.
379 λιγνώδης vulgati codd. At λιγνυώδης ex MS. cod. emendavimus, ut & Lindenus habet.
380 καὶ δύσπνοοι, *& difficile spirantes* legisse videtur Calvus. Lindenus vero δυσειδέες.
381 Pro τοῦ ἑτέρου, MS. cod. τοῦ ξηροῦ.
382 Pro καὶ οἰείων, MS. cod. καὶ ὑῶν, MSS. vero Regia quædam ὑείων.
383 χρῆσθαι pro χρήσθω ex MS. Servinus scribit.
384 In MS. Cod. ΠΡΟΣΑΙΠΟΣ legitur, quam lectionem sequimur, legendo πρὸς αἶπος disjunctim, pro πρὸς ἔπος vulgato, quod mendosum est. In Imp. vero Samb. πρὸς ἑσπέρην, *ad vesperam*, quam lectionem sequitur Calvus, hoc sensu, ut mane ad vesperam usque jejunus iter faciat.
385 Hæc epigraphe ἀρτηρίη τρωθεῖσα abest in MS. cod.
386 καὶ κέρχνεται MS. cod. eodem sensu.
387 καὶ οἷον ἕλκεος κρότωνας MS. cod. quod probamus, pro vulg. καὶ οἷα ἕλκεος κρότωνες. Cæterum κρότωνας ex hoc loco exponit Gal. in Exegesi, τὰ ἐν τῷ πνεύμονι χονδρώδη βρόγχια, *cartilaginea pulmonum bronchia*.

vocaturque pulmone ruptus. At, si post primum sanguinem pus non expuat, a laboribus & exercitiis quiescere oportet, & in vehiculum non conscendere, ac cibis salsis, unguinosis, pinguibus, & acribus oleribus abstinere. Quumque ipse optime corpore sese habere videbitur, pectus & dorsum, vicissim utrumque, inurito. Ulceribus curatis, per annum ebrietate abstineat, non impleatur supra modum, neque manibus vehementer laboret, neque vehiculum conscendat; sed quam maxime crassum corpus ipse reddat. Fibræ pulmonis convulsæ. Quum pulmonis fibræ convulsæ fuerint, sputum album, interdumque cruentum expuit, delirat, & febris tenet, & dolor pectus, & dorsum, & latus; & si se vertat, tussit & sternuit. Huic, qua parte dolor detinet, calentes fotus admoveto; centaurium, daucum, salviæ folia trita, melle & aceto affusis, præsorbenda dato & aquam insuper sorbendam. Ptisanæ etiam succum ante sorbeat, & vinum aquosum superbibat. Quum vero dolor quieverit, salviam tusam & cribratam, hypericum, & erysimum lævigata, cum polenta, pari singula portione, vino temperato admixta, jejuno bibenda exhibeto: at, si jejunus non fuerit, leguminis fresi decoctum salis expers sorbendum dato. Si vero æstus fuerit, cibis quam mollissimis, insulsis, & minime nidorosis utatur; quum jam moderate corpus, & pectus, & dorsum se habuerit. Quod si ambæ pulmonis fibræ convulsæ fuerint, tussis detinet, sputum crassum & album spuitur, dolor vehemens ad pectus, & sub scapulis occupat; latus ardor detinet, & pustulis rubentibus impletur, pruritus vexat, neque sedere, neque jacere, neque stare sustinet; sed animo angitur. Hic quarto plerumque die moritur; quem si effugerit, ne sic quidem spes multa superest, cum & septimo die periculum adsit; quem si superaverit, convalescit. Hunc, quum ita habuerit, bis die calida multa lavato; quumque dolor detinet, fotus calentes admoveto; & mel & acetum propinato, succumque ptisanæ sorbendum, & vinum album vinosum superbibendum. Quod si

141 ″ καὶ καλέεται ῥηγματίας πλεύμονος. Ἢν δὲ
μετὰ τὸ πρῶτον αἷμα μὴ πτύσῃ πῦον, παυ-
σάμενον χρὴ ταλαιπωρίης καὶ γυμνασίων, καὶ
ἐπ' ὄχημα [388] μὴ ἀναβαίνειν, σιτίων ἀπε- 153
142 χόμενον ἁλμυρῶν, ″ καὶ [389] λιπαρῶν, καὶ πιό-
νων, καὶ λαχάνων δριμέων. Καὶ, ἐπὴν αὐτὸς
ἑωϋτοῦ δοκέῃ ἄριστα τοῦ σώματος ἔχειν, καῦ-
σαι τὰ στήθεα, καὶ τὸ μετάφρενον, ἐν μοίρῃ
ἑκάτερον. Καὶ, ἐπὴν τὰ ἕλκεα ὑγιῆς γένηται,
ἐνιαυτὸν ἀπεχέσθω θωρηξίων, καὶ μὴ ὑπερπίμ-
πλασθαι, μηδὲ τῇσι χερσὶ ταλαιπωρέειν, μη-
δὲ ἐπ' ὄχημα ἀναβαίνειν· ἀλλὰ παχύνειν αὐ-
143 τὸν ὡς μάλιστα τὸ σῶμα. ″ [390] Ἀορθέα τοῦ
πλεύμονος σπασθέντα. [391] Ἐπὴν ἀορθρον σπα-
σθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει·
144 ″ ἐνίοτε δὲ αἱματώδεα, ἀφρονέει καὶ πυρετὸς
ἴσχει, καὶ ὀδύνη τὸ στῆθος, καὶ τὸ μετάφρενον,
καὶ τὸ πλευρὸν, καὶ, ἢν στραφῇ, βήσσεται, καὶ
πτάρνυται. Τοῦτον, ᾗ ἂν ὀδύνη ἔχῃ, χλιά-
σματα προστιθέναι, καὶ διδόναι προῤῥοφάνειν κεν-
ταύριον καὶ δαῦκον, καὶ ἐλελισφάκου [392] φύλ-
λα τρίβων, καὶ μέλι καὶ ὄξος ἐπιχέων, καὶ ὕδωρ
διδόναι καταῤῥοφάνειν. Καὶ πτισάνης χυ-
λὸν προῤῥοφανέτω, καὶ ἐπιπινέτω οἶνον ὑδα-
ρέα. Ἐπὴν δὲ τῆς ὀδύνης παύσηται, ἐλελί-
σφασκον κόψας καὶ σήσας, καὶ ὑπερικὸν, καὶ ἐρύ-
σιμον λεῖα, καὶ ἄλφιτον, ἴσον ἑκάστου, ταῦτ'
ἐπιβαλὼν ἐπὶ οἶνον κεκρημένον, διδόναι πίνειν
νήστει· καὶ, ἢν μὴ νῆστις ᾖ, διδόναι δὲ ῥοφά-
νειν ἔτνος ἄναλτον. Ἢν δὲ θάλπος ᾖ, σιτίοι-
σι διαχρῆσθαι ὡς μαλθακωτάτοισιν, ἀνάλ-
τοισι, καὶ ἀκνίσοισιν, ἐπὴν ἤδη ἐπιεικέως ἔχῃ
τὸ σῶμα, καὶ τὸ στῆθος, καὶ τὸν νῶτον. Ἢν
δὲ ἀμφότερα σπασθῶσι, βὴξ ἴσχει, καὶ τὸ
σίαλον [393] πτύεται παχὺ καὶ λευκὸν, καὶ ὀδύνη
ὀξείη ἴσχει ἐς τὸ στῆθος, καὶ ὑπὸ τὰς ὠμοπλά-
145 τας, [394] καὶ τὸ πλευρὸν καῦμα ἔχει ″ καὶ
καταπίμπλαται [395] φῴδων, καὶ ξυσμὴ ἔχει,
καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτε κεί-
146 μενος, οὔτε ἑστηκώς· ″ ἀλλὰ [396] δυσθυμέει.
Οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· ἢν
δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες μὲν οὐ πολ-
λαὶ, κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτά· ἢν δὲ
καὶ ταύτας διαφύγῃ, ὑγιάζεται. Τοῦτον,
ὅταν οὕτως ἔχῃ, λούειν πολλῷ θερμῷ δὶς
τῆς ἡμέρης· καὶ, ὅταν ἡ ὀδύνη ἔχῃ, χλιά-
σματα προστιθέναι· καὶ διδόναι πίνειν μέλι,
[397] καὶ ὄξος, καὶ ῥοφάνειν χυλὸν πτισάνης,
καὶ ἐπιπίνειν οἶνον λευκὸν οἰνώδεα. Ἢν δὲ
πρὸς

VARIÆ LECTIONES.

388 Sic MS. cod. inserta negatione μὴ, quam lectionem probat Martianus, hoc sensu, ut neque vehiculum conscendat; ex quo elicimus, motum curru factum partes corporis peculiariter lædere, & propterea in quam plurimis morbis ejus usum interdicendum esse.

389 λιπαρῶν παχέων legisse videtur Calvus, cum *pinguibus, crassis* dicit.

390 ἄορθρα τοῦ πλεύμονος σπασθέντα abest hæc epigraphe in MS. cod.

391 ἐπὴν ἄορθρον σπασθῇ τοῦ πλεύμονος, τὸ πτύσμα λευκὸν πτύει· ἐνίοτε δὲ αἱματώδεα, ἀφρονέει καὶ πυρετὸς ἴσχει MS. cod. quod probamus. Pro vulgatis ἐπὴν ἄορτρα σπασθῇ. κ. λ. Galenus in Exegesi ἄορθρον exponit τὸ ἀπηρτημένον τοῦ πνεύμονος μέρος ἑκατέρωθεν, *pars, quæ a pulmone utrinque appensa est*, hoc libro citato.

392 καὶ post φύλλα τρίβων deest in MS. cod.

393 Sic MS. cod. scribit, quam lectionem probat Æmil. Port. & ex MS. Servin. pro vulgato βλίπτεται. mox παχὺ λευκὸν MS. cod. omissa particula καί.

394 καὶ τὸ πλευρὸν καῦμα ἔχει multo melius MS. cod. pro τὸ πλευρὸν, καὶ καῦμα ἔχει.

395 φῷδας ex hoc loco exponit Erotianus, ἐξανθήματα φοινικᾶ, οἷον φῷδες περὶ τὸν θώρακά που γινόμενα, *pustulæ rubræ, velut φῷδες, quæ in thorace nascuntur.*

396 Sic MS. cod. & Lind. pro vulgato δυσθυμέει *infirmis est viribus.* Imp. vero Sambuci δυσθανατέει, *moriendo cruciatur.*

397 καὶ ὄξος, καὶ ῥοφάνειν χυλὸν Imp. Samb. quæ lectio maxime arridet; quum vulgata habeat πίνειν μέλι, καὶ ὄξος ῥοφάνειν καὶ χυλόν.

πρὸς τὰ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, ″ προσφέρειν [398] αὐτῷ 147 ῥάκια ἡμιτυβίου, καὶ βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα καὶ τὸν νῶτον ἐπιτιθέναι, καὶ πιπίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων ὡς ψυχρότατον, καὶ τὸν χυλὸν ψυχρὸν, ′ καὶ ὕδωρ ἐπιπίνειν· καὶ κεῖσθαι πρὸς τὸ ψύχος. Ταῦτα ποιέειν· ἡ δὲ νοῦσος θανατώδης.

balneo & tepidis fotibus vexetur, neque ea ferat, sudarii panniculos aqua intinctos ei admove, & ad pectus & dorsum impone; favumque ex aqua maceratum frigidissimum propinato, & ptisanæ succum frigidum, aquamque superbibendam dato; & in frigore decumbat. Ista facito; verum morbus lethalis est.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ′.

Περὶ τοῦ ἐν τῷ πλεύμονι ἐρυσιπέλατος, καὶ τῶν τούτου αἰτίων τε καὶ σημείων, καὶ θεραπείας.

CAPUT XXI.

De pulmonis erysipelate, ejusque causis, signis, & curatione.

[399] ΕΡυσίπελας ″ ἐν πλεύμονι. Ἢν ἐρυσίπελας ἐν πλεύμονι γένηται, βὴξ 148 ἔχει, καὶ τὸ σίαλον ἀποπτύει πουλὺ καὶ ὑγρὸν, οἷον ἀπὸ βρόγχου· ἔστι δὲ οὐχ αἱματῶδες· καὶ ὀδύνη ἴσχει τὸ μετάφρενον, καὶ τοὺς κενεῶνας, καὶ τὰς λαπάρας· καὶ τὰ σπλάγχνα μύζει, καὶ ἐμέει λάπην, καὶ οἷον ὄξος, καὶ τοὺς ὀδόντας αἱμωδιᾷ, καὶ πυρετὸς καὶ ῥίγος καὶ δίψα λαμβάνει, καὶ, ′ ὅταν τι φάγῃ, ἐπὶ τοῖσι σπλάγχνοισι μύζει, καὶ ἐρεύγεται ὀξὺ, καὶ ἡ κοιλίη τρίζει, καὶ τὸ σῶμα ναρκᾷ· καὶ, ὅταν ἐμέσῃ, δοκέει ῥάων εἶναι· ὅταν δὲ μὴ ἐμέσῃ, ἀπιούσης τῆς ἡμέρης, στρόφος καὶ ὀδύνη ἐγγίνεται ἐν τῇ γαστρὶ, [400] καὶ ἀπόπατος ὑγρὸς γινόμενος διεχώρησεν. Ἡ δὲ νοῦσος μάλιστα γίνεται [401] ἐκ τῶν θωρηξίων, [402] καὶ ἐκ τῶν κρεηφαγίων, καὶ ἐξ ὕδατος μεταβολῆς· ἴσχει δὲ καὶ ἄλλως. Τοῦτον φάρμακον πιπίσκειν κάτω, καὶ μεταπιπίσκειν ″ γάλα ὄνου, ἢν μὴ σπληνώδης ᾖ φύσει· ἢν δὲ σπληνώδης ᾖ, μὴ καθαίρειν, μήτε χυλοῖσι, μήτε γάλακτι, μήτε ὀῤῥῷ· ἀλλ᾽ ὅ, τι ὀλίγον ἐσελθὸν πουλὺ ἐξάξει· ὑποκλύζειν δὲ τὰς κοιλίας, καὶ βαλάνους προστιθέναι, ἢν μὴ ἡ κοιλίη [403] ὑποχωρέῃ, ἐν πάσῃσι τῇσι νούσοισι. Καὶ ψυχρολουτέειν ἐν ταύτῃ τῇ νούσῳ, καὶ γυμνάζεσθαι, ὅταν οἱ πυρετοὶ ἀνῶσι, καὶ δοκέῃ ἐπιεικέως ἔχειν τοῦ σώματος· καὶ τοῦ ἦρος καὶ τοῦ μετοπώρου [404] ἔμετον ἐμποιέειν. Σκορόδων δὲ κεφαλὰς τρεῖς, ″ καὶ ὀριγάνου δραχμίδα, ὅσην ″ [405] τρισὶ δακτύλοισι περιλαβεῖν, ἑψεῖν ἐ- 149 πιχέαντα δύο κοτύλας οἴνου γλυκέος, καὶ κοτύλην ὄξεος ὡς ὀξυτάτου, καὶ μέλιτος ὅσον τεταρτημόριον· [406] ἑψεῖν δ᾽ ἐς᾽ ἂν ἡ τρίτη μοῖρα λειφθῇ, κἄπειτα γυμνάσας τὸν ἄνθρωπον, καὶ λούσας ὕδατι χλιαρῷ, πίσαι θερμόν· καὶ πιπίσκειν φάκιον, μέλι καὶ ὄξος συμμίσγων, ἕς᾽ ἂν ἐμπλησθῇ·

ERysipelas in pulmone. Si oriatur in pulmone erysipelas, tussis detinet, & sputum multum ac liquidum expuit, velut ex gutture, sed cruentum non est; dolor dorsum, & ilia, & hypochondria occupat; viscera strepitum edunt, pituitam vomit, ac velut acetum, dentes stupent; febris, rigor, ac sitis corripit; quum quid comederit, in visceribus murmur editur, acidum eructat, venter obstrepit, & corpus torpescit; & quuum vomuerit, melius habere videtur; ubi vero minime vomuerit, decedente die tormina & dolor in ventre suboriuntur, & liquidum stercus dejicitur. Hic morbus maxime ex crapula, carnium esu, & aquæ mutatione contingit; atque aliis etiam de causis detinet. Huic medicamentum deorsum purgans propinato, posteaque lac asininum bibat, nisi natura lienosus fuerit: quod si lienosus fuerit, neque succis, neque lacte, neque sero purgato, sed eo quod paucum sumptum multum educat: in omnibus autem morbis, si alvus non subducatur, eam per infusum subluito, aut glandes supponito. Hoc in morbo frigidæ balneo, & exercitatione utendum, ubi febres remiserint, & corpus commode se habere apparuerit: vere & autumno vomitus excitandus. Alliorum capita tria, & origani pugillum, quantum tribus digitis comprehenditur, vini dulcis duabus heminis affusis, & aceti quam acerrimi hemina una, mellisque quarta heminæ parte, coquito, quoad tertia pars relicta fuerit: deinde ubi hominem exercueris, & aqua tepida laveris, hoc calidum bibendum exhibeto; lenticulæ etiam decoctum, melle & aceto admixtis, dum impleatur, propinato;

 de-

VARIÆ LECTIONES.

398 In MS. cod. hæc verba sic leguntur: αὐτῷ ψυχρὰ ῥάκια ἡμιτυβίου βάπτων ἐς ὕδωρ, ἐπὶ τὰ στήθεα ἐπιτιθέναι, καὶ ἐπὶ τὸν νῶτον.

399 Hæc epigraphe ἐρυσίπελας ἐν πλεύμονι deest in MS. cod.

400 καὶ ὁ ἀπόπατος ὑγρὸς γινόμενος MS. cod.

401 ἐκ θωρηξίων MS. cod. omisso τῶν.

402 καὶ ἐκ κρεηφαγίων MS. cod. Ionice, quod sequimur, pro κρεοφαγίων vulgato; pro quo κρεωφαγίων attice scribendum esset.

403 ὑπάγῃ scribitur in MS. cod. pro ὑποχωρέῃ.

404 ἔμετον οἱ ποιέειν MS. cod. mox σκορόδων κεφαλὰς τρεῖς, *alliorum capita tria* MS. cod. quam lectionem sequimur, eamque adhibuit Calvus inserto τρεῖς.

405 Sic MS. cod. & Charter. pro τοῖσι vulgato.

406 ἑψεῖν δὲ, ἕως ἂν ἡ τρίτη μοῖρα λειφθῇ vulgati codd. At MS. cod. ἑψεῖν δ᾽ ἐς᾽ ἂν ἡ τρίτη μοῖρα λειφθῇ, quam lectionem sequimur cum interpretibus, ut & Imp. Sambuci.

deinde vomat, eoque die, polenta ex aqua epota, jejunus permaneat: ad vesperum vero betam & mazæ parum comedat, & vinum aquosum bibat. Reliquo tempore a lenticulæ decocto & a cibis vomat. Quod si sub scapulas dolor secesserit, cucurbitulam affigito, & manuum venas pertundito: cibis autem utatur non salsis, neque unguinosis, neque pinguibus; vescatur vero acribus, & acidis, frigidisque omnibus, ac deambulationibus utatur. His factis, optima victus ratione usus fuerit, morbusque in multum tempus protrahetur: est autem non lethalis, sed consenescentes deserit. Si vero juniorem aliquem citius a morbo liberare voles, ubi ipsum purgaveris, & pectus & dorsum inurito.

CAPUT XXII.

Dorsalis morbi, & tuberculi pulmonis signa & curatio.

DOrsalis morbus. Rigor, febris, tussis, & spirandi difficultas prehendit, & sputum cum virore pallidum, interdumque subcruentum expuit; dolor maxime dorsum & inguina vexat; tertio aut quarto die urinam cruentam mejit, & septimo die moritur; ubi vero quatuordecim dies effugerit, sanus evadit; quos fere non effugit. Huic aquam mulsam in olla nova fervefactam, & refrigeratam, in qua apii, aut fœniculi cortex maceratus fuerit, bibendam dato; dato & ptisanæ succum bis in die, vinumque album aquosum superbibendum: qua vero dolor institerit, tepentes fotus adhibeto; nisi multa febris detineat, calida lavato. Postquam vero quatuordecim dies præterierint, milium in prandio quidem sumat; ad vesperam autem carnes catulinas, aut volucrium coctas edat, & de jusculo sorbeat; sed cibis quam paucissimis primis diebus utatur. Pulmonis tuberculum. Quum in pulmone tuberculum fuerit, tussis detinet, erectæ cervicis spiratio, dolor acutus pectus & latera occupat; & ad usque quatuordecim dies ita afficitur: plerisque enim tuberculi affectio tot potissimum diebus inflammatur: sed & caput, & palpebras dolor vexat, videre nequit, corpus subfulvum evadit,

ἔπειτα ἐμεέτω, καὶ τὴν ἡμέρην ταύτην, πιὼν ἄλφιτον καὶ ὕδωρ, ἐκνηςευέτω· [407] ἐς ἑσπέρην δὲ τεῦτλον φαγέτω, καὶ μάζης μικρὸν, καὶ πινέτω οἶνον ὑδαρέα. Ἀνὰ δὲ τὸν
150 ἄλλον χρόνον, ἐμεέτω τοῖσι [408] φακίοισι καὶ ἀπὸ σιτίων. Καὶ, ἢν ἀφίςηται ἡ ὀδύνη ὑπὸ τὰς ὠμοπλάτας, σικύην προσβάλλειν, καὶ τὰς φλέβας ἀποτύψαι τὰς ἐν τῇσι χερσι· σιτίοισι δὲ χρῆσθαι ἀνάλτοισι, καὶ μὴ λιπαροῖσι, μὴ δὲ πίοσι· δριμέα δὲ καὶ ὀξέα ἐσθιέτω, καὶ ψυχρὰ πάντα, καὶ περιπάτοισι χρήσθω. Ταῦτα ποιέων ἄριςα ἂν διαιτῷτο· καὶ διὰ πλείςου χρόνου ἡ νοῦσος γίνοιτο, ἔςι δὲ οὐ θανατώδης, ἀλλ᾽ ἀπογηράσκοντας ἀπο- 154
151 λείπει· εἰ δὲ βούλοιο νεωτέρον ἐόντα θᾶττον ἀπαλλάξαι τῆς νούσου, [409] καθήρας αὐτὸν, [410] καῦσαι τάτε ςήθεα καὶ τὸ μετάφρενον.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Τὰ τοῦ νωτίου, καὶ τοῦ ἐν τῷ πλεύμονι φύματος σημεῖα, καὶ τὰ θεραπευτικά.

ΝΩτίας. Ῥίγος, καὶ πυρετὸς, καὶ βὴξ, καὶ δύσπνοια λαμβάνει, καὶ τὸ σίαλον πτύει χλωρὸν, ἔςι δ᾽ ὅτε καὶ ὕφαιμον· καὶ πονέει μάλιςα τὸ μετάφρενον, καὶ τοὺς βουβῶνας· καὶ ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ οὐρέει αἱματῶδες,
152 καὶ ἀποθνήσκει ἑβδομαῖος· ἐπὴν δὲ τὰς τεσσαρεσκαίδεκα [411] ἐκφύγῃ, ὑγιὴς γίνεται· ἐκφυγγάνει δ᾽ οὐ μάλα. Τούτῳ διδόναι μελίκρητον, ἀναζέσας ἐν καινῇ χύτρῃ, ψύχων, σελίνου φλοιὸν ἀποτέγγων ἢ μαράθρου· τούτῳ διδόναι πίνειν καὶ πτισάνης χυλὸν δὶς τῆς ἡμέρης, καὶ ἐπιπίνειν οἶνον λευκὸν ὑδαρέα. [412] ἢ δ᾽ ἂν ἡ ὀδύνη προσίςηται, καὶ χλιαίνειν θερμῷ, καὶ λούειν· ἢν μὴ ὁ πυρετὸς πουλὺς ἔχῃ. Ἐπὴν δὲ αἱ τεσσαρεσκαίδεκα ἡμέραι παρέλθωσιν, ἀριςίζεσθαι μὲν τὸν κέγχρον, ἐς ἑσπέρην δὲ κρέα [413] σκυλακίου, ἢ ὄρνιθος ἑφθὰ ἐσθίειν, καὶ τοῦ ζωμοῦ ῥοφάνειν· σιτίοισι δὲ ὡς ἐλαχίςοισι χρῆσθαι τὰς πρώτας ἡμέρας. [414] Φῦμα ἐν τῷ πλεύμονι. Ἐπὴν φῦμα ᾖ ἐν τῷ πλεύμονι, βὴξ ἔχει καὶ ὀρθοπνοίη, καὶ ὀδύνη ἐς τὸ ςῆθος ὀξέη, καὶ ἐς τὰ πλευρά· [415] καὶ ἕως μὲν τῶν τεσσαρεσκαίδεκα ἡμερῶν πάσχει, τοῖσι γὰρ πλείςοισι τοσαύτας ἡμέρας [416] μάλιςα φλεγμαίνει τὸ πάθος τοῦ φύματος· καὶ τὴν [417] κεφαλὴν δὲ ἀλγέει, καὶ τὰ βλέφαρα, καὶ ὁρᾷν οὐ δύναται, καὶ τὸ σῶμα [418] ὑπόπυῤῥον γίνεται, καὶ

VARIÆ LECTIONES.

407 In MS. cod. scribitur ἐς ἑσπέρην δὲ τεῦτλα φαγέτω.
408 φαρμακίοισι Vatic. membran. & Linden. pro φακίοισι.
409 Sic MS. cod. & Foesius, quam lectionem sequitur Chart. id quod melius est; sequitur enim καθήρας αὐτὸν, hancque lect. probat Æmil. Portus pro vulgato ἐόντας.
410 καῦσαι τάτε ςήθεα καὶ τὸ μετάφρενον MS. cod. quod probamus pro καῦσαι τάτε ςήθεα καὶ τὰ μετάφρενα.
411 ὑπερφύγῃ, *excesserit* MS. cod. pro vulgato ἐκφύγῃ. In quibusdam autem exempl. Regiis ὑπεκφύγῃ scribitur.
412 ἢ ἂν ὀδύνη προσίςηται, χλιαίνειν καὶ λούειν θερμῷ vulgati codd. pro quibus verbis sic ex MS. cod. scripsimus ἢ δ᾽ ἂν ἡ ὀδύνη προσίςηται, καὶ χλιαίνειν θερμῷ καὶ λούειν.
413 σκυλακίου, ἢ ὄρνιθος MS. cod. quem secuti sumus, pro vulgatis σκυλακείου, ἢ ὀρνίθεια.
414 φῦμα ἐν τῷ πλεύμονι, hæc epigraphe deest in MS. cod. Deinde pro ἐπὴν φῦμα φύῃ, ex MS. cod. scripsimus ἐπὴν φῦμα ᾖ, quam lectionom secuti sunt interpretes.
415 καὶ ἔςι μὲν τεσσαρεσκαίδεκα ἡμέρας πάσχει habet MS. cod.
416 In MS. cod. scribitur μάλιςα φλεγμαίνει τὸ φῦμα, pro μάλιςα φλεγμαίνει τὸ πάθος τοῦ φύματος.
417 Pro vulgat. κεφαλὴν δὲ ἀλγέει, Imp. Sambuci & Fevr. habent κεφαλὴν διαλγέει.
418 ὑπόπυρον *subfervidum* scilicet corpus, MSS. Reg. & Calv. ex membr. Vaticanis legisse videtur.

" καὶ [419] φωδῶν ἐμπίπλαται. Τοῦτον λούειν πολλῷ θερμῷ, καὶ μελίκρητον διδόναι πίνειν ὑδαρὲς, καὶ τῆς πτισάνης τὸν χυλὸν ῥοφάνειν, καὶ οἶνον ὑδαρέα ἐπιπίνειν. Ἢν δὲ ἡ ὀδύνη πιέζῃ, χλιαίνειν· ἐπὴν δὲ παύσηται, σιτίοισιν ὡς μαλθακωτάτοισι χρῆσθαι. Ἢν δὲ ἀπηλλαγμένον τῆς νούσου δυσπνοίη λαμβάνῃ, ἐπὴν πρὸς ὄρθιον χωρίον ἴῃ, [420] ἢ σπεύσῃ πῇ ἄλλως, φάρμακον διδόναι, " ὑφ' οὗ ἡ κοιλίη ἡ κάτω μὴ [421] κινέεται· καὶ, ἢν ἅμα τῷ ἐμέσματι πῦον ἕπηται, ἢν μέντοι τὸ πῦον ᾖ λευκὸν, καὶ ἶνες ἐν αὐτῷ ὕφαιμοι ἔωσιν, ἐκφυγγάνει· ἢν δὲ πελιδνὸν, καὶ χλωρὸν, καὶ κάκοδμον, ἀποθνήσκει· καθαίρονται δὲ ἐν τεσσαράκοντα ἡμέρῃσιν, ἀφ' ἧς ἂν ῥαγῇ, πολλοῖσι δὲ καὶ ἐνιαυσίη γίνεται ἡ νοῦσος· ποιέειν δὲ χρὴ τοῦτον, ἅπερ τὸν ἔμπυον. Ἢν δὲ μὴ ῥαγῇ (ἐνίοισι γὰρ τῷ χρόνῳ ἀφίσταται, ὡς τὸ πλευρὸν καὶ ἐξοιδίσκεται) τοῦτον χρὴ, ἢν τοιοῦτο γένηται, τάμνειν ἢ καίειν.

153 & pustulis rubentibus impletur. Hunc calida multa lavato, aquam mulsam aquosam propinato, & ptisanæ succum sorbendum, vinumque aquosum superbibendum dato. Quod si dolor urgeat, tepentes fotus admoveto; ubi vero sedatus fuerit, cibis quam mollissimis utatur. Quod si morbo liberatum, dum ad locum accilivem pergit, aut alias festinat, difficultas spirandi invadat,
154 medicamentum dato, a quo alvus inferior minime moveatur: & si una cum vomitu pus sequatur, si sane pus fuerit album, & in eo fibræ subcruentæ fuerint, effugit; si vero lividum, cum virore pallidum, & graveolens, moritur: repurgantur autem in quadraginta diebus, ex quo ruptio facta est, multis etiam annuus fit morbus: huic eadem quæ suppurato, facito. Quodsi non eruperit (quibusdam enim procedente tempore ad latus abscedit, & extumescit) ubi hoc contigerit, (hunc) secato, aut inurito.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Τὰ τοῦ πλεύμονος πληθέντος τε καὶ ἐς τὸ πλευρὸν προσπεσόντος σημεῖα, καὶ ἡ θεραπεία.

[422] ΠΛεύμων πληθείς. Ἢν πληθῇ ὁ πλεύμων, βὴξ ἴσχει, καὶ ὀρθοπνοίη, καὶ ἆσθμα, καὶ τὴν γλῶσσαν ἐκβάλλει, [423] καὶ πίμπλαται φωδῶν, καὶ ξυσμὸς ἔχει· καὶ ὀδύνη ὀξείη ἴσχει ἐς τὸ στῆθος καὶ κατὰ τὰς ὠμοπλάτας, καὶ οὐκ ἀνέχεται οὔτε καθήμενος, οὔτ' ἀνακείμενος, οὔθ' ἑστηκὼς, ἀλλὰ δυσθυμεῖ. Οὗτος τεταρταῖος μάλιστα ἀποθνήσκει· [424] ἢν δὲ ταύτας ὑπερφύγῃ, ἐλπίδες ὡς τὰ πολλά· [425] κινδυνεύει δὲ πολλάκις καὶ ἐν τῇσιν ἑπτά· ἢν δὲ ταύτας [426] ὑπερεκφύγῃ, ὑγιάζεται. Τοῦτον, ὅταν οὕτως ἔχῃ, [427] λούειν πολλῷ καὶ θερμῷ δὶς τῆς ἡμέρης· καὶ, ὅταν ἡ ὀδύνη ἔχῃ, χλιάσματα προστιθέναι, " καὶ ἐπιπίνειν διδόναι μέλι καὶ ὄξος ἑφθὸν, καὶ ῥοφάνειν χυλὸν πτισάνης, καὶ ἐπιπίνειν [428] οἶνον. Ἢν δὲ πρὸς τὸ λουτρὸν καὶ τὰ χλιάσματα πονέῃ καὶ μὴ ἀνέχηται, προσφέρειν αὐτῷ ψύγμα, καὶ πίνειν διδόναι κηρίον ἐν ὕδατι ἀποβρέχων, ὡς ψυχρότατον, καὶ κεῖσθαι πρὸς τὸ ψύχος. Ταῦτα ποιέειν· ἡ δὲ νοῦσος χαλεπὴ καὶ θανατώδης. [429] Ὁ πλεύμων προσπεσὼν ἐς τὸ πλευρόν.

CAPUT XXIII.

Pulmonis tum repleti, tum in latus procumbentis signa, & curatio.

PUlmo repletus. Si pulmo repletus sit, tussis detinet, erecta cervice spiratio, & anhelatio; linguam exerit, pustulis rubentibus impletur, pruritus occupat; dolor acutus pectus & scapulas vexat, neque sedere, neque recumbere, neque stare potest, sed animo angitur. Hic quarto fere die moritur; quem si superaverit, spes plerumque datur; sæpe tamen etiam septimo die periclitatur; quem si effugerit, convalescit. Hunc, quum sic habuerit, calida multa bis die lavato; quumque dolor detinuerit, tepentes fotus admoveto;
155 & mel cum aceto coctum bibendum, & ptisanæ succum sorbendum, vinumque superbibendum præbeto. Quod si balneo, & fomentis tepentibus vexetur, neque ea ferat; ipsi refrigeratorium apponito, & favum aqua maceratum quam maxime frigidum bibendum dato, & loco frigido decumbat. Hæc faciat; morbus autem gravis & lethalis est. Pulmo in latus decumbens.

VARIÆ LECTIONES.

419 φλεβῶν legunt quædam exemplaria vulgata pro φωδῶν, quod æque in MS. cod. adscribitur.

420 ἢ σπεύσῃ τι ἄλλως vulgati codd. pro quibus ex MS. cod. ἢ σπεύσῃ πῇ ἄλλως scripsimus.

421 Pro κινέεται vulgato MS. cod. & exemplaria Reg. κινήσεται habent. Deinde paulo post pro καίειν, MS. cod. & Imp. Samb. ut & Fevr. legunt καῦσαι.

422 Hæc epigraphe πλεύμων πληθεὶς deest in MS. cod.

423 καὶ πίμπρηται, καὶ ὀδύνη ὀξέη ἴσχει ἐς τὸ στῆθος, καὶ ὑπὸ τὰς ὠμοπλάτας, καὶ καταπίμπλαται φωδῶν, καὶ ψυγμὸς ἴσχει, καὶ οὐκ ἀνέχεται MS. cod. nempe, *& uritur, & dolor acutus vexat pectus, & scapulas, & pustulis rubentibus impletus, & frigus detinet, ac non sustinet &c.*

424 ἢν δὲ ταύτας ὑπερεκφύγῃ scribunt quædam exemplar.

425 κινδυνεύει δὲ καὶ ἐν τῇσιν ἑπτὰ MS. cod. omisso πολλάκις.

426 ὑπερφύγῃ MS. cod. ut supra, pro vulgato ὑπερεκφύγῃ.

427 λούειν πολλῷ καὶ θερμῷ vulgati codd. In MS. cod. scribitur λούειν θερμῷ δὶς τῆς ἡμέρης, *calida bis die lavato*, quæ lectio placet.

428 οἶνον ὑδάρεα *vinum aquosum*, ut paulo post legit Calvus. Paulo post ψύγματα MS. cod.

429 Hæc epigraphe ὁ πλεύμων προσπεσὼν ἐς τὸ πλευρὸν deest in MS. cod.

Si pulmo in latus prociderit, tussis, & erecta cervice spiratio detinet, sputum album tussi expuitur, dolor pectus, & dorsum occupat; & incumbens pulmo impellit, & pondus quoddam lateri incumbere videtur, & dolores acuti pungunt; cutis velut corium stridet, & respirationem inhibet; in latus quidem affectum decubitum sustinet; in sanum vero minime; verum ei pondus quoddam ex latere pendere, & per pectus transpirare videtur. Hunc calida multa bis in die lavato, & aquam mulsam propinato: a balneo vinum album, pauco admixto melle, in quo dauci & centaureæ tritum semen maduerit, tepidum sorbendum dato; & ad latus aquam tepidam in utriculum, aut vesicam bubulam infusam admoveto, & fascia pectus alligato; ac in latus sanum decumbat, ptisanæque succum tepidum, & vinum aquosum superbibendum dato. Quod si ex vulnere istud fiat, aut purulento secto (fieri namque hoc solet) vesicam fistulæ alligatam & flatu impletam huic intro immittito, & penicillum stanneum solidum indito, & ulterius protrudito. Hac curatione instituta, voti maxime compos fies.

Ἢν ὁ πλεύμων πρὸς τὸ πλευρὸν προσπέσῃ,
βὴξ ἴσχει, καὶ ὀρθοπνοίη, καὶ τὸ σίαλον βήσσεται λευκὸν, καὶ ὀδύνη τὸ στῆθος καὶ τὸ μετάφρενον ἴσχει· καὶ ὠθέει προσκείμενος, καὶ δοκέει τι ἐγκέεσθαι βαρὺ ἐν τοῖσι στήθεσι, καὶ κεντέουσιν
156 ὀδύναι ὀξεῖαι· [430] καὶ τρίζει τὸ δέρμα, οἷον μάσθλης, καὶ τὴν πνοιὴν ἐπέχει· καὶ ἐπὶ μὲν τὸ πονέον ἀνέχεται κατακείμενος· ἐπὶ δὲ τὸ ὑγιὲς οὔ· ἀλλὰ δοκέει τι αὐτῷ οἷον ἐκκρέμασθαι βαρὺ [431] ἀπὸ τοῦ πλευροῦ, καὶ διαπνέειν δοκέει διὰ τοῦ στήθεος. Τοῦτον λούειν θερμῷ πολλῷ δὶς τῆς ἡμέρης, καὶ μελίκρητον πιπίσκειν· καὶ ἐκ τοῦ λουτροῦ, οἶνον λευκὸν κεραννὺς καὶ μέλι ὀλίγον, καὶ δαύκου καρπὸν τρίψας καὶ τῆς κενταυρίης, διεὶς τούτοισι, διδόναι χλιαρὸν καταῤῥοφάνειν· καὶ προστιθέναι πρὸς τὸ πλευρὸν ἐς ἀσκεῖον, ἢ ἐς βοείην κύστιν ὕδωρ
157 χλιαρὸν ἐγχέων, καὶ ταινίῃ συνδεῖν [432] τὰ στήθεα, καὶ κεῖσθαι ἐπὶ τὸ ὑγιές· καὶ τὸν χυλὸν διδόναι τῆς πτισάνης χλιαρὸν, καὶ ἐπιπίνειν οἶνον ὑδαρέα. Ἢν δὲ ἐκ τρώματος τοῦτο γένηται,
158 ἢ τμηθέντι ἐμπύῳ (γίνεται γάρ) [433] τούτῳ κύστιν πρὸς σύριγγα προσδήσας, ἐμπιπλάναι τῆς φύσης, καὶ εἰσιέναι ἔσω, καὶ μοτὸν στερεὸν κασσιτέρινον ἐντιθέναι, καὶ ἀπωθέειν πρόσω. Οὕτω διαιτῶν, τυγχάνοις ἂν μάλιστα.

CAPUT XXIV.

De lateris tuberculo, pulmonis hydrope, ac pectore aut dorso rupto, eorumque affectuum signis & curatione.

LAteris tuberculum. Quum tuberculum in latere oboritur, tussis dura detinet, & dolor, & febris; pondus in latus incumbit, dolor acutus eundem locum semper occupat, sitis vehemens (vexat,) & calidum potum eructat, & decubitum in latus affectum non sustinet; sed in sanum: verum ubi decumbit, velut saxum illi suspensum esse videtur; intumescit, ac rubet, pedesque tument. Hunc secato aut urito, deinde pus ad decimum usque diem emittito, & penicillum ex lino crudo imponito: post decimum diem, ubi totum pus exierit, vinum & oleum, ne derepente siccescat, tepida injicito, & linamento ex linteolo obducito: ubi, quod infuderis, emissum fuerit, aliud infundito, istaque per dies quinque facito.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

χυλὸν, καὶ ἀοινέειν τὸ πάμπαν. Ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔς᾽ ἂν ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκέϊ, ἢ γάλακτι γυναικείῳ, ἢ ἐλαίῳ παλαιῷ· χλιαροῖσι δὲ κλύζειν· καὶ πυριᾷν τὴν κεφαλὴν [17] θαμινὰ ἐν μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, [18] ἵνα θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. [19] Οὗτος τὰ μὲν πρῶτα οὐκ ἀΐει· προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἧσσόν ἐστι, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ παραγίνεται, [20] καὶ ὁμοιοῦται μάλιστα ἑωϋτῷ. Φυλάσσεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς, [21] καὶ τὰ τοιαῦτα· καὶ ἡσυχάζειν, διαίτῃ μαλθακῇ χρώμενον· καὶ ὑπὸ κε- 4-5
νεαγγείων εὔλυτος ἔσω ἡ κοιλίη ἡ κάτω.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς τῶν βλητῶν σημειώσεώς τε καὶ θεραπείας.

[22] Βλητοί. Οἱ δὲ βλητοὶ λεγόμενοι εἶναι, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης· ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται, [23] οἱ μὲν ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, καὶ κῶμά μιν ἔχει· καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς ἔχει, καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τριταῖος, ἢ πεμπταῖος, [24] ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται· ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. Τοῦτον, ἢν βούλῃ θεραπεύειν, πυριᾷν τὴν κεφαλὴν, καὶ ταμὼν ἀνάπνευσιν ποιέειν. Ἢν δὲ [25] ὀδύνη ἔχῃ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν· ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνης δὲ χυλῷ χρῆσθαι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν τοῦ σφακελισμοῦ ἐγκεφάλου σημείων καὶ θεραπείας.

[26] Σφακελισμὸς ἐγκεφάλου. Ἢν δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν·

sorbeat, & vino prorsus abstineat. Ubi vero pus eruperit, quoad fluxionis copia desierit, sistito : postea vino dulci, aut lacte muliebri, aut oleo veteri, iisque tepidis infusis, aures colluito : caput crebro mollibus fomentis & odoratis, quo cerebrum citius purgetur, foveto. Hic primis quidem diebus non audit; procedente vero tempore tum fluxio minuitur, tum simul ac fluxio prorsus quievit, auditio redit, & sibi ipse maxime similis redditur. Vitare autem oportet solem, ventos, ignem, fumum, acrium odores, aliaque hujusmodi; & quiescere, ac molli victus ratione uti : alvus inferior ex vasorum vacuatione solutu sit facilis.

CAPUT III.

De sidere ictorum, signis, & curatione.

Attoniti. Icti esse dicuntur, cum cerebrum repletum fuerit ob multam purgationem intermissam : cruciatum primum exhibet anterior capitis pars, & suspicere non possunt, quidam ambobus oculis, quidam vero altero, & sopor ipsos habet; menteque sunt emoti; & tempora saliunt & febris levis habet, corporisque impotentia. Hic tertio aut quinto die moritur, neque ad septimum pervenit; sed si pervenerit, incolumis evadit. Hunc si curare voles, capiti fomentum admoveto, & sectione facta respirationem efficito. Sed si dolor detinuerit, & sternutationes movere oportet, & purgare caput levibus ac odoratis, ventremque inferiorem purgare; vino prorsus abstinere, & ptisanæ succo uti.

CAPUT IV.

De siderationis cerebri signis, & curatione.

Cerebri sideratio. Quod si cerebrum sideratum fuerit, caput dolor occupat, & per cervicem ad spinam pervadit; &

Variæ Lectiones.

17 θαμινὰ ἐν μαλθακῇσι, deest in MS. cod. præpositio ἐν.
18 ὡς θᾶσσον καθαιρεῖται vulgati codd. pro quibus MS. cod. scribit ἵνα θᾶσσον καθαίρηται; quam lectionem probamus.
19 Vulgati codd. scribunt οὗτος μὲν τάγε πρῶτα οὐκ ἀΐει. Ast in MS. cod. ita leguntur οὗτος τὰ μὲν πρῶτα οὐδὲν ἀκούει.
20 καὶ ante ὁμοιοῦται deest in MS. cod. & ὁμοιοῦταί τε μάλιστα legit.
21 Pro καὶ τὰ τοιαῦτα· καὶ ἡσυχάζειν, in MS. cod. legitur καὶ αὐτὰ ἡσυχάζειν.
22 Βλητοὶ deest in MS. cod. Cæterum notandum venit hic per βλητὸν Hipp. intelligere cerebrum vehementer inflammatum; quemadmodum scribit Just. Cortnummius in suo tractatu de Morbo attonito p. 16. §. 5. Cap. III. cui assentiunt. Plura Foes. voce βλητοί. Paulo post εἶναι abest in MS. cod.
23 οἱ μὲν ἀμφοτέροισι τοῖσιν ὀφθαλμοῖσιν MSc. cod. legit. Mox pro καὶ κῶμα in cod. habetur ἀλλὰ κῶμα. Deinde ἄφρονες pro ἔκφρονες in eodem habetur.
24 Sic MS. cod. quem secuti sumus pro ἐς δὲ τὰ ἑπτά; quod mendosum est.
25 ὀδύνη ἔχῃ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, omnia exemplaria publicata legunt; sed MS. cod. sic affert: ὀδύνη ἐπειγομένῃ, ἢ καὶ πταρμοὺς, & omittitur χρή.
26 Σφακελισμὸς ἐγκεφάλου, hæc epigraphe deest in MS. cod. paulo post pro ὀδύνη ἴσχει τὴν κεφ. in cod. legitur ὀδύνη ἔχει τὴν κεφ.

& ipse nihil audit, frigusque in caput irruit, totus tumescit, ac derepente voce captus apparet; ex naribus sanguis fluit, & lividus evadit. Hunc si morbus leviter corripuerit, quum sanguis abierit, melius habet: si vero vehementer correptus fuerit, cito moritur. Huic sternutationes per odorata movendæ, & alvus utraque per vices purganda, aut altera; odorata leves odores habentia, naribus admovenda; sorbitioque tenuis, & tepida exhibenda; vino autem penitus abstinendum.

καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν, καὶ [27] οἰδέει ὅλος, καὶ ἐξαίφνης ἄφωνος δείκνυται· καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίνεται. Τοῦτον, ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· [28] ἢν δὲ σφόδρα εἰλημμένος ᾖ, θνήσκει ταχέως. Τούτῳ πταρμοὺς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μοίρῃ ἑκάτερον· [29] καὶ τῶν εὐωδέων, κούφας δὲ ὀδμὰς ἐχόντων, τῇσι ῥισὶν ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν· ἀοινέειν δὲ τὸ πάμπαν.

CAPUT V.

De lethargi signis & curatione; ex lethargo suppurati.

LEthargus. Lethargi quidem morbi constitutio eadem, quæ & peripneumoniæ; gravior tamen, neque omnino liberatur ab humida peripneumonia; sed longe tardior morbus est. Hæc autem patitur: Tussis & sopor eum detinet; sputum humidum, & copiosum ejicit; infirmis admodum est viribus, & quum interiturus est, multum, idque liquidum per inferiora, dejicit. Huic quidem admodum exigua vitæ spes superest: efficiendum tamen ut plurimum spuat, & calefiat, vinoque abstineat: quod si effugerit, purulentus efficitur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν τοῦ ληθάργου σημείων, καὶ τῆς θεραπείας· οἱ ἐκ τοῦ ληθάργου ἔμπυοι.

6 [30] ΛΗθαργος. Οἱ δὲ λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ. χαλεπωτέρη δὲ, καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης· [31] βραδυτέρη δὲ πουλὺ ἡ νοῦσος. Πάσχει δὲ τάδε. Βὴξ καὶ κῶμά μιν ἔχει, καὶ τὸ σίαλον ὑγρὸν καὶ πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ [32] βραχεῖα περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον, καὶ θερμαίνειν, καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

CAPUT VI.

De febris ardentis dignotione, prænotione, & curatione.

FEbris ardens. In febre ardente dicta, sitis multa detinet, lingua inhorrescit; ejusque color, primo quidem tempore, qualis esse consuevit, verum valde sicca est; procedente vero tempore induratur, exasperatur, crassescit; deinde nigrescit. Si sane per initia hæc contingant, celeriores judicationes fiunt; si vero posterius, tardiores: remissionis autem eadem omnia signa prodit lingua, quæ in peripneumonia. Et urinæ biliosæ quidem, aut cruentæ,

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τοῦ καυσώδους πυρετοῦ, διαγνώσεώς τε καὶ προγνώσεως, καὶ θεραπείας.

[33] ΚΑυσώδης. Ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλὴ, καὶ ἡ γλῶσσα πέφρικε· [34] τὸ δὲ χρῶμα αὐτῆς, τὸν μὲν
7 πρῶτον χρόνον, οἷόν περ εἴωθε· ξηρὴ δὲ σφόδρα· προϊόντος δὲ τοῦ χρόνου, σκληρύνεται, καὶ τρηχύνεται, καὶ παχύνεται· [35] ἔπειτα μελαίνεται. Ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, [36] θάσσους αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος, ταῦτα πάντα ἡ γλῶσσα σημαίνει, ἅπερ ἐν τῇ περιπλευμονίῃ. Καὶ τὰ οὖρα, [37] χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπί-

VARIÆ LECTIONES.

27 Pro οἰδέει, *tumescit*, in MS. cod. scribitur ἰδίει, *sudat.* Postea γίνεται legitur pro δείκνυται.

28 In MS. cod. legitur ἢν δὲ σφόδρα ἀπειλημμένος ᾖ ἀποθνήσκει· τάχα τούτῳ πταρμοὺς ἐμποιέειν.

29 καὶ τῶν εὐωδέων, *& odorata* deest in MS. cod. mox post λεπτόν τε καὶ χλιαρὸν, in eod. cod. τε καὶ omittuntur.

30 Λήθαργοι deest in MS. cod. & dicitur οἱ δὲ ληθαργικοὶ, & paulo post pro χαλεπωτέρη, scribitur χαλαρωτέρη.

31 βραδυτέρη δ' ἡ νοῦσος πολλόν· πάσχει δὲ τάδε. Βὴξ (καὶ κῶμά μιν omissis) ἔχει, MS. cod.

32 MS. cod. pro vulgatis βραχεῖα περιγενέσθαι, scribit βραχὺν περιγενέσθαι.

33 Καυσώδης omittitur in MS. cod. Deinde post λεγομένη, Linden. hæc addit: πυρετὸς τὸν ἄνθρωπον σφοδρὸς; contra tamen omnium exemplarium fidem.

34 καὶ τὸ χρῶμα αὐτῆς, τὸ μὲν πρῶτον ὠχρόν ἐστι, legitur hæc sententia, innuente Foesio, multo melius libr. περὶ κρισίμων. *ipsius color primum quidem ex virore pallidus est;* ita ut primum hoc colore sit lingua, aspera & sicca; deinde fuliginosa, & nigra.

35 Pro vulgatis καὶ ἐπιμελαίνεται, MS. cod. ἔπειτα μελαίνεται, quam lectionem sequimur. Mox καὶ, ἢν μὲν ἐν ἀρχῇ Lindenus, pro quibus MS. Servin. ἢν μὲν γὰρ ἐν ἀρχῇ habet.

36 Pro θάσσους αἱ κρίσιες, in cod. MS. legitur θάσσους κρίσιες.

37 χλωρὰ MS. cod. habet pro χολώδεα. Quid vero sit χλωρὸν consule Foesii Oecon. voce χλωρὸν, ubi plura notatu digna habentur.

ἐπίπονα· ξανθὰ δὲ, ἀπονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης [38] ξυγκεκαυμένον καὶ παχύ ἐςι. Πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίςαται· καὶ, ἢν μεταςῇ, τάχα ἀποθνήσκει. [39] Τοῦτον δὲ ὧδε χρὴ θεραπεύειν. Λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάςης, πλὴν τῆς κεφαλῆς· καὶ ἐν τῇσι κρίσεσιν οὐ χρὴ λούειν· καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν· [40] καὶ γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ· τὰς δὲ ὑςέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν, καὶ ῥοφήμασι χρῆσθαι, καὶ οἴνοισι γλυκέσιν. Ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ [41] σημηίων ἐνεόντων, ἐᾷν χρὴ, ἕως ἂν αἱ κρίσιες παρέλθωσιν, καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται· καὶ μήτε φάρμακον δῷς, μήτε κλύσῃς ἐς κάθαρσιν, [42] πλὴν αἱ κρίσιες παρέλθωσιν.

dolorem intensum: flavæ vero remissiorem significant; sputumque præ calore ac siccitate exustum & crassum est. Plerumque vero & in peripneumoniam transit: quod si transierit, celeriter moritur. Hunc autem sic curare oportet. Singulis diebus bis aut ter, capite excepto, calida lavato: in crisibus autem lavandum non est. Ac primis quidem diebus per inferiora purgandum, & aqua potui exhibenda: aqua etenim plerumque vomitum inducit: posteris à purgatione (diebus) humectandum, sorbitionibus, vinisque dulcibus utendum. At si per initia curandum non susceperis, sed signis jam in lingua existentibus, sinere oportet, dum judicationes præterierint, linguæque signa mitiora evaserint; & neque medicamentum, neque per clysterem infusum, priusquam judicationes præterierint, exhibueris.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὁ πλεύμων οἰδῶν ὑπὸ θερμασίας· καὶ ἡ αὐτοῦ διάγνωσίς τε, καὶ πρόγνωσις, καὶ θεραπεία.

[43] Ὁ Πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης. 8 Ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βὴξ ἴσχει ἰσχυρὴ, καὶ σκληρὴ, καὶ ὀρθοπνοίη, καὶ ἀναπνεῖ ἄθροον, καὶ ἀσθμαίνει πυκνὸν, καὶ οἰδέει, καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν [44] ὥσπερ ἵππος ἐκ δρόμου, καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει, καὶ τὰ ςήθεα αὐτῷ ἀείδειν δοκέει, καὶ βάρος ἐνεῖναι· [45] διὸ χωρέειν οὐ δύναται τὰ ςήθεα, ἀλλὰ διαῤῥήγνυται, καὶ ἀδυνατέει, ἥτε ὀδύνη ὀξείη ἴσχει, [46] καὶ τόν τε νῶτον, καὶ τὰ ςήθεα, καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι, [47] καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος· καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ ςῆθος καὶ τὸν νῶτον, ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει καὶ [48] ἀπορίη, ὥςε οὔτε ἑςάναι, οὔτε καθῆσθαι, οὔτε κατακεῖσθαι οἷός τέ ἐςιν· [49] ἀλλ' ὧδε ἀπορέων βληςρίζει ἑωϋτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι. Ἀποθνήσκει δὲ μάλιςα τεταρταῖος ἢ ἑβδομαῖος· [50] ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλιςα θνήσκει. Τοῦτον, ἢν θεραπεύῃς, χρὴ τὴν κάτω κοιλίην ὡς τάχιςα καθῆραι κλύσματι καλῶς· καὶ

CAPUT VII.

Pulmo ex calore tumens; ejusque dignotio, prænotio, & curatio.

PUlmo ex calore tumens. Quum pulmo caloris plenus intumuerit, vehemens duraque tussis detinet, spiritus erecta cervice ducitur, confertim respirat, crebro anhelat, tumescit, nares expandit ut equus ex cursu, & linguam frequenter exerit, pectus ei sonum edere videtur, & gravitas inesse: quapropter (hanc) pectus capere nequit, sed disrumpitur, & est impotens, ac dolor acutus occupat; dorsum, pectus & latera velut acus pungunt, eaque ardent, ut ejus qui ad ignem sedeat; in pectore & dorso rubores tanquam ex flamma exoriuntur, ac adeo vehemens morsus & anxietas invadit, ut neque stare, neque sedere, neque decumbere queat; sed ita æstuans seipsum jactat, & jamjam mori videtur. Moritur autem maxime quarto aut septimo die, quos si effugerit, plerumque haud perit. Hunc si curabis, alvum inferiorem quam citissime per clysterem probe purgare oportet; &

VARIÆ LECTIONES.

38 ξυγκεκαυμένον καὶ παχύ ἐςι vulgati codd. καὶ abest in MS. cod. Paulo post καθίςαται Serv. ex cod. MS. pro μεθίςαται scribit.

39 τοῦτον δὲ ὧδε, conjunctio δὲ abest in MS. cod. Paulo post τῆς ante ἡμέρης in Cod. omittitur.

40 καὶ γὰρ, omittitur γὰρ in MS. codice.

41 σημηίων ἐνεόντων; ast pro ἐνεόντων in MS. cod. scribitur ἰόντων. Paulo post δοῖς pro δῷς in eodem legitur.

42 πρὶν pro πλὴν eodem prope sensu MS. cod.

43 ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης omittitur hæc epigraphe in MS. cod. & legitur ὅταν δὲ ὁ πλεύμων πλησθῇ ὑπὸ φλεγμασίης καὶ οἰδήσῃ, βὴξ ἔχει ἰσχυρὴ, καὶ ὀρθοπνοίη, καὶ ἀναπνέει καὶ πυκνὸν, καὶ ἀσθμαίνει ἀθρόον, καὶ ἰδίει, hoc est; *Quum pulmo inflammatione cruciatur, & intumuit; tussis vehemens detinet, & erecta cervice spiratio; & confertim respirat, & crebro anhelat, & sudat.*

44 Pro ὥσπερ ἵππος ἐκ δρόμου. MS. cod. ὡς ἵππος δραμών. Ibidem ἀείδειν *modulari* interpretatur Charter.

45 διὸ χωρέειν οὐ δύνασθαι MS. cod. Paulo post ἥδε ὀδύνη ὀξείη ἴσχει τὸν νῶτον in eodem scribitur.

46 καὶ omittitur ante τόν τε νῶτον in MS. cod. & delet Imper. Samb. ut sit, *dolor occupat dorsum.*

47 καὶ καίεται ταῦτα, ὡς πρὸς πῦρ καθήμενος legunt omnia exempl. publicata. Codex MS. vero longe aliam habet lectionem, & quidem sic: καὶ καίεται τὰ ὦτα, ὡς πρὸς πυρὶ καθιζόμενος· καὶ ἐρυθήματα ἐκφλύει ἐς τὸ ςῆθος, καὶ τὸν ὦτον, καὶ ὡς φολιδοειδέα.

48 Pro ἀπορίη Imp. Samb. Cod. ἀπορίη. Mox MS. cod. ὥςε οὔτε κατακεῖσθαι, οὔθ' ἵςασθαι· οὔτε καθίζεσθαι.

49 MS. cod. scribit, ἀλλ' ἀπορέει ἀλύων· ῥιπτάζει τε ἑωυτόν.

50 ἢν δὲ ταύτας ἐκφύγῃ, οὐ μάλα ἀποθνήσκει· τοῦτον ἢν θεραπεύῃς, τὴν κάτω κοιλίην ὡς τάχιςα καθῆραι κλύσματι εὖ. MS. cod.

e cubitis, nare, lingua, & quavis corporis parte ſanguinem mittere; & potiones refrigerantes, ſorbitionesque ejusdem facultatis exhibere: urinam etiam cientia, ſed quæ non calefaciant, ſæpe danda. Et ad dolores quidem ipſos, quum vehementer irruunt, tepefacientibus levibus & humidis adhibitis, locum ubicumque dolor fuerit, calefacere & humectare oportet; reliquis vero partibus, admotis refrigerantibus, ea quidem modo auferre, modo vero apponere; & quacunque parte ardere videbitur, frigus inducere; & in totum vino abſtinere.

ἀπὸ τῶν ἀγκώνων, καὶ τῆς ῥινὸς, καὶ τῆς γλώσσης [51] καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι· καὶ πόματα διδόναι ψυκτικὰ, καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα· καὶ τῶν οὐρητικῶν, μὴ θερμαινόντων δὲ, πολλάκις διδόναι. Καὶ πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ [52] προσφέροντα, χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον, οὗ ἂν ᾖ ἡ ὀδύνη· πρὸς δὲ τὰ ἄλλα, ψυκτήρια προΐσχειν, τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ
9 προσιθέντα·" καὶ ὅκου ἂν κατακαίηται, ψῦχος ποιέειν· ἀοινέειν δὲ τὸ πάμπαν.

CAPUT VIII.

De acuto capitis dolore cum vocis interceptione, ejusque dignotione, prænotione & curatione.

CApitis dolor. Quum autem a capite exortus dolor acutus derepente vocem interceperit, tum alias, tum ubi ex ebrietate contigerit, ſic affectus ſeptimo die moritur. Minus tamen tale quid ex ebrietate perpeſſi, & voce capti permanentes moriuntur: eodem enim die, aut poſtero, aut tertio ſi vox eruperit, convaleſcunt: hoc autem ex temulentia nonnulli faciunt, neutrique pereunt. His vehementes ſternutationes inducito, & clyſterem injicito, qui vehementer bilem educat: quod ſi ſenſum recuperaverit, thapſiæ ſuccum ex multa aqua calida, quo quam citiſſime revomat, exhibeto. Deinde extenuato, & per ſeptem dies à vino prohibeto: ſanguis etiam e lingua detrahendus; ſi venam prehendere poſſis.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τ̃ ὀξείας κεφαλῆς ὀδύνης σὺν ἀφωνίᾳ, καὶ τ̃ αὐτῆς διαγνώσεώς τε, καὶ προγνώσεως, καὶ θεραπείας.

10 [53] ΚΕφαλῆς ὀδύνη." Ὀκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη ὀξείη, [54] ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης ὅταν γένηται, οὗτος ἀποθνήσκει ἑβδομαῖος. [55] Ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες, καὶ ἄφωνοι
11 μείναντες, θνήσκουσιν·" ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν, [56] ἢ τῇ ὑςεραίῃ, ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται· [57] ποιέουσι δὲ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, [58] καὶ οὐδέτεροι ἀπόλλυνται. Τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς, καὶ ὑποκλύσαι, [59] ὅ, τι ἂν χολὴν ἄξῃ σφόδρα· καὶ, ἢν αἴσθηται, ὀπὸν θαψίης δοῦναι, ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιςα ἀπεμέσῃ. [60] Ἔπειτα ἀπισχναίνειν καὶ ἀοινέειν ἑπ̃ὰ ἡμέρας· ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώσσης αἷμα· ἢν δύνῃ λαβεῖν φλέβα.

CAPUT IX.

De phrenitidum dignotione, & curatione.

PHrenitides. Phrenitis etiam ex aliis morbis contingit; hæc autem patiuntur (phrenitici.) Septum transverſum adeo dolet, ut ne contingere quidem ſinant,

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τῶν φρενιτίδων διαγνώσεώς τε καὶ θεραπείας.

[61] ΦΡενίτιδες. [62] Φρενίτις δὲ γίνεται καὶ ἐξ ἑτέρης νούσου· πάσχουσι δὲ τάδε. Τὰς φρένας ἀλγέουσιν, ὥςε μὴ ἐᾶσαι ἂν ἅψασθαι, καὶ

VARIÆ LECTIONES.

51 καὶ πάντοθεν τοῦ σώματος omnia exemplar. ſed τοῦ σώματος deeſt in MS. cod.

52 προΐσχειν· τὰ δὲ τὰ ἄλλα ψυκτήρια προΐσχειν· τὰ μὲν ἀφαιρέοντα· τὰ δὲ προσιθέντα· καὶ ἢν κατακαίηται, ψῦχος ποιέειν, omiſſis cæteris MS. cod.

53 Κεφαλῆς ὀδύνη, hæc epigraphe omittitur in MS. cod.

54 ἄφωνον ποιήσει παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης, omiſſis ὅταν γένηται, MS. cod.

55 ἧσσον δὲ τοῖσιν ἐκ τῆς μέθης θανάσιμα MS. cod. ſcribit, pro ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες, καὶ ἄφωνοι μείναντες, θνήσκουσιν.

56 ἢ τριταῖοι ὑγιέες εἰσὶ, omiſſis ἢ τῇ ὑςεραίῃ, MS. cod.

57 ποιέουσι δὲ οἱ, vulg. Codd. deeſt in MS. cod. οἱ, quod probamus.

58 Pro καὶ οὐδέτεροι, MS. cod. οἱ δ' ἕτεροι.

59 ὅ, τι ἂν χολὴν ἄξῃ σφ. omnia exemplaria vulgata, pro quibus MS. cod. legit, ὃ χολὴν ἄξει σφόδρα.

60 Sic legimus ex MS. cod. pro vulgato ἔπειτα ἐπισχναίνειν. Mox καὶ ἀσιτέειν, & a cibo abſtinere, Linden. ſcribit ex Serv. cod. pro καὶ ἀοινέειν.

61 Φρενίτιδες deeſt hæc epigraphe in MS. cod.

62 Φρενίτις δὲ γίνεται μὲν ἐξ ἑτέρων νούσων MS. cod. pro vulgatis Φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων; nos cod. lectionem amplectimur.

[63] καὶ πῦρ ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ ἀτενὲς βλέπουσι, καὶ τἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν τῇσι περιπλευμονίῃσιν, ὁκόταν οἱ ἐν τῇσι περιπλευμονίῃσιν ἔκφρονες ἔωσι. Τοῦτον [64] χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι, πλὴν οἴνου. Κὴν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ, ὥσπερ ἐν τῇ περιπλευμονίῃ· εἰ δὲ μὴ, τὴν κάτω κοιλίην παρασκευάζειν, ὅκως ὑποχωρέῃ· ὑγραίνειν δὲ πόματι· ἀγαθὸν γάρ. Ἡ δὲ νοῦσος θανατώδης· ἀποθνήσκουσι δὲ τριταῖοι, ἢ πεμπταῖοι, ἢ ἑβδομαῖοι· ἢν δὲ ἠπίως ληφθῇ, [65] κρίνει ὡς περιπλευμονίη.

febris detinet, mente alienantur, intentis oculis aspiciunt, aliaque similia efficiunt his, qui peripneumonia laborant, quum hi in peripneumonia mente moventur. Hunc tepefacientibus humidis fovere oportet, & potionibus, præterquam vino. Et si quidem fieri poterit, per superiora purgare, & per tussim etiam & sputum, quemadmodum in peripneumonia, educere oportet: sin minus, alvus inferior, ut dejiciat, præparanda, & potionibus humectanda; hoc enim conducit. Hic autem morbus lethalis est; tertio namque die, aut quinto, aut septimo moriuntur: si vero leviter corripuerit, ut peripneumonia judicat.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Κυνάγχη διπλῆ, κυνάγχη καὶ παρακυνάγχη· καὶ τὰ ἀμφοτέρων σημεῖα, καὶ ἡ θεραπεία.

[66] Κυνάγχη. Ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὁ ἄνθρωπος, καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι, καὶ οὔτε τὸ σίαλον κατασπᾷ, οὔτε ἄλλο οὐδέν· [67] καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι, καὶ βλέπει αὐτοῖσιν ἀτενὲς, [68] καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτούς· [69] καὶ λύζει, καὶ ἀναΐσσει θαμινὰ, καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, [70] ἀτὰρ καὶ ὁ τράχηλος· τοῖσι δὲ ὁρέουσιν οὐδὲν κακὸν ἔχειν δοκέει· καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον, καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε, ἤν τι λέγῃ, οὔτε, ἤν τι ἀκούῃ, ἢ ποιέῃ· [71] ἀλλὰ κεχηνὼς κέεται σιαλοχέων. Τοιάδε ποιέων οὗτος, ἀποθνήσκει πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ ἐνναταῖος. [72] Παρακυνάγχη. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημείων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον, καὶ καλέουσιν [73] αὐτὴν παρακυνάγχην. Τοῦτον φλεβοτομέειν χρὴ, μάλιστα μὲν ὑπὸ τὸν τιτθόν· συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα. Χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ, ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους παρῶσαι ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, [74] ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν πλεύμονα· καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν πλεύμονα· [75] καὶ ὑποθυμιᾷν δὴ ὕσσωπον Κιλίκιον, καὶ θεῖον, καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων, καὶ διὰ τῶν ῥινῶν, ὡς ἐξίῃ φλέγμα·

CAPUT X.

Angina duplex, cynanche, & paracynanche; & utriusque signa & curatio.

Angina. Ab angina appellata homo suffocatur, & in faucibus magis urgeri
videtur, & neque salivam, neque aliud
quicquam attrahit; oculi affecti sunt, ac
velut strangulatis prominent, & per eos
contente intuetur, neque eos convertere
12 potest; crebro singultit, & exilit, facies
& fauces incenduntur, imo etiam collum:
intuentibus vero nihil mali habere videtur,
& cernit, & audit obtusius, & præ suffocatione non intelligit, neque quid dicat,
aut audiat, aut faciat; sed jacet ore hiante salivam effundens. Hæc quum faciat,
quinto, aut septimo, aut nono die moritur. Paracynanche. Quum vero horum
signorum aliquod abfuerit, leviorem mor-
13 bum indicat, eumque paracynanchen ap-
14 pellant. Huic vena, præsertim quidem
sub mamma, secanda est; hac enim spiritus ex pulmone calidus concomitatur.
Quin & medicamento aut clystere deorsum
15 purgare oportet, fistulæque in fauces ad
maxillas intrudendæ, quo spiritus in pulmonem trahatur; efficiendumque, ut quam citissime spuat, pulmoque attenuandus: suffitus quoque ex hyssopo Cilicio, sulphure, & bitumine parandus, & per fistulas attrahendus, perque nares, ut pituita exeat:

Variæ Lectiones.

63 καὶ πῦρ ἥκει vulgati codd. Verum καὶ πῦρ ἔχει ex MS. cod. restituimus.

64 χλιαίνειν δεῖ, MS. cod. omittit δεῖ.

65 Pro κρίνει vulgato, in MS. cod. est κρινέει.

66 Κυνάγχη non legitur in MS. cod. & dicitur ὑπὸ δὲ τῆς κυνάγχης λεγομένης τε ἄνθρωπος.

67 Omnia exempl. legunt καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον, ὡς ἀπαγχομένοισι, καὶ βλέπει αὐτοῖσιν ἀτενές. Quæ verba sic habentur in MS. cod. καὶ οἱ ὀφθαλμοὶ πονέουσί τε καὶ ἐξέχουσιν· ὡς ἀγχομένοισι, καὶ ἐκβλέπει αὐτοῖσιν ἀτενές.

68 καὶ στρέφειν σφέας οὐχ οἷός τε omissis ἐστιν αὐτοὺς MS. cod.

69 καὶ λύζει, & singultit, omnia exemplar. & MS. cod. quam lectionem secutus est Celsus Libr. IV. cap. 4. v. 5. cum dicit, *singultusque* est. Λύζειν etiamsi singultire significat, tamen ἀλύειν anxium esse, & ἀδημονεῖν, *mærere, angi*, denotat, qua significatione usi sunt interpretes. Verum Imp. Corn. ἀλύζει, *jactat se*, habet.

70 ἀτὰρ καὶ ὁ τράχηλος vulgati codd. enimvero ἀτὰρ deest in MS. cod. Ibid. pro τοῖσι δὲ ὁρέουσιν οὐδὲν, in codice legitur, ὑπὸ δὲ τοῖσιν οὔασιν οὐδέν, sub auribus autem nihil mali &c.

71 ἀλλὰ κεχηνὼς κέεται MS. cod. omisso σιαλοχέων.

72 ἢ ἐνναταῖος. Παρακυνάγχη non legitur in MS. cod. hæc epigraphe.

73 αὐτὴν abest in MS. cod. Paulo post in codice MS. legitur μάλιστα μὲν ὑπὸ τιτθὸν, quam lectionem prætulimus, pro μάλιστα δὲ ὑπὸ τιτθὸν MS. Servin. παρὰ pro ὑπὸ scribit.

74 Sic MS. cod. pro vulgato ὡς ἕλκηται.

75 καὶ ὑποθυμιᾷν δὴ, in MS. cod. deest δή.

fauces & lingua, his quæ pituitam ducant, infricanda; venæque sub lingua secandæ: sanguis etiam ex cubitis mittendus, si vires valeant. Vino abstinendum, & ptisanæ succus liquidus sorbendus. Postquam autem morbus remiserit, cibosque gustaverit, elaterio recenti, ne in aliud malum incidat, purgandum.

καὶ τὴν φάρυγα καὶ τὴν γλῶσσαν ἀνατρίβειν [76] τοῖσι τὸ φλέγμα ἄγουσι· καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν· ἀφιέναι δὲ αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ. Ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης [77] χυλὸν λεπτόν. Ἐπειδὰν δὲ ἀφῇ ἡ νοῦσος, καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ.

CAPUT XI.

De icteri (seu morbi Regii) dignotione, prænotione, & curatione.

Morbus icterus. Hujusmodi icterus acutus est, & cito enecat. Color totus malicorium maxime refert, ex viridi pallescens, quales sunt lacerti virides; simileque fere corpus est: & in urina subsidet, velut ervum fulvum; & febris ac horror levis detinet. Quandoque etiam vestes ferre non sustinet, sed (ab iis) mordetur ac raditur: jejuno mane viscera plerumque lacerantur; & siquis eum excitet, aut alloquatur, non patitur. Hic fere intra dies quatuordecim moritur; hos si effugerit, convalescit. Calida lavare oportet, & aquam mulsam bibere, cum nucibus Thasiis decorticatis, & absinthii coma, pari portione, & anisi cribrati dimidio, ita ut triobolum ex his jejunus bibat; rursusque quum cubile petit, hanc aquam mulsam, vinumque vetus tenue (assumat,) & sorbitiones; neque cibis abstineat.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς τοῦ ἰκτέρου διαγνώσεως τε καὶ προγνώσεως, καὶ θεραπείας.

[78] Νοῦσος ἴκτερος. Ἴκτερος τοιόσδε ἐστιν·
ὀξὺς, καὶ διὰ ταχέως ἀποκτείνων.
16 Ἡ χροιὴ ὅλη σιδιοειδὴς σφόδρα ἐστὶ, χλω-
17 ροτέρη, οἷοι οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δὲ καὶ ὁ χρὼς· καὶ ἐν τῷ οὔρῳ ὑφίσταται, οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετὸς καὶ φρίκη [79] βληχρὴ ἔχει. Ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται· καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ, τὰ σπλάγχνα ἀμύσσεται ὡς ἐπιτοπουλύ· καὶ ὁκόταν ἐγείρῃ τὶς αὐτὸν, ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. Οὗτος ὡς ἐπιτοπολὺ, ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων· ταύτας δὲ διαφυγὼν, [80] ὑγιὴς γίνεται. Χρὴ δὲ θερ-
18 μολουτέειν τε καὶ πίνειν μελίκρητον, σὺν 161
καρύων θασίων λεπισθέντων καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, πίνειν ὁλκῆς τριόβολον νῆστις· καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, καὶ οἶνον παλαιὸν λεπτὸν, καὶ ῥοφήματα· ἀσιτέειν δὲ μή.

CAPUT XII.

De tetano, & opisthotono, & utriusque dignotione, prænotione, & curatione.

Tetanus. Quum invaserint tetani, maxillæ velut ligna rigent, & os aperire nequeunt; oculi illacrymantur ac distorquentur, dorsum riget, crura contrahere non possunt, similiter neque manus; facies rubescit, & vehementer dolet, quumque moriturus est, potionem, sorbitionem, & pituitam per nares revomit. Hic tertio, aut quinto,

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς τοῦ τετάνου τε, καὶ ὀπισθοτόνου διαγνώσεως, καὶ προγνώσεως, καὶ θεραπείας.

[81] Τέτανος. [82] Οἱ τέτανοι ὅταν ἐπιλάβωσιν,
19 αἱ γένυες πεπήγασιν ὡς ξύλα, καὶ τὸ στόμα διοίγειν οὐ δύνανται· καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, [83] ὁμοίως οὐδὲ τὸ χεῖρε· καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ σφόδρα ὀδυνᾶται, καὶ, ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν, [84] καὶ τὸ πόμα, καὶ τὸ ῥόφημα, καὶ τὸ φλέγμα. Οὗτος τρι-

VARIÆ LECTIONES.

76 τοῖσι τὸ φλέγμα MS. cod. inserto articulo τό. Paulo post ἀφιέναι δὲ αἷμα omnes codd. vulgati legunt; sed αἷμα omittitur in MS. cod.

77 χυλὸν λεπτὸν vulgata exempl. λεπτὸν non est in MS. cod. Paulo post pro ἀφῇ, in eodem ἀνῇ, *dimiserit* scribitur, eodem sensu. Paulo post ἐλατηρίῳ νέῳ περικαθῆραι in cod. scribitur.

78 Νοῦσος ἴκτερος, hæc epigraphe deest in MS. cod. & sic habetur: ἴκτερος δ' ὅτοιος δ' ἐστιν· ὀξύς. Paulo post pro παρόμοιος in MS. cod. legitur ὅμοιος.

79 βληχρὴ ἔχει MS. cod. paulo post pro ἐγείρῃ τις, in eodem scribitur ἀνιστῇ τις. Imp. Sambuci autem ἀναστήσῃ *surgere faciat.*

80 ὑγιὴς γίνεται omnia exemplaria; sed in MS. cod. ὑγιὴς simplicer legitur omisso verbo γίνεται. Paulo post: σὺν καρύων θασίων λεπισθέντων, καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, πίνειν ὁλκῆς τριόβολον νῆστις· καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, hæc omnia desunt in MS. cod.

81 Τετάνος deest in MS. cod. περὶ τετάνων ex MS. Servin.

82 MS. cod. legit, οἱ δὲ τέτανοι, ἢν ἐπιλάβωσιν, αἱ γένυες, πεπήγασιν ὡς ξυλιναί· καὶ τὸ στόμα διαίρειν· καὶ τοὺς ὀφθαλμοὺς δακρύοντες, ἅμα ἰλλαίνονται.

83 ὁμοίως οὐδὲ τὰς χεῖρας· καὶ τὸ πρόσωπον (omissis ἐρεύθει καὶ) σφόδρα ὀδυνᾶται legit MS. cod.

84 καὶ τὸ πόμα, in MS. cod. τὸ deest.

τριταῖος, ἢ πεμπταῖος, ἢ ἑβδομαῖος, ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται· ταύτας δὲ διαφυγὼν, ὑγιὴς γίνεται. 20 Τούτῳ διδόναι [85] κατάπομα, πέπερι, καὶ ἐλλέβορον μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα, θερμόν· 21 καὶ [86] πταρμοὺς ἰσχυροὺς, καὶ πολλοὺς ἐμποιέειν, καὶ πυριᾷν· ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ [87] ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα δὲ πρὸς τὰ ὀδυνώμενα, καὶ ἀλείφειν θερμῷ, καὶ πολλῷ καὶ πολλάκις. [88] Ὀπισθότονος. [89] Ὅταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτὰ, σπᾶται δὲ εἰς τοὔπισθεν, καὶ βοᾷ ἐνίοτε, καὶ ὀδύναι ἴσχουσιν ἰσχυραί, 22 καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα, οὐδὲ τὰς χεῖρας ἐκτεῖναι· [90] ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται, καὶ τοὺς δακτύλους πὺξ ἔχει, καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπουλὺ, καὶ βοᾷ, [91] καὶ φλυαρέει ἐνίοτε· καὶ οὐ δύναται ἑωϋτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ, ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει. Ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι, ἢ μανικοί τε [92] καὶ μελαγχολικοί. Οὗτοι τριταῖοι θνήσκουσι, τῆς φωνῆς λυθείσης, καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν· [93] εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. Θεραπεύειν δὲ ὡς τὸν ἄνω· ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν. 23 Ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας· [94] ἔπειτα ἱμάτια λεπτὰ, καὶ καθαρὰ, καὶ θερμὰ ἐπιβάλλειν· πῦρ δὲ τότε μὴ προσφέρειν. Οὕτως χρὴ ποιέειν καὶ τοὺς τετάνους, καὶ τοὺς ὀπισθοτόνους.

aut ſeptimo, aut decimoquarto die perit; hos ſi effugerit, convaleſcit. Huic potionem ex pipere & veratro nigro exhibeto, & juſculum gallinaceum pingue, & calidum; ſternutamentaque vehementia & multa excitato, & fotus adhibeto: ubi vero non fovebitur, tepefactoria humida & pinguia in veſicis & utriculis undique, præſertimque ad dolentes partes admoveto, & calido (oleo) copioſo, crebroque illinito. Opiſthotonus. Quum opiſthotonus tenuerit, reliqua quidem plerumque eadem ſunt; verum in poſteriora convellitur, interdumque vociferatur; vehementes dolores occupant; neque interdum crura adducere, neque manus extendere ſinit: inflexi enim ſunt cubiti, digitos in pugnum contractos habet, & pollicem ut plurimum aliis digitis continet, vociferatur, & quandoque nugatur; neque ſe continere poteſt, ſed quum dolor detinet, interdum ſurſum proſilit; ubi vero dolor remiſerit, quietem habet. Interdum vero ſimul ut morbo corripiuntur, muti fiunt, aut inſania, & melancholia tentantur. Hi voce ſoluta, tertio die moriuntur, & per nares revomunt: ſi vero contigerit, ut decimumquartum diem effugerint, convaleſcunt. Ut ſuperiorem, curato, & ſi voles ita facito. Poſt affuſam aquam frigidam plurimam, veſtimenta tenuia, pura, & calida ſuperinjicito; tuncque ignem ne adhibeto. Hoc modo & tetani & opiſthotoni curandi.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τῶν εἰλεῶν διαγνώσεώς τε καὶ θεραπείας· περὶ τῆς φύσης ἐς τὴν κοιλίην ἐνέσεως.

[95] Εἰλεοί. Εἰλεοὶ δὲ γίνονται, [96] τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης· ξυναυαίνεται γὰρ τὸ ἔντερον, καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα, μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, καὶ ἐμέειν ἐνίοτε, πρῶτον μετὰ φλεγματώδεα· [97] ἔπειτα δὲ χολώδεα, τελευτῶν δὲ κόπρον,

CAPUT XIII.

De volvulorum diagnoſi, & curatione; de flatus in ventrem per follem immiſſione.

Volvuli. Oriuntur volvuli, quum incaleſcit venter ſuperior, inferior vero refrigeſcit: reſiccatur enim ſimul inteſtinum, & conſtipatur ex inflammatione, ita ut neque flatus, neque alimenta pertranſeant, ſed venter durus ſit, & vomat interdum, in primis quidem pituitoſa; deinde vero bilioſa, poſtremo etiam ſtercus; ſi-

VARIÆ LECTIONES.

85 κατάπομα *potionem* Imp. Samb. & Fevr. & hanc lectionem ſecuti ſumus pro καταπότια vulgato. In MS. cod. legitur κατάπομα. Paulo poſt γάλα ὄνειον πίειν θερμὸν, *lac aſininum calidum bibere* legiſſe videtur Cæl. Aurel. Libr. III. Cap. 8. Acut. pro ζωμὸν ὀρνιθείων πίονα.

86 Pro πταρμοὺς, Calvus ἐμέτους, *vomitus* legit.

87 ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα πρὸς τὰ ὀδυνώδεα MS. cod. legit.

88 ὀπισθότονος deeſt in MS. cod. hæc epigraphe.

89 ὁ δὲ ὀπισθότονος τὰ μὲν ἄλλα, ὡς ἐπὶ τὸ πολὺ ὡσαύτως MS. cod.

90 ξυγκεκαμμένοι ex MS. Servin. & pro γίνονται idem ſcribit τείνονται, *tenduntur*.

91 καὶ φλυαρέει MS. cod. Paulo poſt pro ὅταν δὲ ἀνῇ ἡ ὀδύνη in cod. ſcribitur ὅτε δὲ ἀνίησιν ἡ ὀδύνη.

92 καὶ μελαγχολικοί· pro καὶ MS. cod. habet ἢ. Mox pro θνήσκουσι dicitur ἀποθνήσκουσι in eodem codice.

93 καὶ ὀδάξουσι· τὰς δὲ τέσσαρας καίδεκα διαφυγὼν, ὑγιὴς· θεραπεύειν MS. cod. legit.

94 ἐπὶ τὰ ἱμάτια θερμὰ καὶ καθαρὰ, καὶ πολλὰ, καὶ λεπτὰ ἐπιβάλλειν· πῦρ δὲ μὴ προσφέρειν· ὧδε καὶ τοὺς τετανικοὺς, καὶ τοὺς ὀπισθοτονικοὺς ποιέειν legit MS. cod.

95 Εἰλεοί, deeſt hæc epigraphe in MS. cod.

96 τῆς μὲν ἄνω κοιλίης θερμαινομένης· τῆς δὲ κάτω vulg. codd. quæ verba ſic ſcribuntur in MS. cod. τῆς ἄνω κοιλίης θερμαινομένης, καὶ τῆς κάτω. Deinde ſequentia omittuntur in MS. cod. καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης.

97 ἔπειτα δὲ χολώδεα, in cod. MS. omittitur conjunctio δὲ.

sitim patitur, ac dolorem, maxime circa hypochondria, totus etiam venter dolet, & inflatur, & sese jactat; febres invadunt, fiuntque maxime septimo die. Hos sic curare oportet. Venter superior quam citissime purgandus; sanguis e capite & cubitis detrahendus, ut alvus superior calescere desinat: partes supra septum transversum, excepto corde, refrigerandæ; inferiores autem, homine in aquæ calidæ solio collocato, & oleo semper illito, calefaciendæ, & tepentes fotus humidi admovendi: glans ex solo melle decem digitorum longitudinis constituenda, summa ejus parte anteriore felle taurino illita, bis aut ter subjicienda, quoad exusta omnia circa rectum intestinum stercora educas. Quod si sic paruerit, postea clyster injiciendus; sin minus, folle fabrili indito, in ventrem flatus immittendus, ut tum ventrem, tum intestinum contractum distendas. Deinde extracto folle, clyster injiciendus. Sit autem statim paratus clyster, ex non admodum calefacientibus, sed stercora dissolventibus ac emollientibus: deinde obturata sede spongia, in aqua calida desideat, clysma continens. Quod si clysma receperit, rursusque demiserit, convalescit. Priore autem tempore mel quam optimum delingat, vinumque vernaculum bene meracum bibat. At si remisso volvulo, febris eum prehenderit, sine spe est: fortassis enim etiam soluta alvus inferior interficiet.

καὶ δίψαν ἔχει, [98] καὶ ὀδύνην, μάλιςα μὲν
περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν
24 τὴν γαςέρα, καὶ πεφύσηται, " καὶ λύζει·
καὶ πυρετοὶ ἐπιλαμβάνουσι, [99] γίνονται δὲ
μάλιςα ἑβδομαῖοι. Τούτους ὧδε χρὴ θερα-
25 πεύειν. " Καθῆραι τὴν ἄνω κοιλίην ὡς ταχι-
ςα, καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς
καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοι-
λίη θερμαινομένη· καὶ ψύχειν τὰ ἄνω τῶν
φρενῶν, πλὴν τῆς καρδίης· τὰ δὲ κάτω θερ-
μαίνειν, ἐν [100] σκάφῃ ὕδατος θερμοῦ καθί-
ζων τὸν ἄνθρωπον, καὶ ἀλείφων ἀεὶ, καὶ
χλιάσματα ὑγρὰ προςιθέναι· καὶ βάλανον
μέλιτος [101] μόνου ποιέων ὡς δέκα δακτύλων,
ἐξ ἄκρου χολὴν ταύρου ἐς τὸ πρόσθεν ἐπι-
26 πλάσσων, πρόσθες καὶ δὶς καὶ τρὶς, " [102] ἕως
πάντα τὰ ξυγκεκαυμένα περὶ τὸν ἀρχὸν ἐξα-
γάγῃς τῆς κόπρου. Κὴν μὲν οὕτως ὑπα-
κούῃ, κλύζειν ἐπὶ τούτοισιν· [103] ἢν δὲ μὴ,
27 " φύσαν χαλκευτικὴν ἐσιέναι, καὶ φυσᾶν ἐς
τὴν κοιλίην, ἵνα διαςήσῃς τήν τε κοιλίην,
καὶ τὴν τοῦ ἐντέρου σύςασιν. [104] Εἶτα πάλιν
ἐξελὼν τὴν φύσαν, κλύσαι· εὐθὺς δὲ ἕτοιμον
ἔςω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν,
ἀλλὰ τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόν-
των· εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω
ἐν ὕδατι θερμῷ, κατέχων τὸ κλύσμα. Καὶ ἢν
δέξηται τὸ κλύσμα, καὶ πάλιν μεθῇ, [105] ὑ-
γιὴς γίνεται. Ἐν δὲ τῷ πρόσθεν χρόνῳ, μέλι
28 τε ὡς κάλλιςον λειχέτω, " [106] καὶ οἶνον αὐ-
τίτην πινέτω εὔζωρον. Ἢν δὲ, τοῦ εἰλεοῦ
ἀφέντος, [107] πυρετὸς αὐτὸν ἐπιλάβῃ, ἀνέλ-
πιςος· ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖ-
σα, ἀποκτείνειεν ἄν.

CAPUT XIV.

De peripneumoniæ dignotione, prænotione, & curatione.

PUlmonis inflammatio. Peripneumonia vero hæc facit. Febris acuta detinet, spiritum crebrum & calidum respirat, anxietudo, impotentia, jactatio, dolor sub scapulis, ad claviculam, & mammam, & in pectore gravitas: interdum etiam delirium; nonnullis vero, donec tussire cœperint,

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ τῆς περιπνευμονίας διαγνώσεώς τε καὶ προγνώσεως, καὶ θεραπείας.

29 [108] ΠΕριπλευμονίη. " Ἡ δὲ περιπλευμονίη
τοιάδε ποιέει. [109] Πυρετός τε ὀξὺς ἔχει,
καὶ τὸ πνεῦμα πυκνὸν καὶ θερμὸν ἀναπνέει, καὶ ἀ-
πορίη, καὶ ἀδυναμίη, καὶ ῥιπτασμὸς, καὶ ὀδύνη ὑπὸ
τὴν ὠμοπλάτην, καὶ εἰς τὴν κληῖδα καὶ ἐς τὸν
τιτθὸν, καὶ βάρος ἐν τοῖσι [110] ςήθεσιν· ἐνίοτε δὲ
καὶ παραφροσύνη· ἔςι δ' οἷσιν ἀνώδυνός ἐςιν,
ἕως

VARIÆ LECTIONES.

98 καὶ ὀδύνη ἔχει μάλιςα μὲν πρὸς τὰ ὑποχόνδρια· ἀλγέει δὲ καὶ ὅλην τὴν γαςέρα. MS. cod. & sequentia in eodem omittuntur, καὶ πεφύσηται, καὶ λύζει. Cornar. pro λύζει legisse videtur ἀλύει *anxius* est; Calvus autem μύζει *murmurat*, volutatque. Cæterum λύζει ex hoc loco exponit Hesychius λυθάζει, κυλινδεῖ.

99 In MS. cod. ita legitur, γίνεται δὲ μάλιςα μεθοπώρου· ἀποθνήσκει δὲ μάλιςα ἑβδομαῖος· τοῦτον ὧδε θεραπεύειν omisso χρή. Paulo post θερμαίνουσα ibidem legitur pro θερμαινομένη

100 Sic MS. cod. & Servin. pro σκάφει: deinde pro καθίζων τὸν ἄνθρωπον, καὶ ἀλείφων ἀεὶ, in MS. cod. legitur, καθίζειν καὶ ἀλείφειν αἰεί.

101 μόνου ποιέων ὡς δέκα δακτύλων MS. cod. cui assentimur, pro vulg. μόνον ποιέων ὡς δεκαδάκτυλον. Paulo post ὡς τὸ πρόσθεν προσπλάσσων in eodem cod. legitur.

102 Sic MS. cod. & Imp. Cornar. pro ὡς. postea περὶ τῶν ἀρχῶν Asulana exempl. habent.

103 εἰ δὲ μὴ, φύσαν λαβὼν χαλκευτικὴν ἐσιέναι, φυσᾶν ἐς τὴν κοιλίην MS. cod.

104 εἶτα πάλιν ἐκφέρων τὴν φύσαν, κλύσαι εὐθύς· ἕτοιμον δ' ἔςω τὸ κλύσμα, μὴ πολὺ τῶν θερμαντικῶν, καὶ διαλυόντων MS. cod.

105 ὑγιὴς omisso verbo γίνεται MS. Cod.

106 Pro καὶ οἶνον αὐγίτην πινέτω ἐγχώριον vulgat. In MS. cod. legitur, καὶ οἶνον αὐτίτην πινέτω εὔζωρον, & vinum *vernaculum bene meracum*, hancque lectionem secuti sumus, utpote meliorem & veram.

107 πυρετὸς αὐτὸν, in MS. cod. abest αὐτὸν, & sequens καὶ post ἴσως γὰρ quoque omittitur. Deinde dicitur συναποκτείνειεν, pro ἀποκτείνειεν.

108 Περιπλευμονίη, deest in MS. cod. hæc epigraphe.

109 πυρετός τε ἰσχυρὸς ἔχει, καὶ τὸ πνεῦμα πύκνον habet MS. cod.

110 ςήθεσι (omissis ἐνίοτε δὲ) καὶ παραφροσύνη MS. cod. Imp. Samb. vero παραφρονεῖ scribit, quam lectionem Serv. & Fevr. ex MSS. codd. secuti sunt.

[111] ἕως ἂν ἄρξωνται βήσσειν· πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. Τὸ δὲ [112] σίαλον λευκὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον· ἡ δὲ γλῶσσα ξανθή· προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. Ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνηται, θᾶσσους [113] αἱ ἀπαλλαγαί· ἢν δὲ ὕστερον, σχολαίτεραι. Τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, καί, ἢν [114] προσθῇς τὸν δάκτυλον, ἔχεται· τὴν
162 δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. Ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα, τοὐλάχιστον· τὸ πλεῖστον δέ, εἴκοσι καὶ μίαν· καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα· καὶ καθαίρεται ἅμα τῇ βηχί· τὸ μὲν πρῶτον, πολὺ καὶ ἀφρῶδες σίαλον· ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, [115] ἢν ὑγρὴ εἴη ἡ περιπλευμονίη, ἴῃ παχύτερον· ἢν δὲ μή, οὔ· ἐννάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον· δωδεκάτῃ δὲ μέχρι τῆς [116] τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. Ὧν καὶ ὑγραί εἰσιν αἵ τε φύσιες [117] καὶ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις [118] καὶ ἡ κατάςασις τῆς νούσου ξηρή, ἧσσον οὗτοι. Ἢν μὲν οὖν τῇ τετάρτῃ καὶ δεκάτῃ ξηρανθῇ, καὶ μηκέτι ἀποϐήσσῃ πυῶδες, ὑγιὴς ἐςιν· ἢν δὲ μή, [119] πρόσεχε ἐς τὰς εἴκοσι, δυοῖν δεούσας, καὶ τὰς εἴκοσι καὶ μίαν, τὸν νόον. Καί, ἢν μὲν ἐνταῦθα παύσηται [120] ἐκ τοῦ πτύσματος, φεύγει· ἢν δὲ μή, ἔρου αὐτόν, εἰ γλυκύτερον τὸ σίαλον· καί, ἢν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐςι, καὶ ἡ νοῦσος καθίςαται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων [121] ἀναγάγῃ τὸ πῦον· ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ ςάσις τῆς νούσου. Ἀλλ' ἐν τῇσι [122] πρώτῃσιν ἡμέρῃσι μάλιςα διάδηλοι· ἢν γὰρ ἐκπτύσῃ τὸ σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι, καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· ἢν δὲ μή, οὔ. Αὕτη ἡ περιπλευμονίη οὐδὲν [123] ἀπολείπει τῶν ἐν τῷ πλεύμονι ἐόντων κακῶν· ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, [124] εἰδέναι χρή, ὅσα τε τῷ κάμνοντι ἔχειν, καὶ τῷ ἰητρῷ μεταχειρίζεσθαι· ἢν δὲ ὀλίγα ἔχῃ τούτων τῶν σημείων, μὴ ἐξαπατάτω,

sine dolore est; sed illa diuturnior est, &
30 difficilior. Primum autem sputum album & spumosum spuit; lingua flava est; procedente vero tempore nigrescit. Si igitur circa initia nigrescat, celeriores sunt libe-
31 rationes; si vero postea, tardiores. Ad extremum autem lingua dehiscit, &, si digitum admoveris, adhæreseit: morbi vero liberationem, quemadmodum & in pleuritide, similiter lingua significat. Hæc autem contingunt diebus ut minimum quatuordecim, ad summum vero uno & viginti: & hoc tempore vehementer tussit, simulque cum tussi purgatur: primum quidem copiosum & spumosum sputum; septimo vero & octavo die, quum febris in vigore fuerit, humidaque peripneumonia extiterit, crassus procedit; sin secus, mi-
32 nime: nono & decimo, aliquantum cum virore pallescens & subcruentum: duode-
33 cimo ad decimumquartum usque, copiosum & purulentum. In iis nempe, in quibus naturæ & corporis affectiones humidæ sunt, quinetiam morbus vehementior est: at quibus natura & morbi constitutio sicca est, in his minus. Siquidem igitur ad decimumquartum diem resiccatus fuerit, neque purulentum amplius tussi rejecerit, sanus est; sin minus, decimum octavum, & primum ac vigesimum diem animadverte. Et, si quidem tunc quieverit hujusmodi sputum, evadit; sin minus, an dulcius sputum sit, ipsum interroga: quod si affirmaverit, pulmonem ipsi purulentum esse scito, morbumque annuum fore, nisi per quadraginta dies properans pus sursum eduxerit: at si ingratum sputum esse dixerit, hic morbi status lethalis est. Verum hi primis potissimum diebus manifesti sunt: nam si putridum & purulentum sputum duobus & viginti diebus expuerit, neque exulceratus fuerit, evadit; sin minus, neutiquam. Hæc peripneumonia nullum relinquit vitiorum, quæ in pulmone sunt: si igitur harum
34 affectionum aliquid abfuerit, nosse oportet quænam ægro sint necessaria, & quænam Medico aggredienda sint; quod si pauca ex his signis habeat, non est quod decipiatur,

Variæ Lectiones.

111 ἕως ἢν ἄρξωνται, in vulg. Codd. in MS. cod. non est ἢν. Verum puto legendum, ἕως ἂν.

112 σίαλον λεπτὸν vulgati codd. Nos vero sequimur MS. cod. scripturam, & ita habent Imper. Sambuc. Servin. & Fevr. ex MSS. codd. ita etiam in libr. περὶ κρισίμων dicitur. Paulo post καὶ ἡ γλῶσσα in cod. legitur, pro ἡ δὲ γλῶσσα.

113 αἱ κρίσιες exempl. quædam legunt pro αἱ ἀπαλλαγαί. In cod. MS. autem αἱ ἀπαλλάξιες.

114 προσθεὶς codd. impressi; sed in MS. cod. legitur προσθῇς τὸν δάκτυλον, θρέσσεται, in quo θρέσσεται pro ἔχεται ponitur.

115 ἢν ὑγρὴ εἴη, in MS. cod abest εἴη. Paulo post ταχύτερον, citius, legisse videtur Calvus, pro παχύτερον.

116 τεσσάρων καὶ δέκα MS. cod. pro τεσσαρεσκαιδεκάτης. Mox in eodem dicitur, ὧν, ὑγραί εἰσι omisso καί.

117 καὶ αἱ διαθέσιες MS. cod. inserto αἱ. & αὐτὰρ ante καὶ ἡ νοῦσος omittitur in eodem.

118 καὶ ἡ στάσις τῆς νούσου οὐ ξηρὴ, ἧσσον οὗτοι· ἢν μὲν οὖν πέμπτη, καὶ ἕκτη ἐπὶ δέκα ξηρανθῇ MS. cod.

119 πρόσεχε πρὸς τὰς εἴκοσι δυοῖν δεούσας MS. cod. pro vulgat. πρόσεχε ἐς τὰς εἴκοσι δυοῖν δεουσῶν.

120 Sic Imperial. Corn. cui assentimur, pro vulgatis ἐκφεύγει, τοῦ πτύσματος. Paulo post, καὶ ἢν μὲν φῇ, ὁ πλεύμων, MS. cod. omissis ἴσθι ὅτι.

121 Pro ἀναγάγῃ, in MS. cod. scribitur ἀγάγῃ.

122 MS. cod. πρώτῃσιν ἢ δευτέρῃσιν ἡμέρῃσι, in vulgatis deest ἢ δευτέρῃσιν. Ibid. in eod. cod. scribitur ἐκπτυσθῇ pro ἐκπτύσῃ.

123 In MS. cod. legitur ἀπολείπει τῶν ἐκ περιπλευμονίης κακῶν.

124 εἰδέναι χρὴ δέουσαν τῷ κάμνοντι MS. cod. pro εἰδ. χρή· ὅσα τε κάμνοντι.

quum hæc peripneumonia minime exitialis ſit, ſed levis. At peripneumoniam ita curare oportet: neque tamen peccaverit, ſiquis etiam pleuritidem & phrenitidem hoc modo curare aggrediatur. Primum quidem caput levius reddito, ne quid ad pectus defluat. Primis autem diebus ſorbitiones ſint dulciores: ſic enim maxime quod in ſe conſedit & compactum eſt, dilueris & agitaveris: quarto, quinto & ſexto die, ne amplius dulces ſint; ſed pingues: quum ad ſputum per ſuperiora excreandum conferant. Quod ſi pro ratione ſpuere nequeat, medicamenta, quæ ſurſum educunt, exhibenda. Primis quidem quatuor aut quinque diebus, paulo magis alvum ſubducere oportet, quo & febres obtuſiores ſint, & dolores leviores: quum autem vacuatus fuerit & corpore debilis, tertio quoque die alvus ſubducenda, ut tum corpus robuſtum evadat, tum ſuperiora loca humoris expertia: nam ſi multus humor per inferiora ſecedat à quinto die, mortem adfert: ſecedente enim per inferiora humore, ſuperiora ſicceſcunt, neque ſputi purgatio per ſuperiora prodit. Inferiorem igitur alvum neque nimis ſiſti oportet, ut febres haud acutæ ſint; neque nimis ſubduci, quo ſputum ſurſum emitti poſſit, & æger viribus valeat. At ſexto, & ſeptimo, ac nono die, jamque ulterius progreſſo morbo, medicamenta quæ ſurſum educant, magis exhibeto: ſit autem medicamentum, veratrum album, thapſia, elaterium recens, cujusque par portio. Quod ſi ſputum probe non repurgetur, & ſpiratio crebra fuerit, neque purgatio ſuperet, deſperatam eſſe ſalutem prædicito; niſi ad purgationem ſufficere poſſit. Facienda vero etiam quæ in peripneumonia fieri debent, ſi alvus inferior probe ſuum munus obierit: aliter etiam curatio facienda. A primo die ducto exordio, dracunculi magni concham majorem exhibeto, dauci & urticæ unam, ſinapis & rutæ, quantum tribus digitis capere poſſis, & laſerpitii ſuccum, fabæ magnitudine: hæc aceto dulci, & aqua temperata, & excolata, jejuno tepida potui præbeto. Poſtquam autem purum expuere cœperit, dracunculi concham majorem, & ſeſamum, & amygda-

[125] ἐπεὶ οὐκ ὀλέθριος περιπλευμονίη ἐςὶν· ἀλλά τις μαλθακή. [126] Θεραπεύειν δὲ χρὴ τὴν περιπλευμονίην οὕτως· οὐ μέντοι ἐξαμαρτήσει καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος. [127] Ἄρχου τὸ πρῶτον κουφίζειν τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ [128] πρὸς τὸ ςῆθος. Τὰς δὲ πρώτας ἡμέρας, τὰ ῥοφήματα ἔσω γλυκύτερα· οὕτω γὰρ ἂν μάλιςα τὸ ξυγκαθήμενον καὶ τὸ ξυνεςηκὸς ἀποπλύνοις καὶ [129] κινοίης· τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι, μηκέτι γλυκύτερα· ἀλλὰ λιπαρά· ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι ξυμφέρει. Ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, [130] ἐκ τῶν ἀναγόντων φαρμάκων διδόναι. Τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε, ὑποχωρέειν χρὴ καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι, καὶ τὰ ἀλγήματα κουφότερα· ὁκόταν δὲ κεκενωμένος ᾖ, καὶ ἀσθενὴς τὸ σῶμα, τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό, τε [131] σῶμα δυνατὸν ᾖ, καὶ τὰ ἄνω χωρία ἄνικμα· ἢν γὰρ κάτω ὑγρὸν πολλὸν ὑποχωρέῃ ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει· κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, καὶ ἄνω ξηραίνεται, καὶ ἡ κάθαρσις [132] τοῦ πτύσματος οὐ χωρέει ἄνω. Δεῖ οὖν καὶ τὴν κάτω κοιλίην, μήτε ἑςάναι [133] λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοί· μήτε λίην ὑποχωρέειν, ἵνα τὸ σίαλον ἀνιέναι δύνηται, καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς, ἑκταίοισι, [134] καὶ ἑβδομαίοισι, καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νούσου, μᾶλλον δίδου· τὸ δὲ φάρμακον ἔσω, ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάςου. Ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ, καὶ τὸ πνεῦμα πυκνὸν ᾖ, [135] καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιςός ἐςι τοῦ ζῆν· ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. Ποιέειν δὲ καὶ τὰ ἐν τῇ περιπλευμονίῃ, ἤν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουργέῃ· ποιέειν δὲ καὶ ἄλλως. Ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος, [136] δίδου ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα, δαύκου καὶ ἀκαλήφης μίην, καὶ νάπυος καὶ πηγάνου, ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ ὀπὸν σιλφίου, ὅσον κύαμον· ταῦτα ἐν ὄξει γλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήςει χλιαρόν. Ἐπειδὰν δὲ [137] ἄρχηται καθαρὸν ἐκπτύειν, ἄρου χηραμίδα, καὶ σήσαμον, καὶ ἀμύγδαλας

VARIÆ LECTIONES.

125 ὡς οὐ περιπλευμονίη ἐςίν· ἔςι γὰρ μαλθακὴ MS. cod. hoc ſenſu, ne decipiatur Medicus, quum pauca videt adeſſe ſigna, quaſi peripneumonia non ſit lethalis.

126 θεραπεύειν δ' ὧδε τὴν περιπλευμονίην MS. cod. paulo poſt ἐξαμαρτήσῃ MS. cod.

127 τὴν κεφαλὴν ἄρχου κουφίζειν MS. cod. Servin. vero ex MS. cod. θεραπεία ἄρχου κ. λ. legit.

128 ἐς τὸ ςῆθος· τὰ δὲ ῥοφήματα· τὰς μὲν πρώτας ἡμέρας γλυκύτερα, legitur in MS. cod.

129 MS. Cod. habet κινοίης pro vulgato κινέοις.

130 τῶν ἀναγόντων φαρμάκων vulgati cod. in MS. cod. ἐκ τῶν ἀναγόντων φαρμάκων, hancque lectionem adhibuit Lind. & nos ſecuti ſumus.

131 σῶμα μὴ ἀδύνατον ᾖ· καὶ τὰ κάτω χωρία ἔνυγρα· ἢν γὰρ κάτω τὸ ὑγρὸν πολλὸν, MS. cod. pro vulgatis, σῶμα δυνατὸν ᾖ, καὶ τὰ ἄνω χωρία ἄνικμα· ἢν γὰρ κάτω ὑγρὸν πολλόν.

132 ἡ τοῦ πτύσματος MS. cod. inſerto ἡ. Mox καὶ τὴν ἄνω, pro καὶ τὴν κάτω, in codice legitur.

133 λίην deeſt in MS. cod.

134 Pro καὶ ἑβδομαίοισι, καὶ ἐνναταίοισι καὶ ἔτι, MS. cod. legit, καὶ ὀγδοαίοισι, καὶ ἔτι, omiſſis καὶ ἐνναταίοισι. Poſtea ſequens μᾶλλον abeſt in cod.

135 καὶ τὰ τῆς καθάρσιος Imper. Cornar. addito τά.

136 δίδου ἄρου τοῦ μεγάλου in MS. cod. deeſt τοῦ. Ibidem καὶ δαύκου, καὶ ἀκαλήφης in Cod. ſcribitur.

137 Pro ἄρχηται Servin. ex MS. ἄρξηται. Mox ἐκπτύειν MS. cod. habet pro ἐκπλύειν.

λας καθήρας, ἐν ὄξει γλυκεῖ [138] κεκρημένῳ πίνειν· ἣν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνῦναι τούτοισιν.

las purgatas, aceto dulci, aqua diluto, propina: quod si magis educere voles, radicis capparis corticem his admisceto.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

CAPUT XV.

Περὶ τῆς πλευρίτιδος τῆς ὑγρῆς, χολώδους τε καὶ αἱματώδους, καὶ τῆς ξηρῆς, καὶ τῆς ἐν νώτῳ· ὧν ἐνθάδε τὰ διαγνωστικὰ, καὶ προγνωστικὰ, καὶ φαρμακευτικὰ, καὶ διαιτητικὰ, καὶ χειρουργικὰ παραδίδοται.

De pleuritide humida, biliosa, & cruenta; arida; dorsali; quarum hic diagnostica, prognostica, pharmaceutica, diætetica, & chirurgica traduntur.

[139] Πλευρῖτις. Ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει. Ὀδύνη τὴν πλευρὴν, καὶ πυρετὸς, καὶ φρίκη ἴσχει, [140] καὶ ἀναπνεῖ πυκνὸν, καὶ ὀρθοπνοίη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα, οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ· [141] ἢν δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων. Ἔστι δὲ, καὶ αἱματώδης· ἐν δὲ τῇ αἱματώδει ὕφαιμον. Ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· εἰ δὲ μὴ, ἐπιπονωτέρη μέν· θανατωδεστέρη δὲ οὔ· [142] ἡ δὲ αἱματώδης ἰσχυρὴ, καὶ ἐπίπονος, καὶ θανατώδης. Ὁκόταν οὖν προσῇ καὶ λὺγξ ἅμα, καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος· δέκα δὲ ἡμέρας διαφυγὼν τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται· εἰκοστῇ δὲ [143] ἐκπυΐσκεται, καὶ ἀποβήσσει πῦον· τελευτῶν δὲ, ἀπεμέει, καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. 263 [144] Ξηραὶ πλευρίτιδες. [145] Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι· χαλεπαὶ δὲ αὗται· [146] αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν· ὑγρασίης δὲ πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. 36 Αἱ δὲ χολώδεες, καὶ αἱματώδεες κρίνουσιν ἐνναταῖαι [147] καὶ ἑνδεκαταῖαι, καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. Ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης, [148] ὀξεῖαι, αὗται δὲ 37 τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἐκφεύγουσι· κίνδυνος δὲ μάλιστα μέχρις ἑβδόμης· ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην· μετὰ δὲ ταύτας ὑγιαίνονται. Αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. [149] Πλευρῖτις ἐν νώτῳ. Ἡ δὲ ἐς τὸν νῶτον πλευρῖτις, τοσόνδε διαφέρει τῶν ἄλλων. Τὸν νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς, καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον,

Pleuritis. Quum pleuritis corripuerit, hæc contingunt. Dolor latus (occupat) febris & horror detinet, crebra est respiratio, & erecta cervice fit, subbiliosa velut mali punici putamen per tussim rejicit, nisi ruptiones habuerit; si vero habuerit, etiam sanguinem a ruptionibus. Est autem & cruenta; in qua sanguinea expuit. Et biliosa quidem mitior est, nisi æger ruptiones habuerit: sin minus, molestior quidem; sed non adeo lethalis: cruenta autem vehemens, & laboriosa, & lethalis est. Quum igitur adest etiam una singultus, simulque cum sputo sanguinis grumos nigros extussit, hic septimo die moritur: si vero decem dies effugerit, a pleuritide convalescit; sed vigesimo suppuratur, & pus per tussim rejicit: tandem vero evomit, neque adeo facile curatur. Pleuritides siccæ. Sunt autem & siccæ pleuritides sine sputo; verum hæ molestæ sunt: judicationes aliis similes sunt; at copiosiore in potu humectatione, quam aliæ, opus habent. Biliosæ autem & cruentæ nono & undecimo die decernunt, iique magis sanescunt. Quod si per initia quidam leves dolores detinuerint, post quintum vero & sextum diem acuti, ii ad duodecimum usque protrahuntur, neque fere effugiunt: periculum autem est maxime ad usque septimum, imo etiam ad duodecimum; post hæc autem sanantur. Quæ ab initio quidem leves sunt, post septimum autem & octavum acutæ, ad decimumquartum decernunt & sanescunt. Pleuritis dorsalis. Pleuritis ad dorsum hoc ab aliis differt. Dorsum velut ex plaga dolor occupat, ingemiscit, confertim respirat,

 sta-

VARIÆ LECTIONES.

138 κεκρημένῳ vulgati codd. Lind. Servin. lectionem secutus est legendo κεκαρωμένῳ. In Imp. Samb. & Fevr. scribitur ἐπικηρωμένῳ.

139 πλευρῖτις, deest hæc epigraphe in MS. cod.

140 καὶ ἀναπνεῖ πυκνὸν, καὶ ὀρθοπνοίη ἔχει habent publicata exempl. Hæc autem in MS. cod. ita habentur, καὶ ἀναπνέει πύκινον, καὶ ὀρθοπνίη ἴσχει. Deinde καὶ ἀποβήσσει ὑπόχολον, οἷον legitur in eodem cod.

141 ἢν δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων MS. cod. omissis ἔστι δὲ καὶ αἱματώδης.

142 ἡ δὲ αἱματώδης ἰσχυρὴ, in MS. cod. abest ἰσχυρή.

143 ἐμπυΐσκεται MS. cod. & Servin. Ibidem τελευτῶν καὶ ἀπεμέει, καὶ οὐ πά[illegible]θεράπευτος γίνεται MS. cod. habet.

144 Ξηραὶ πλευρίτιδες non habetur hæc epigraphe in MS. cod.

145 Εἰσὶ δὲ, in MS. cod. non habetur δέ.

146 Sic MS. cod. quæ lectio Foesio probatur ex Cornar. vulgo legebatur, αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν ὑγρασίῃσι. Mox τῶν ἄλλων τῶν ἐν τῷ ποτῷ quædam exemplaria habent.

147 καὶ ἑνδεκαταῖαι, ἢ οὗτοι ὑγιέες Serv. ex MSS. codd. in MS. cod. autem ἢ δεκαταῖαι, καὶ οὗτοι ὑγιέες dicitur. Postea μαλθακαὶ in cod. legitur omisso τίνες.

148 ὀξέαι, αὗται τελευτῶσι μέχρι δωδεκάτης, καὶ οὐ μάλα ἀποθνήσκουσι· κίνδυνος δὲ μάλιστα μὲν μέχρι ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δωδεκάτην, sic leguntur ista in MS. cod.

149 Πλευρῖτις ἐν νώτῳ, hæc epigraphe non legitur in MS. cod. Deinde in MS. Cod. pro τὸν νῶτον, dorsum, legitur τὸν ὦτον hæcque scriptura in sequentibus ubique servatur, ut sit de aure intelligendum.

statim autem pauca spuit, & corpus lassum succumbit: tertio autem vel quarto die subcruentam saniem mejit; maxime vero quinto die moritur, alioquin, septimo; hos si effugerit, vivit: hic morbus mitis est, minusque lethalis. Observandus tamen ad usque decimumquartum, postea vero sanescit. Quibusdam autem pleuriticis purum sputum, sed urina cruenta est, qualis succus serosus ex carnibus assatis defluens; dolores vero acuti per spinam ad pectus, & inguina perveniunt. Hic, si septimum diem effugerit, sanus redditur. Quum vero harum pleuritidum aliqua laboranti dorsum rubescere contigerit, & humeros incalescere, dumque desidet, pondere gravari, si venter perturbatus ex virore pallida, & graveolentia admodum demittat; hic ob ventris dejectionem primo & vigesimo die moritur; quem si effugerit convalescit. At quibus statim expuitiones cujusvis sunt generis, & dolores admodum acuti, tertio die moriuntur; quem si effugerint, convalescunt: qui vero septimo, aut nono, aut undecimo die sanus non fuerit, suppurari incipit: præstat autem suppurari; minus enim lethale est, quamvis laboriosum sit. Præter autem commemorata signa, in unaquaque pleuritide hæc in lingua spectare oportet: bulla enim sublivida in lingua suborta, qualis ferramento in oleum intincto, si quidem per initia aspera fuerit, difficilior morbi liberatio contingit; & diebus, quibus oportet, sanguinem tussi rejicere necesse est: at si progresso etiam morbo id contingat, judicationes quidem ad decimumquartum diem (procedent,) sed sanguinem expuere necesse est. De liberatione autem sic se res habet. Si tertio quidem die maturescere, & expui cœperit, celeriores sunt liberationes: si vero posterius maturescat, posterius etiam judicationes contingunt, quemadmodum in capitis signis. In omni autem pleuritide dolores plerumque magis interdiu, quam noctu, leviores fiunt. Sic autem pleuritides curandæ sunt; plerumque velut phrenitis & peripneumonia, præterquam quod balneis calidis, & vino dulci utendum. Si igitur primo aut postero ab invasione die ægrum susceperis, si stercus quidem prodiit purum, aut leviter biliosum & paucum, ex infuso thapsiæ alvus subluenda:

εὐθὺς δὲ πτύει ὀλίγα, καὶ κοπιᾷ τὸ σῶ-
μα· [150] τρίτη δ' ἢ τετάρτη, οὐρέει ἰχῶρα
ὕφαιμον· ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος,
[151] εἰ δὲ μὴ, ἑβδομαῖος· ταύτας δὲ δια-
φυγὼν, [152] ζώει· καὶ ἡ νοῦσος ἠπίη, καὶ
ἧσσον θανατώδης. Φυλάσσειν δὲ χρὴ μέ-
χρι τῶν τεσσαρεσκαίδεκα· μετὰ δὲ ταῦτα
ὑγιὴς γίνεται. [153] Ἐνίοις δὲ τῶν πλευριτι-
κῶν, τὸ μὲν σίαλον καθαρὸν, ἡ δὲ οὔρη-
σις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχω-
ρῶδες· ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς
τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν. Οὗ-
τος, τὴν ἑβδόμην διαφυγὼν, ὑγιαίνει. Ὁ-
κόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσ-
γένηται τὸν νῶτον ἐρυθριᾷν, καὶ τοὺς ὤ-
μους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βα-
ρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσεται χλω-
ρῷ καὶ δυσώδει σφόδρα· οὗτος διὰ τὴν ὑπο-
χώρησιν [154] τῆς γαστρὸς, εἰκοστῇ καὶ μιῇ ἀ-
ποθνήσκει· ταύτας δὲ διαφυγὼν, ὑγιαίνει.
Οἷσι δὲ αἱ πτύσεις εὐθὺς παντοδαπαί εἰσι,
καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, [155] οὗτοι τρι-
ταῖοι θνήσκουσι· ταύτας δὲ διαφυγόντες,
ὑγιαίνουσιν· ὁ μὴ γενόμενος δὲ ὑγιὴς τῇ
38 ἑβδόμῃ, ἢ τῇ ἐννάτῃ, ἢ τῇ ἑνδεκάτῃ, ἄρχε-
ται ἐμπύσκεσθαι· κρεῖσσον δ' ἐμπυῆσαι, ἧσ-
σον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ. [156] Πρὸς
δὲ τοῖσι σημείοισι τοῖσιν εἰρημένοισιν, ἐν ἑκά-
στῃ τῶν πλευριτίδων καὶ τάδε χρὴ σκοπέεσθαι
39 τὴν γλῶσσαν· [157] πομφόλυγος γὰρ ὑπο-
πελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σι-
δηρίου βαφέντος εἰς ἔλαιον, ἢν μὲν ἐν ἀρχῇ
γένοιτο [158] τρηχείη, χαλεπωτέρη ἡ ἀπάλλα-
ξις τῆς νούσου· καὶ ἀνάγκη αἷμα ἀποβῆξαι ἐν
τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ· [159] εἰ δὲ καὶ
προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ μὲν
κρίσιες ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέρην·
ἀνάγκη δὲ πτύσαι αἷμα. [160] Ἔχει δὲ οὕτως
περὶ τῆς ἀπαλλάξιος. Εἰ μὲν τριταίῳ ἄρχοιτο
πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους αἱ ἀπαλ-
λάξιες· εἰ δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ
αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς
σημηΐοισι. Τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι
τῇσι [161] πλευρίτισιν, ὡς ἐπιτοπουλὺ κουφίζει
μεθ' ἡμέρην μᾶλλον, ἢ νύκτωρ. Θεραπεύειν
δὲ χρὴ τὰς πλευρίτιδας οὕτως· τὰ μὲν πολ-
λὰ ὡς τὴν φρενῖτιν καὶ τὴν περιπλευμονίην,
[162] πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι, καὶ
οἴνοισι γλυκέσιν. Ἢν μὲν οὖν τῇ πρώτῃ, ἢ
τῇ ἐπιούσῃ λάβῃς τῆς ἐπιλήψιος, ἢν μὲν
ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ, ἢ ἀτρέμα
χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ·
ἢν

VARIÆ LECTIONES.

150 Sic habet MS. cod. inserto δέ.
151 εἰ δὲ μὴ legimus ex MS. cod. pro εἰ δὲ μήγε.
152 ζῇ μὲν καὶ ἡ νοῦσος ἠπίη MS. cod.
153 ἐνίοις δὲ τῶν πλευριτίδων MS. cod. Paulo post ὀπτῶν ἰχῶρες MS. Cod.
154 τῆς γαστρὸς deest in MS. cod. in Cod. Paulo post οἷσι δὲ αἱ πτύσιες dicitur.
155 οὗτοι τριταῖοι φεύγουσι· ταύτας δὲ διαφυγὼν, ὑγιὴς· μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ δὲ ἢ τῇ ἐννάτῃ, ἢ ἑνδεκάτῃ ita habet MS. cod. Deinde pro vulgatis κἂν ἐπίπονον ᾖ, in cod. simpliciter scribitur, ἐπίπονον δὲ, quæ lectio notatur in Imp. Samb. & Fevr.
156 πρὸς δὲ τοῖσι σημείοισι, in MS. cod. deest conjunctio δέ.
157 πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, omittuntur in MS. cod. hæc verba.
158 τρηχείη MS. cod. Ionice, quod sequimur pro τρηχεῖα.
159 εἰ δὲ προκεχωρηκυίης MS. cod. pro εἰ δὲ καὶ προκεχωρηκυίης.
160 ἔχει δὲ ὧδε habet MS. cod. paulo post πεπαίνοι τὸ ὕστερον, pro πεπαίνοιτο ὕστερον in cod. legitur.
161 MS. cod. πλευρίτισι πολλὸν legit, pro πλευρίτισιν, ὡς ἐπιτοπουλύ. Paulo post pro οὕτως, ibid. habetur ὧδε. Deinde loco ὡς τὴν φρενῖτιν, scribitur ἐς τὴν πλευρίτιν.
162 πλὴν λουτροῖσί τε χρῆσθαι MS. cod. inserta particula τε. Deinde pro ἐπιλήψιος, in codice legitur λήψιος.

ἢν δὲ [163] κινηθεῖσα ἡ κοιλίη, τὴν μὲν νύκτα χαλάσῃ, τῇ δὲ ὑςεραίῃ ὀδύνη καὶ ςρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. Ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει, καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ· [164] ἐκπτύοντι δὲ ἤδη χολώδεα, μὴ δίδου τὸ φάρμακον· ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι· ἀλλ' ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται, [165] ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ. Ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι [166] πλευρῇσιν ὀδύνῃσιν, καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑποκλύσαι δεῖ· καὶ πιέειν δοῦναι νήςει ἀριςολοχίαν, καὶ ὕσσωπον, καὶ κύμινον, καὶ σίλφιον, καὶ μήκωνα λευκὴν, καὶ 40
ἄνθος χαλκοῦ, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ. Πρὸς μὲν τὰ φάρμακα οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας· τὰ δ' ἄλλα ὧδε ἔχει. Λούειν πολλῷ θερμῷ πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς· καὶ ὁκόταν [167] αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα 41
χλιαίνειν ὑγρῇσι πυρίῃσιν, ὑπαλείφων ἐλαίῳ. [168] Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, ὅκως μὴ κατεργάσηταί τι κακόν. Πτισάνης δὲ χυλὸν καθεφθὸν διδόναι, ὀλίγῳ παχύτερον, [169] μελιχροποιέων· μετὰ δὲ τὰ λουτρὰ, καὶ οἶνον γλυκὺν, καὶ ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον, ἐκ [170] βομβυλίου 42
οὐκ εὐρυςόμου· καὶ ὁκόταν βῆχες ἐπίασιν, ἐπιπίνειν, καὶ χρέμπτεσθαι ὡς μάλιςα, καὶ τῷ 43
ποτῷ ὑγραίνειν, ἵνα ὁ πλεύμων ὑγρότερος ἐὼν, [171] ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα, καὶ ἡ βὴξ ἧσσον πονέῃ. Καὶ ῥοιῆς δὲ γλυκείης [172] οἰ-
164 νώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ σμικρὸν πολλάκις δίδου· [173] νύκτωρ δὲ καὶ μεθ' ἡμέρην, καὶ ὕπνον ὡς μάλιςα διακωλύειν, ἵνα κάθαρσις γένηται θᾶσσόν τε καὶ πλεῖον. Τὴν δὲ αἱματώδεα πλευρῖτιν, [174] θεραπεύειν οὕτω· μετὰ τὰς κρίσιας, ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν, καὶ φυλάσσεσθαι περισσῶς ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας· [175] ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. Ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ, καὶ μὴ δύνηται ἀποπτύειν, νήςει δίδου ἄνθος χαλκοῦ ὅσον κοτινάδα, [176] καὶ ὀποῦ σιλφίου τούτου τὸ ἥμισυ,

quod si alvus commota, noctu quidem relaxet, postridie vero & dolor, & tormina detineant, rursus subluenda. Si vero æger natura biliosus fuerit, & minime purgatus morbo correptus sit, priusquam biliosum sputum expuat, medicamento etiam bilem probe purgato: jam vero biliosa expuenti, medicamentum ne dederis: si enim dederis, sputum per superiora prodire minime poterit; sed septimo aut nono die suffocabitur, idque magis si hypochondria doleant. At si præter laterum dolores etiam hypochondria doleant, alvum subluere oportet; & jejuno potui exhibere aristolochiam, hyssopum, cuminum, laserpitium, peplum album, æris florem, & mel, & acetum, & aquam. Per medicamenta quidem primas curationes ita moliri oportet: reliqua vero sic se habent. Calida multa pro ægri viribus, præterquam caput, lavato; quumque judicationes existunt, partes dolentes humidis fomentis tepefacito, & oleo illinito. Dum vero impetu morbi feruntur, tum ægrum, tum Medicum a curationibus quiescere oportet, ut ne quid mali inducatur. Ptisanæ autem succus coctus exhibendus, paulo crassior admixto melle redditus: post balnea, vinum dulce & aquosum potui exhibendum, minime frigidum, paucum, ex angusti oris poculo; quumque tusses invaserint, superbibendum & quam maxime excreandum, & potu humectandum, quo pulmo humidior factus facilius ac citius sputum reddat, & tussis minus vexet. Et mali punici dulcis vinosi succum, cum lacte caprino pauco & melle mixtum noctu, & interdiu paulatim sæpe exhibeto, somnumque quam maxime prohibeto, quo celerior, ac copiosior purgatio contingat. At cruentam pleuritidem ita curare oportet: post judicationes, vires levibus cibis reficiendæ, & quiescendum; prætereaque vitandi soles, venti, plenitudines, acida, salsa, pinguia, fumus, ventris flatus, labor, venus: si enim reverterit morbus, mors sequetur. In expuitionibus autem, si dolor detineat, neque expuere possit, jejuno æris florem baccæ olivæ magnitudine, succi silphii ejus dimidium,

 se-

VARIÆ LECTIONES.

163 In MS. cod. habetur κινηθεῖσα, ἢ λυθεῖσα ἡ κοιλίη, pro vulgatis κινηθεῖσα ἡ κοιλίη.

164 Pro ἐκπτύοντι, in MS. cod. scribitur πτύοντι. Deinde ἢν γὰρ δοῖς, loco ἢν γὰρ δῷς.

165 Sequentia omittuntur in MS. cod. ἢν μᾶλλον καὶ τὰ ὑποχόνδρια ἀλγέῃ.

166 ταύτῃσιν ex MS. Servin. pro πλευρῇσιν. Ibidem MS. cod. ὑποκλύσαί τε καὶ πιέειν νήςει δοῦναι legit.

167 Scribitur αἱ κρίσιες εἰσὶ in Asul. codice.

168 Ὁκόταν δὲ κατειγίζωσιν MS. cod. Paulo post loco κατεργάσηται, in cod. legitur ἐξεργάσηται.

169 Pro vulgato μελιχροποιέων, in MS. codice legitur μελίχρουν ποιέων. Deinde καὶ ὑδαρέα, in cod. abest particula καί.

170 Βομβύλιον Galenus in Exegesi exponit ἔκπωμά τι στενὸν ἔχον τὸ στόμα ἢ πῶμα, παρὰ τὸ βομβεῖν ὀνομασμένον, *poculum, quod angustum habet os, aut operculum, a bombo sonitu appellatum.* De eodem Erotianus in Onomastico βομβυλιὸν exponit ἀγγείου εἶδος στενοςόμου *vasculi oris angusti genus.* Vid. Foes. Oeconom. in voce Βομβύλιον. Paulo post pro ἐπίωσι, ex Imp. Corn. & Fevr. ἐπίασιν emendavimus consentiente MS. codice.

171 ῥηιδίως καὶ θᾶσσον ἀποδιδοῖ habetur in MS. codice.

172 ἢ οἰνώδεος MS. cod. inserto ἢ. Postea pro κατὰ μικρὸν, in eod. cod. κατὰ σμικρὸν Ionice, quod sequimur.

173 Sic MS. cod. pro νύκτωρ τε καὶ μεθ' ἡμέρην. Dein καὶ ὕπνον δ' ὡς μάλιςα legit MS. Cod.

174 θεραπεύειν οὕτω· μετὰ τὰς κρίσιας MS. cod. quam lectionem secuti sumus, pro vulgatis θεραπεύειν χρή· μετὰ δὲ τὰς κρίσιας.

175 In MS. cod. hic locus sic legitur ἢν γὰρ ὑποτροπιάσῃ, ἀποθνήσκει. *Si enim reverterit, moritur.*

176 καὶ ἀπὸ σιλφίου ἥμισυ, καὶ τελφύλλου καρπὸν ὀλίγον MS. cod. legit.

ſeminis trifolii parum, ex melle delingenda exhibeto: aut piperis grana quinque, & ſucci laſerpitii fabæ quantitate, mel, acetum, & aquam, jejuno tepida propinato: hoc etiam dolores ſedat. Quod ſi pro ratione ſpuere nequeat, ſed in ipſo (ſputum) retineatur, & in pectore ſtertorem edat, radicis dracunculi magni concham majorem, & oleum cum melle admiſceto, & acetum aqua temperatum inſuper ſorbendum dato. Aliud vehemens. Æris florem fabæ quantitate, nitrum (aſſatum) dupla portione, hyſſopi quantum tribus digitis capitur, melle admixto, aqua, & olei modico inſtillato, tepefacta per concham majorem, ne ſuffocetur, infundito: id etiam in pulmonis inflammatione, ſi non purgetur, faciendum. Si vero neque ſtertat, neque ut decet, ſpuat, capparis fructus quantum tribus digitis capitur, piper, nitri modicum, cum melle, aceto & aqua admixta, hoc tepidum ſorbendum dato: poſtridie vero id ex aceto, melle, & aqua fervefactum ſorbendum; quod & ſtertentibus, & iis qui expurgari nequeunt, exhibendum. At ſi valentius facere volueris, hyſſopi, ſinapeos, & naſturtii concham majorem in melle & aqua tritam, fervefactam, & colatam, tepidam ſorbendam præbeto. Sic curati hi morbi ſanantur; niſi ſputi aliquid in pulmone relictum pus fiat, a quo tuſſis arida excitatur, febris, & horror detinet, erecta cervice ſpiratio vexat, frequenter & confertim reſpirat, vox paulo gravior eſt, & ſaturus rubor cum calore vultum occupat: procedente vero tempore etiam magis aperte hic morbus declaratur. Hunc ſi intra decem dies (curandum) ſuſceperis, poſtquam victu, & balneo calido calefeceris, medicamentum, quod pus educat, in pulmonem infundito, & aliis pus ducentibus utitor, victumque ut ſuppurato præſcribito, & caput, ne quid influat, reſiccato. At ſi per infuſum pus minime putreſcat, educatur, id ex pulmone in thoracem erumpit; poſtque ruptionem ſanus eſſe videtur, quod pus ex anguſtia in ampliorem locum venerit, & ſpiritus, quem reſpiramus, in pulmone ſedem habeat: ſed procedente tempore, pure pectus impletur, tuſſes & febres, aliique dolores omnes magis ipſum vexant,

καὶ τριφύλλου καρποῦ ὀλίγον, ἐν μέλιτι λείχειν· ἢ πεπέρεως κόκκους πέντε, καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ πίνειν χλιαρὸν, νήστει δίδου· τοῦτο καὶ τὰς ὀδύνας παύει. Ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, [177] ἀλλ' ἐνίσχηται ἐν αὐτῷ, καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα, καὶ ἔλαιον σὺν μέλιτι μῖξαι, ἐπιῤῥοφεῖν δὲ ὄξος κεκρημένον. [178] Ἄλλο ἰσχυρόν. Ἄνθος χαλκοῦ ὅσον κύαμον, καὶ νίτρον (ὀπτὸν) διπλάσιον, καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον σμικρὸν ἐπιστάξας, χλιάνας ἐν χηραμίδι ἐγχέειν, ἵνα μὴ ἀποπνιγῇ· καὶ ἐν περιπλευμονίῃ, ἢν μὴ καθαίρηται, [179] τοῦτο δεῖ ποιέειν. Ἢν δὲ μήτε ῥέγχῃ, μήτε πτύῃ ὡς δεῖ, καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι, [180] καὶ λίτρον ὀλίγον, καὶ μέλι, καὶ ὄξος, καὶ ὕδωρ μίξας, τοῦτο χλιαρὸν ἐπιῤῥοφεῖν· τὴν δὲ ἄλλην ἡμέρην, ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν· τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι, καὶ μὴ δυναμένοισι καθαίρεσθαι. Εἰ δὲ ἰσχυρότερον [181] βούλοιο ποιέειν, ὑσσώπου, καὶ νάπυος, 44 καὶ καρδάμου κόγχην χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας καὶ διηθήσας, ἐπιῤῥοφεῖν χλιαρὸν δίδου. Οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα, [182] ὑγιέα γίνονται· ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ πλεύμονι [183] πῦον γίνηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ φρίκη ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ, [184] καὶ εὐχροίη σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει· προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον καὶ ἡ νοῦσος σάφα δηλοῦται. Τοῦτον εἰ ἐντὸς [185] τῶν δέκα ἡμερέων λάβῃς, θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ, ἐγχέαι ἐς τὸν πλεύμονα, ὅ, τι πῦον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πῦον ἄγουσι, [186] καὶ διαιτᾷν, ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. Ἢν δ' ἐν τῷ ἐγχύτῳ μὴ σήπηται, καὶ ἀνάγηται τὸ πῦον, ῥήγνυται αὐτὸ ἐκ τοῦ πλεύμονος εἰς τὸν θώρηκα· καὶ μετὰ τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης εἰς τὴν εὐρυχωρίην ἦλθε τὸ πῦον, καὶ τὸ πνεῦμα [187] ὃ ἀναπνέομεν, ἕδρην ἔσχεν ἐν τῷ πλεύμονι· προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦνται, καὶ βῆχες, καὶ πυρετοὶ, καὶ τἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, καὶ

VARIÆ LECTIONES.

177 ἀλλ' ἐνίσχηται αὐτῷ MS. cod. omiſſo ἐν.
178 ἄλλο ἰσχυρὸν delet Imp. Samb. Ibidem καὶ λίτρον omiſſo ὀπτὸν MS. cod.
179 τοῦτο, ἐγχεῖν MS. cod. & Imp. Samb.
180 καὶ λίτρον omiſſo ὀλίγον MS. cod. habet. Paulo poſt ante ἐν ὄξει καὶ μέλιτι MS. cod. ſcribit ὕσσωπον.
181 βούλοιο τὸ ποιέειν MS. cod. Ibidem κόγχην ἢ χηραμίδα vitioſe legunt quædam exemplaria.
182 ὑγιὰ γίνεται MS. cod.
183 Sic MS. cod. pro vulgato πύος γίνηται. Paulo poſt καὶ ὀρθοπνοεῖ, καὶ πυκνὸν MS. cod.
184 MS. cod. pro χροίη ſcribit εὐχροίη, quæ lectio vulgata melior eſt, & in textum intulimus. Dein pro σάφα in eodem σαφῆς ſcribitur.
185 Sic MS. Cod. pro τῶν δέκα ἡμερῶν λάβῃς.
186 καὶ διαιτᾷν ὧδε, in MS. cod. omittitur ὧδε. Paulo poſt ἢν δ' ἐν τῷ ἐγχύτῳ μὴ σήπηται, καὶ ἀνάγηται τὸ πῦον MS. cod. quæ lectio probatur, pro vulgatis ἢν δὲ τῷ ἐγχύτῳ μὴ ἀνάγηται.
187 ᾧ ἀναπνέομεν MS. cod. Paulo poſt τὰ στήθεα πύου πληροῦνται· καὶ αἱ βῆχες, καὶ οἱ πυρετοὶ legitur in cod. & ſequens αὐτὸν omittitur.

καὶ ἡ νοῦσος διαδηλοῦται. Τοῦτον μετὰ τὴν ἔκρηξιν [188] ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, ὅκως πάλιν πεπανθῇ τὸ πῦον· ἅτε γὰρ εἰς εὐρυχωρίην ἐλθὸν τὸ πῦον, ἀνέψυξέ τε, καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρακι προσηγάγετο πρὸς ἑωϋτὸ, ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. Ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι [189] ἐν τούτῳ τῷ χρόνῳ· ἢν δὲ μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν ἐν τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα· σπεύδειν δ' ἀναστῆναι, πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν, τῶν ἐπιῤῥοῶν [190] εἵνεκεν. Ἢν δὲ μὴ πτύηται· ἀποσημαίνηται δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. Ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημαίνηται ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ νῆστιν, καὶ ἄποτον καθίσας ἐπὶ ἕδρης ἀκινήτου· [191] ἕτερος δὲ τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων ἐς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει· βούλου δὲ μᾶλλον πρὸς τὰ ἀριστερὰ, θανατωδέστερον γὰρ πρὸς τὰ δεξιὰ [192] καίειν ἢ τάμνειν· ὁκόσῳ γὰρ αὐτὰ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. Ἢν δὲ ὑπὸ πάχεος [193] τὸ πῦον μὴ κλυδάζηται, μήτε ψοφέῃ ἢ ἐν τῷ στήθει, [194] πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα, καὶ οἱ πόδες οἰδέωσι, καὶ βηχίον τι προσῇ, μὴ ἐξαπατάτω· ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου. [195] Ἐς τὴν ἐρετριάδα γῆν ὑγρὴν, καὶ λίην τετριμμένην καὶ χλιαρὴν, ἐπιβάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα· καὶ ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν, ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος αὐτῶν τῶν φρενῶν. Ἢν δὲ βούλει, ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ· πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται· μετὰ δὲ τὴν τομὴν,
265 [196] ἢ τὴν καῦσιν, τῷ μοτῷ ἐκ τοῦ ὠμολίνου χρῶ, καὶ ἐξίει κατ' ὀλίγον τὸ πῦον. Ὁκόταν δὲ μέλλῃς τάμνειν, ἢ καίειν, ὑποσημαίνου τὸ αὐτὸ σχῆμα ἔχοντα, [197] ὅπερ ἂν ὁκόταν μέλλῃς τάμνειν ἢ καίειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γενόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος. Τὰς

morbuſque declaratur. Hunc quindecim poſt eruptionem diebus ſinere oportet, quo pus rurſus matureſcat; quum nimirum in ampliorem locum pus veniens, tum refrixerit, tum adducto ad ſe eo, quod in thorace erat, humido, ipſum ſemiputridum eſſe neceſſe ſit. Si igitur per hoc tempus ſua ſponte expui incipiat, (bene habet;) ſin minus, medicamentis aut potionibus ſuccurrendum; ultimis quindecim diebus, ad virium corporis inſtaurationem, antequam magis atteratur, feſtinando, ut caput purum propter affluxiones tuearis. Si vero non ſpuatur; ſed ad latera ſui ſignificationem exhibeat, ſecato aut inurito. At ſi neque ſpuatur, neque de ſe in coſtis ſignificationem præbeat, jejunum copioſa calida lotum, & minime potu uſum, in ſella firma collocato; quumque alter eum ex humeris apprehenderit, tu ipſe eum concutito, aurem coſtis admovens, ut noſcas, utra ex parte ſui ſignificationem præbeat: votum autem eſt, ut id ad ſiniſtra magis contingat; nam dextra urere, aut ſecare lethale magis eſt: quanto enim dextræ partes robuſtiores ſunt, tanto etiam in ipſis vehementiores morbi fiunt. Quod ſi propter craſſitudinem pus non fluctuet, neque ſtrepitus edatur in pectore, crebrum autem ſpiritum trahat, pedes intumeſcant, & tuſſicula quædam adſit, ne decipiaris; ſed probe ſcias thoracem pure plenum eſſe. Linteo (itaque) tenui in rubrica terra liquida, admodum trita, & tepida intincto, thoracem in orbem obtegito: quaque parte primum reſiccatum fuerit, ea ſectionem, aut uſtionem facere oportet, quam proxime ad ſeptum transverſum, cavendo (ne) ipſum ſeptum (attingas.) Quod ſi voles, ubi rubricam illeveris, peræque velut in linteo, ſpectato: multi autem ſimul illinant, ne, quæ partes primum illinuntur, reſiccentur: poſt ſectionem vero, aut uſtionem, penicillo ex lino crudo utere, & paulatim pus emitte. Quum vero ſecare aut urere voles, nota impreſſa, fac ut eandem figuram ſerves inter ſecandum aut urendum, ne te cutis figuræ immutatione ſurſum aut deorſum vergens decipiat. Tuſſes quo-

Variæ Lectiones.

188 Loco ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα in MS. cod. legitur ἐᾶσαι δὲ καὶ πέντε ἡμέρας. Deinde ἐλθὸν ἀνέψυξέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρηκι προσήγαγετο πρὸς ἑωϋτὸ, habetur in MS. cod.

189 ἐν τουτέῳ τῷ χρόνῳ, λείπει in MS. Servin. poſtea, pro ἢν δὲ μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, in MS. cod. habetur ἢ φαρμάκοισι ἢ ποτοῖσιν cæteris omiſſis.

190 εἵνεκεν Ionice MS. cod. quod ſequimur pro εἵνεκα. Deinde in cod. habetur ἢν δὲ μὴ πτύηται, ἀποσημήνῃ δ' ἐς τὰς πλευρὰς, τάμνειν ἢ καῦσαι· ἢν δὲ μήτε πτύηται, μήτε ἀποσημήνῃ ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ, καὶ νῆστιν.

191 ἕτερος μὲν τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τὸ οὖς παραβάλλων πρὸς τὰς πλευρὰς MS. cod. habet. Paulo poſt pro πρὸς τὰ ἀριστερὰ, MS. cod. & Serv. πρὸς τὰς ἀριστερὰς ſcribunt, quod probamus.

192 καίειν, καὶ τάμνειν ἐς τὰς δεξιάς· ὁκόσῳ γὰρ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα αὐτοῖσιν ἰσχυρότερα γίνεται MS. cod.

193 τὸ ὑγρὸν μὴ κλυδάζηται, μήτε ψόφος vulg. codd. in MS. cod. melius ſcribitur τὸ πῦον μὴ κλυδάζηται, μηδὲ ψοφέῃ.

194 πυκνὸν δὲ ἕλκει τὸ πνεῦμα, καὶ οἱ πόδες ἐποιδέωσι habet MS. cod.

195 ἐς τὴν ἐρετριάδα γῆν ὑγρὴν vulgati codd. pro quibus MS. cod. habet ἐς οὖν ἐρετριάδα τὴν ὑγρήν.

196 Vulgati codd. omnes legunt ἢ τὴν καῦσιν τῷ μοτῷ ἐκ τοῦ ὠμολίνου. Pro quibus in MS. cod. legitur, ἢ τὴν κλύσιν, τῷ μοτῷ τῷ ἐκ τοῦ ὠμολίνου, quæ lectio etiam in Imp. Sambuci adſcribitur.

197 ὅπερ ἂν μέλλῃς ἔχοντα τάμνειν, ἢ καίειν MS. cod. pro editis ὅπερ ἂν ὁκόταν μέλλῃς τάμν. κ. λ. Paulo poſt in cod. ἀντιστάσουσι habetur pro ἀντιστάσωσι. Mox ἐς τὸν πλεύμονα omittuntur in eod. cod.

quoque ex victu vitandæ, ne rursus in pulmonem (quod malum est) pus revellant; sed sinendum, ut ad sectionem citissime resiccetur. Postea quam vero duodecimum attigerit diem, pus reliquum totum emittito, & penicillum ex linteo imponito, ac bis die pus educito, superioremque ventrem victus ratione quam maxime resiccato. Ita suppurationes, quæ tum ex vulneribus, tum ex peripneumonia, & ex magnis defluxionibus, & incumbente in latera pulmone contingunt, spectare & curare oportet.

βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσωσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, [198] κακὸν γάρ· ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν ὡς τάχιστα ὑποξηραίνεσθαι. [199] Ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, καὶ ἀπὸ τοῦ ὀθονίου [200] μοτοῦν, καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. Ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων, [201] καὶ τὰς ἐκ τῆς περιπλευμονίης, καὶ ἐκ καταῤῥόων μεγάλων ἐκπυήσιας, καὶ προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι, σκοπεῖν καὶ θεραπεύειν.

CAPUT XVI.

Refrigeratrices potiones in ardentibus febribus.

HAs autem potiones refrigerantes in febribus ardentibus, quum voles, bibendas dato. Multos autem edunt effectus; aliæ siquidem mictionem provocant, aliæ alvi dejectionem, aliæ utrumque, aliæ neutrum; sed tantum refrigerant, ut si quis in vas aquæ ferventis frigidam aquam infundat, aut vento frigido vas ipsum exponat. Alia vero aliis dato: neque enim omnibus dulcia conferunt, neque acerba, neque eadem bibere possunt. I. Favorum siccorum heminas duas aqua maceratas, & conterens gustato, dum aqua subdulcis reddatur, deinde excolatas, injecto apio, bibendas dato. II. Seminis lini acetabulum, aquæ decem heminis affusis, in olla nova prunis imposita coquito; fervefacito, ut transpiret, quoad succus tactui pinguis evadat. III. Aquam mulsam aquosam ad dimidias decoquito, deinde apium injicito, hoc frigidum paulatim exhibeto. IV. Hordeum Achilleum plenum & magnum, resiccatum, & demptis aristis, ad heminæ mensuram, & bene lotum, aquæ congio affuso, ad dimidias coquito, refrigeratum potui

ΚΕΦΑΛΑΙΟΝ Ις'.

Ψυκτήρια πόματα ἐν τοῖς καύσοις.

45 ΨΥκτήρια δὲ τάδε " δίδου ἐπὶ τοῖσι ' καύ-
σοισι πίνειν, ὁκόταν βούλῃ. Πολλὰ δὲ
ἀπεργάζεται· τὰ μὲν γὰρ οὔρησιν ἐμποιέει,
τὰ δὲ διαχώρησιν, τὰ δὲ ἄμφω, τὰ δὲ οὐδέ-
τερα· ἀλλὰ ψύχει μοῦνον, [202] ὡς ἄγγος ὕ-
δατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ, ἢ
ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγοι.
Δίδου δὲ ἄλλα ἄλλοισιν· οὔτε γὰρ τὰ [203] γλυ-
κέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνὰ, οὔτε
46 τὰ αὐτὰ πίνειν δύνανται. α'. " [204] Τοῦτο μὲν
κηρίων ξηρῶν, ὅσον δύο κοτύλας, βρέχων ὕ-
δατι, καὶ ἀνατρίβων γευέσθω, ' ἕως ἂν ὑπό-
γλυκυ γένηται· εἶτα διηθήσας, σέλινα ἐμ-
βαλὼν, δίδου πίνειν. β'. [205] Τοῦτο δὲ λίνου
καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπι-
χέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ·
47 " [206] ζέσον, ἵνα ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς
ἁπτομένῳ λιπαρὸς γένηται. γ'. Τοῦτο δὲ
48 " μελικρήτου [207] ὑδαρέος καθεψήσας,
τὸ ἥμισυ λείπειν· ἔπειτα σέλινα ἐπιβάλ-
λων, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου.
49 δ'. [208] Τοῦτο δὲ " κριθὰς Ἀχιλληΐδας κοτύ-
50 λην αὐήνας, " ἄρας τὸν ἀθέρα, καὶ ' πλύ-
νας εὖ, [209] ἐπιχέας ὕδατος χοέα, ἕψει,
καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων δίδου
πί-

VARIÆ LECTIONES.

198 κακὸν γὰρ ἀλλ' ὡς τάχιστα simpliciter MS. cod. habet, pro vulgatis, κακὸν γὰρ, ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν ὡς τάχιστα.

199 ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ κεκαυμένος MS. cod. inserto κεκαυμένος. Cæterum δεκαταῖος ᾖ Imp. Corn. scribit scilicet *decimo* die. Paulo post ὑπόπυον, pro πῦον vulgato, MS. cod.

200 μοτοῦν MS. cod. & Imper. Corn. quemadmodum dicitur Libr. II. superius cap. 16. ubi de hac eadem curatione; eamque prætulimus lectionem pro vulgato μοτοῦ. Paulo post διαίτης ὡς μάλιστα, in codice MS. deest particula ὡς.

201 καὶ ἐκ περιπλευμονίης MS. cod. legit pro καὶ τὰς ἐκ τῆς περιπλευμονίης.

202 ὡς ἄγγους ὕδατος ζέον MS. cod. fortasse ζέοντος. Paulo post πνεύματι προσαγάγῃ in Codice scribitur.

203 Pro vulgato πᾶσι, in MS. cod. legitur ἅπασι eodem sensu. Deinde pro τὰ αὐτὰ habetur ταῦτα.

204 His omnibus in locis ubi τοῦτο legitur, exemplaria Vatican. quæ secutus est Calvus τούτῳ legunt relate ad ægrotum, hancque lectionem adhibuit Lindenus. In MS. cod. vulgata servatur lectio.

205 τούτῳ μὲν πόματα δίδοσθαι ἁρμόζοντα τοῖς ἐν καύσοις πυρετοῖς Merc. in Margine adscribit ex Vet. cod.

206 Hic ἄζεστον *non bulliens*, *non fervefactum* legunt omnia exemplaria, & Lindenus, pro ἑζέσθω, *desideat*, scilicet prope ignem. Cornarius vero ἐᾶν ζέειν, *fervere finito* legisse videtur. Calvus autem totam sententiam omisisse videtur, aut non reperisse in suis MSS. Codd. Cæterum ἄζεστον pro ἄζεσεν legere mavult Foesius, *fervefactum* intelligens; putat etiam ἄζεστον dici pro ζεστὸν addito α. quemadmodum στάχυς, *spica* dicitur etiam ἄσταχυς, & σταφὶς *uva passa* etiam ἄσταφις Attico more: sed hoc nimis arbitrarium videtur. Nos Imp. Corner. lectionem recepimus nempe ζέσον *fervefacito* ut & infra.

207 Pro ὑδαρέος quædam exempl. MSS. ὕδατος habent. Deinde pro ἥμισυ, Calvus τρίτον legisse videtur, ut & τούτῳ ψυχρόν. Cæterum σέλινα ἐμβαλὼν τοῦτο ψύχων hic legit MS. cod.

208 τοῦτο δὲ κριθὰς ἀχιλλήδας MS. cod. Ex hoc loco ἀχιλληΐδας κριθὰς, *Achilleum hordeum* exponit Galenus in Exegesi τὰς εὐτραφεῖς καὶ μεγάλας ἀπό τινος ἀχιλλέως ὀνομασμένας, ὥς φασι, γεωργοῦ Βαβρωνίου, *pingue & crassum a quodam Achille, ut ajunt, agricola Babronio.* Vid. Foesii Oeconom.

209 ἐπιχέας χοέα ὕδατος ἕψε, καὶ τὸ ἥμισυ λίπειν MS. cod.

πίνειν. έ. Τοῦτο δὲ Αἰθιοπικοῦ κυμίνου κοτύλης δέκατον μέρος, ἐπιχέας τρία ἡμιχόεα, ἕψε, πηλῷ τριχώδεϊ [210] καταλείψας " ζέσον, ἕως τρίτον μέρος λείπη· καὶ ψύχων δίδου τοῦτο πρὸς πάντα καῦσον καὶ λοιπὸν πυρετόν. ς'. Τοῦτο δὲ ὕδωρ [211] ὄμβριον αὐτὸ καθ' αὐτό. ζ'. Τοῦτο δὲ πτισάνης κοτύλη, χοέα ὕδατος ἐπιχέας, λείπειν τὸ ἥμισυ ἑψῶν· [212] ἔπειτα ' διηθήσας, σέλινα ἐπιβαλὼν, δίδου ψυχρόν. ή. Τοῦτο δὲ οἱ σταφίδιοι λευκοὶ οἶνοι ὑδαρέες. θ'. Τοῦτο δὲ τρύγες στεμφυλίτιδες σταφιδευταῖαι ὑδαρέες. ί. Τοῦτο δὲ ἄσταφις [213] λευκὴ ἄνευ γιγάρτων, κοτύλη, καὶ πενταφύλλου ῥιζέων χειροπληθῆ φλάσας, εἴκοσι κοτύλας ὕδατος ἐπιχέας, ἀφεψήσας, [214] καὶ τὸ ἥμισυ λείπων, δίδου ψυχρὸν κατ' ὀλίγον. ιά. Τοῦτο δὲ κρίμνων κριθέων ἀδρῶν ἡμιχοίνικα, ὕδατος χοέα ἐπιχέας, [215] ὁκόταν ἤδη ' ἀνοιδέῃ τὰ κρίμνα, τρίβειν τῇσι χερσὶν, ἕως ἂν λευκὸν τὸ ὕδωρ γένηται· καὶ ἀδιάντου δραχμίδα ἐμβαλὼν, αἰθριάσας δίδου. ιβ'. Τοῦτο δὲ ᾠῶν τὸ λευκὸν τριῶν ἢ [216] τεσσέρων, κατακυκῶν ἐν ὕδατος χοεῖ πινέτω. [217] Τοῦτο δὲ ψύχει σφόδρα, καὶ τὴν κοιλίην ὑπάγειν τὸν νοσέοντα προσκατακυκᾷ. ιγ'. Τοῦτο δὲ ἡμιχοίνικον καχρύων εὖ ἀποπλύνας ἐν ὕδατος χοεῖ, ζέσας δὶς ἢ τρὶς, ψυχρὸν δίδου. ιδ'. Τοῦτο δὲ πτισάνης χυλὸν, " [218] καθεφθὸν ' λεπτὸν, καὶ οἶνον γλυκὺν δίδου. Τοῦτο δ' οὐκ ἄγει. ιέ. Τοῦτο δὲ σικύου πέπονος ἄνευ τοῦ δέρματος πάλης, ἐφ' ὕδατι. Τοῦτο οὐρέεται, καὶ ψύχει, καὶ τὴν δίψαν παύει. ις'. Τοῦτο δὲ ὀρόβους ἐν ὕδατι προεψήσας, εἶτα [219] χύτρην καινὴν ἐν χύτρῃ μέζονί θεὶς πλέῃ ὕδατος, ἐπιχέας ἕτερον ὕδωρ τοῖσιν ὀρόβοισιν. ἕψε ὀλίγον χρόνον· εἶτα ἀποχέας τὸ τρίτον μέρος, ἐπειδὰν κάθεφθοι ἔωσιν οἱ ὄροβοι, ψύξας δίδου. κατὰ κύαθον ἐπιπάσσων τῆς τοῦ " σικύου πάλης [220] τὴν ἐκ τῶν ὀρόβων πάλην. Τοῦτο δὲ βεβαίως δίψαν παύει. ιζ'. Τοῦτο δὲ Θάσιον οἶνον παλαιὸν, πέντε καὶ εἴκοσιν ὕδατος, καὶ ἕνα οἴνου δίδου. ιή. Τοῦτο δὲ τρίφυλλον, τὸ σικυῶδες, ἐν ὕδατι καὶ κρίμνα κριθέων βρέχων, δίδου. ιθ'. Τοῦτο δὲ σέλινα, ὅσον τρὶς τῇ χειρὶ περιλαβεῖν, καὶ " [221] γλήχωνος δραχμίδας δύο, ἑψῶν ἐν ὄξους κοτύλῃσι δέκα, ἕως τρίτον μέρος λείπῃς, [222] τοῦτο μέλιτι καὶ ὕδατι κεραννὺς ὑδαρὲς, πινέτω, ἀδιάντου δραχμίδα " ἐμβάλλων· τοῦτο

exhibeto. V. Cumini Æthiopici heminæ decimam partem, tribus aquæ semicongiis
51 affusis decoquito, luto piloso olla oblita; ad tertias fervefacito, & refrigeratum hoc ad omnem febrem ardentem, aliamque febrem exhibeto. VI. Aquam etiam pluviam per se solam (præbe.) VII. Ptisanæ heminam, aquæ congio affuso, ad dimidias coquito, deinde colatam, injecto apio frigidam potui dato. VIII. Vina etiam alba ex uvis passis, aquosa. IX. Uvarum passarum fæces vinaceæ expressæ, dilutæ. X. Uvæ passæ albæ exemptis vinaceis heminam, radicum pantaphylli manipulum contusum, affusis aquæ heminis viginti, ad dimidias decoquito, frigidum paulatim exhibeto. XI. Farinæ hordei pleni crassiori ad chœnicem dimidiam, affuso aquæ congio, quum crassiores farinæ partes jam intumuerint, eas manibus terito, quoad aqua alba reddatur; & adianti pugillo injecto, nocturno sereno expositam præbeto. XII. Trium aut quatuor ovorum candidum in aquæ congio subactum bibat. Hoc admodum refrigerat, & ægrum ad alvum subducendam etiam concitat. XIII. Hordei torrefacti probe loti chœnicem dimidiam, in aquæ congio bis
52 aut ter fervefactam, frigidam exhibeto. XIV. Ptisanæ cremorem coctum tenuem, & vinum dulce dato. Hoc autem non movet. XV. Cucumeris peponis sine cortice pollinem ex aqua (propinato.) Hoc urinam movet, & refrigerat, & sitim sedat. XVI. Eruum in aqua præcoctum, deinde ollæ novæ in majore olla aquæ plena inditum, alia eruo affusa aqua parum coquito; postea effusam tertiam partem, ubi eruum coctum fuerit, refrigeratam præbeto, ad cyathos singulos insperso cucumeris, & erui polline. Hoc explorate sitim sedat. XVII. Vinum Thasium vetus, aquæ quinque & viginti partibus ad unam vini partem (admixtis,) exhibeto. XVIII. Trifolium; cucumeris pollinem, ex aqua, in qua crassiores
53 hordeaceæ farinæ partes maduerint, præbeto. XIX. Apii manipulos tres, pulegii pugillos duos, in aceti heminis decem, ad tertias coquito; hoc melle & aqua dilutum aquosum bibat, adianti pugillo injecto; hoc uri-

VARIÆ LECTIONES.

210 καταλείπων Imp. Sambuci. Deinde ζέσον ἕως μέρος τρίτον λίπῃς MS. cod legit. Paulo post λοιπὸν πυρετὸν, in cod. abest λοιπόν.

211 Pro οὐράνιον, in MS. cod. scribitur ὄμβριον melius, hancque lectionem sequimur.

212 εἶτα σέλινα ἐμβαλὼν, ψυχρὸν δίδου MS. cod.

213 λευκὴ ἄνευ τι γὰρ τῶν κοτύλης, καὶ πενταφύλλου ῥιζέων χεῖρα πλέην· φλάσας MS cod.

214 καὶ τὸ ἥμισυ ψυχρὸν δίδου κατ' ὀλίγον MS. cod. postea sequens ἀδρῶν omittitur in cod. & dicitur ἡμιχοίνικον.

215 ὅταν ἤδη οἰδέῃ τὰ κρίμνα MS. cod.

216 Sic MS. cod. pro τεττάρων, κατακυκῶν ἐν ὕδατος χοΐ.

217 τοῦτο δὲ ψύχει, in MS. cod. deest conjunctio δέ. Postea legitur, καὶ τὴν κοιλίην ὑπάγει· ἢν δὲ δοκέῃ μᾶλλον ὑπάγειν τὸν νοσέοντα, insertis verbis ὑπάγει· ἢν δὲ δοκέῃ μᾶλλον. quod secuti sumus.

218 Sic MS cod. & Imp. Cornar. quod recepimus, pro vulgatis καθεφθὸν λευκόν, *torrefactum album*. Ibidem τοῦτο δ' οὐκ ἄγει MS cod. quod secuti sumus inserta conjunctione δέ. Verum τοῦτο οὖρον ἄγει, *hoc urinam movet* habet Servin. ex MS eamque lectionem secuti sunt Cornar. & Lindenus, contrario sensu.

219 Sic MS. cod. Ionice, pro χύτραν καινὴν ἐν χύτρῃ μείζονι.

220 καὶ ἐκ τῶν ὀρόβων MS. Cod.

221 Sic MS. cod. & exempl. MSS. Reg. pro γλήχους.

222 τοῦτο δὲ μέλιτι MS. cod. inserta conjunctione δὲ, quod sequimur. Paulo post, pro ἐμβάλλων, in codice scribitur ἐμβαλών. mox τοῦτο οὖρον scribitur omisso δέ.

urinam ducit & alvum ſoluit. XX. Mala odorata dulcia contuſa, & aqua macerata; aquam potui exhibeto. XXI. Mala cydonia eodem modo macerata, ſi alvus in febre ardente ſoluta fuerit. XXII. At ſi morbus regius inſuper invaſerit, uvæ paſſæ albæ ſine vinaceis, cicerum alborum, utrorumque heminam dimidiam, hordei Achillei tantundem, cnici tantundem, aquæ heminas decem, apium, mentham, coriandrum, cujusque parum ſimul terito, quoad (aqua) leviter dulceſcat; poſtremo adianti pugillo injecto, nocturno ſereno expoſitum exhibeto. His etiam ſimilia imitari poteris. Omnia autem nocturno ſereno expoſita febricitanti exhibeto, his exceptis, quibus alvus plus æquo eſt fluida. XXIII. Pulegii pugillos tres, apii duplum, vino aqua temperato coquito, & propinato. Hoc urinam movet, bilemque per alvum educit.

δὲ οὖρον ἄγει καὶ τὴν κοιλίην λύει. κ'. Τοῦτο δὲ μῆλα εὐώδεα γλυκέα φλάσας, καὶ ἐν ὕδατι ἀποβρέξας, δίδου πίνειν τὸ ὕδωρ. κα'. Τοῦτο δὲ μῆλα κυδώνια ὡσαύτως, [223] ἢν ἡ κοιλίη λελυμένη ᾖ ἐν πυρετῷ καυσώδεϊ. κϐ'. Ικτέρου δὲ ἐπιλαϐόντος, ἀσάφιδος λευκῆς ἄνευ γιγάρτων, καὶ ἐρεϐίνθων λευκῶν, [224] ἡμικοτύλιον ἀμφοτέρων, καὶ κριθέων ἀχιλληΐδων ἴσον, καὶ κνίκου ἴσον, ὕδατος κοτύλας δέκα, καὶ σέλινα, καὶ μίνθην, καὶ κορίανον, ὀλίγον ἑκάστου 166
ἀνατρίϐειν, ἕως [225] ἂν ἀτρέμα γλυκανθῇ, καὶ ἀδιάντου δραχμίδα ὕστερον ἐμϐαλὼν, αἰθριήσας δίδου. Τοῦτο δὲ καὶ τὰ τούτοισιν ὅμοια μιμέεσθαι. Πάντα δὲ τῷ πυρέσσοντι [226] ἠθριασμένα δίδου, πλὴν ἂν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν. κγ'. [227] Τοῦτο δὲ γλήχωνος δραχμίδας τρεῖς, σελίνου διπλάσιον, [228] οἴνῳ κεκρημένῳ ἑψῶν, δίδου. Τοῦτο δὲ οὐρεῖται, καὶ διὰ τῆς κοιλίης χολὴν ἄγει.



ΙΠΠΟ-

VARIÆ LECTIONES.

223 ἢν ἡ κοιλίη λελυμένη ᾖ ἐν πυρετῷ καυσώδεϊ vulgati codd. Pro quibus verbis in MS. cod. habetur, οἷσιν ἂν καὶ ἡ κοιλίη λελυμένη, ἢ ἐπὶ πυρετῷ καυσώδεϊ.

224 ἡμικοτύλιον δὲ ἑκατέρου MS. cod. Imper. & Fevr. ἑκατέρου. Paulo poſt καὶ σέλινα, μίνθην, κορίανον MS. cod. omiſſa particula καί.

225 ἂν ἀτρέμα γλυκανθῇ MS. cod. quæ lectio probatur pro ἠρέμα vulgato. Poſtea ὕστερον ἐμβαλεῖν in cod. ſcribitur pro ὕστερον ἐμβαλών.

226 Sic MS. cod. & Imp. Samb. pro αἰθεριασμένα δίδου, πλὴν οἷσιν αἱ κοιλίαι μᾶλλον τοῦ δέοντος ῥέουσιν.

227 τοῦτο δὲ γλήχους vulgati codd. nos ex MS. cod. γλήχωνος reſtituimus ut ſupra.

228 ἐν οἴνῳ MS. cod. inſerto ἐν. Poſtea verſus finem in cod. dicitur τοῦτο καὶ οὐρέεται, ubi καὶ pro δὲ ponitur.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΝΟΥΣΩΝ ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.
HIPPOCRATIS
DE MORBIS
LIBER QUARTUS.

ΚΕΦΑΛΑΙΟΝ. ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Αἱ τέσσαρες τοῦ ὑγροῦ ἰδέαι καταλέγονται, ἡ χολὴ, τὸ φλέγμα, τὸ αἷμα, καὶ τὸ ὕδωρ· καὶ αἱ τούτων ἀρχαὶ, καὶ γένεσις, καὶ αἰτίαι, καὶ ὑποδοχαὶ, καὶ πηγαὶ, καὶ τὰ ἐνεργήματα· καὶ τὰ σιτία, καὶ τὰ ποτά· καὶ τὰ περιττώματα, καὶ αἱ αὐτῶν ὁδοί. Περὶ τῶν πυρετῶν διορίζεται, καὶ περὶ τῶν νοσημάτων ἀρχῶν, καὶ αἰτίων, καὶ τῶν ὀδυνῶν, καὶ ἑλμίνθων, καὶ λίθων, καὶ ὕδρωπος.

ARGUMENTUM LIBRI.

Quatuor humorum ſpecies narrantur, bilis, pituita, ſanguis, & aqua; eorumque principia, generatio, cauſæ, receptacula, fontes, & effectus; cibaria & potulenta; excrementa & eorum ductus. De febribus diſſeritur, morborum principiis, cauſis, doloribus, lumbricis, calculis, hydrope.

Basil. Græc. pag. 166. — Foesius Sect. V. 56. 498. — Basil. Lat. III. 163. pag. 228.

SECTIO I.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἡ τοῦ ἀνθρώπου γένεσις· τὸ σπέρμα ἑκατέρου τοῦ γεννήσαντος ἀπὸ πάντων τῶν μελῶν ἐς τὴν γένεσιν ἔρχεσθαι· τέσσαρας τοῦ ὑγροῦ ἰδέας εἶναι, τὴν χολὴν, καὶ τὸ αἷμα, καὶ τὸ φλέγμα, καὶ τὸ ὕδωρ, ἢ χολὴν μέλαιναν· καὶ ταύτας ἀπὸ τῶν βρωμάτων καὶ πωμάτων γίνεσθαι· καὶ τὰς τούτων πέντε εἶναι πηγὰς, τὴν κοιλίαν, καὶ τὴν κεφαλὴν, καὶ τὴν καρδίαν, καὶ τὸν σπλῆνα, καὶ τὸ ἐπὶ τῷ ἥπατι τῆς χολῆς χωρίον· ἡ τῶν μορίων καὶ τῶν φυτῶν ἀναλογία, καὶ ἀμφότερα τὸ συγγενὲς ὑγρὸν ἕλκειν.

CAPUT I.

Hominis ortus; ſemen utriusque parentis ab omnibus partibus ad generationem procedere; humores corporis quatuor eſſe, bilem, ſanguinem, pituitam, & aquam, vel atram bilem; eosque ex eduliis ac potulentis procreari; eorumque fontes eſſe quinque, ventriculum, caput, cor, lienem, & fellis in hepate folliculum; partium & plantarum analogia; utrasque congenerem ſibi humorem trahere.



1 ΤΟΥ δ' ἀνθρώπου ἐς τὴν γένεσιν ἀπὸ πάντων τῶν μελέων τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐλθὸν τὸ σπέρμα, καὶ ἐς τὰς μήτρας τῆς γυναικὸς πεσὸν, ἐπάγη· χρόνου δὲ γενομένου, φύσις



SEmen ab omnibus tum viri, tum mulieris partibus, ad hominis generationem veniens, & in mulieris uterum illapſum, concreſcit; ex eoque, tempore procedente, natura hu-

VARIÆ LECTIONES.

Hunc librum Polybo plerique adjudicarunt, quod in eo paulo aliter, quam in genuinis Hippocratis libris de quatuor corporis humoribus diſſeratur.

humanæ formæ compos procreatur. Habet autem tum mulier, tum vir in corpore quatuor humoris ſpecies, a quibus morbi oriuntur, qui morbi a nulla violentia ortum ducunt. Hæ vero ſunt ſpecies: pituita, ſanguis, bilis, & aqua, ex hisque non minima, neque debiliſſima portio in ſemen confluit; quumque animal ex parentibus procreatum ſit, tot humoris tum ſani, tum morboſi ideas in ſe continet. Quæ vero ex unaquaque harum ſpecierum tum plura, tum pauciora in corpore contingunt, apertiam, & a quo ægrotent; quodque morbi diebus imparibus judicantur; & quænam ſint morborum principia; & quænam horum ſingula in corpore moliantur, ut morbum invehant; a quo etiam rigor ipſe febrilis contingat, & cur poſt eum febris adoriatur. Ac primum quanam ratione bilis, ſanguis, aqua, & pituita ex cibariis & potibus copioſiora & pauciora procreentur, demonſtrare volo, hoc modo. Ventriculus, dum plenus eſt, omnium corpori fons eſt; vacuus vero factus, ex corpore tabeſcente haurit. Sunt autem etiam quatuor alii fontes, a quibus horum quisque in corpus influit: quum igitur hi fontes a ventriculo acceperint, ipſique quum vacuati fuerint, a corpore hauriunt: trahit quoque ipſum corpus, quum quid in ſe ventriculus habuerit. Sanguinis certe fons eſt cor; pituitæ, caput; aquæ, lien; bilis, locus in jecore. Atque hi ſunt quatuor iſtis (humoribus) fontes, præter ventriculum. Ex his autem maxime cavi ſunt caput & lien. In eo enim ampliſſimus locus eſt: ſed de hoc paulo poſt melius diſſeram. Sic autem ſe res habet: in omnibus cibis ac potibus, & bilioſi aliquid, & aquoſi, & ſanguinei, & pituitoſi ineſt, plus minusve in hoc, vel illo; quapropter, quæ comeduntur, ac bibuntur, ad valetudinem inter ſe differunt. Atque hæc mihi ea de re dicta ſunt: quum homo comederit aut biberit, corpus ad ſe ex ventriculo commemoratum humorem trahit; & fontes per venas de ventriculo trahunt, ſimilis humor ſimilem, & in corpus diſtribuit, quemadmodum & in plantis, ſimilis humor ex terra ſimilem attrahit. Sic enim in ſe varias & innumeras terra facultates habet: nam quæcunque in ipſa

ἀνθρωποειδὴς ἐγένετο ἐξ αὐτέου. Ἔχει δὲ ϗ ἡ γυνὴ, ϗ ὁ ἀνὴρ [1] τέσσαρας ἰδέας ὑγροῦ ἐν τῷ σώματι, ἀφ' ὧν νοῦσοι γίνονται, ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνονται. Αὗται δὲ αἱ ἰδέαι εἰσὶ, φλέγμα, [2] αἷμα, χολὴ, ϗ ὕδρωψ· ϗ ἀπὸ τούτων ἐς τὸ σπέρμα, οὐκ ἐλάχιστον, οὐδὲ ἀσθενέστατον συνέρχεται· ϗ ἐπειδὰν τὸ ζῶον ἐγένετο [3] κατὰ τοὺς τοκῆας, τοσαύτας ἰδέας ὑγροῦ ὑγιηροῦ τε ϗ νοσεροῦ ἔχει ἐν ἑωϋτῷ. Ἀποφανέω δὲ ὁκόσα ἐν ἑκάστη τουτέων τῶν ἰδεῶν ϗ πλείω ϗ ἐλάσσω ἐν τῷ σώματι γίνεται, [4] ϗ ὑπὸ τοῦ νοσέουσι· ϗ ὅ, τι αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσιν ἡμέρῃσι· ϗ τίνες ἀρχαὶ τῶν νούσων εἰσί· [5] ϗ ὁκοῖα αὐτέων ἑκάστη ἐν τῷ σώματι ἐργασμένη τὴν νοῦσον ἐπάγει· ϗ [6] ὑπὸ τοῦ αὐτὸ ῥῖγος πυρετῶδες γίνεται, ϗ διὰ τί τὸ πῦρ ἐπιπίπτει μετ' αὐτό. Ἐθέλω δὲ ἀποφῆναι πρῶτον, πῶς ἡ χολὴ, ϗ τὸ αἷμα, ϗ ὁ ὕδρωψ, ϗ τὸ φλέγμα, πλείονα ϗ ἐλάσσονα γίνεται ἀπὸ τῶν βρωμάτων ϗ τῶν πομάτων, τρόπῳ τοιῷδε. Ἡ κοιλίη τῷ σώματι πάντων πηγή ἐστι πλέη ἐοῦσα, κενεὴ δὲ γενομένη, ἐπαυρίσκεται ἀπὸ τοῦ σώματος τηκομένου. Εἰσὶ δὲ ϗ ἄλλαι πηγαὶ τέσσαρες, ἀφ' ὧν χωρέει τούτων ἕκαστον ἐς τὸ σῶμα· ἐπὴν οὖν αὗται ἀπὸ τῆς κοιλίης λάβωσι, ϗ αὗται ἐπὴν κενῶνται, ἀπὸ τοῦ σώματος ἐπαυρίσκονται· ἕλκει δὲ αὐτὸ τὸ σῶμα, [7] ἐπὴν ἡ κοιλίη τι ἔχῃ ἐν ἑωϋτῇ. Τῷ μὲν δὴ αἵματι, ἡ καρδίη πηγή ἐστι· τῷ δὲ φλέγματι, ἡ κεφαλή· τῷ δὲ ὕδατι, ὁ σπλήν· τῇ δὲ χολῇ, τὸ χωρίον τὸ [8] ἐν τῷ ἥπατι. Αὗται αἱ τέσσαρες τουτέοισίν εἰσι πηγαὶ, ἄνευ τῆς κοιλίης. Ἀπὸ τούτων δέ εἰσι κοιλόταται, ἡ κεφαλὴ, ϗ ὁ σπλήν. Εὐρυχωρίη γὰρ ἐν αὐτῷ πλείστη ἐστίν· ἀλλὰ περὶ τούτου, ὀλίγον ὕστερον ἀποφανέω κάλλιον. [9] Ἔχει δὲ ϗ τόδε οὕτως· ἐν τοῖσι βρωτοῖσι ϗ τοῖσι ποτοῖσιν ἔνεστι πᾶσι ϗ χολῶδεός τι, ϗ ὑδρωποειδέος, καὶ αἱματώδεος, ϗ φλεγματώδεος, τῇ μὲν πλέον, τῇ δὲ ἔλασσον· διότι ϗ διαφέρει τὰ ἐσθιόμενα ϗ πινόμενα ἀλλήλων ἐς τὴν ὑγείην. Καὶ ταῦτά μοι ἐς τοῦτο εἴρηται· ἐπὴν δὲ φάγῃ ἢ πίῃ ὁ ἄνθρωπος, ἕλκει τὸ σῶμα [10] ἐς ἑωϋτὸ ἀπὸ τῆς κοιλίης τῆς ἰκμάδος τῆς εἰρημένης, καὶ αἱ πηγαὶ ἕλκουσι διὰ τῶν φλεβῶν ἀπὸ τῆς κοιλίης, ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, ϗ [11] διαδίδωσι τῷ σώματι, ὥσπερ ἐπὶ τῶν φυτῶν ἕλκει ἀπὸ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην. Ἔχει γὰρ ὧδε ἡ γῆ ἐν ἑωϋτῇ δυνάμιας παντοίας καὶ ἀναριθμους· ὁκόσα γὰρ ἐν αὐτῇ φυε-

VARIÆ LECTIONES.

1 MS. Cod. Venetus hunc locum ita effert: ὑγροῦ τέσσαρα εἴδεα ἐν τῷ σώματι, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, ὁκόσα μὴ ἀπὸ βίης νουσήματα γίνεται.

2 καὶ αἷμα MS. Cod. addita particula καί. Deinde pro ὕδρωψ Mercurialis ex Veteri Cod. legit ὕδωρ, quæ lectio optima videtur: verum vox ὕδρωψ pro aqua inferius iteratur, & *aquoſum* dicitur ὑδρωποειδές, quamobrem nihil immutavimus.

3 κατὰ τοὺς τοκῆας vulgati Codd. Sed quædam exempl. κατὰ τὰς τοκείας, ut λοχείας in *puerperiis*. Æmil. Portus. Paulo poſt Servinus εἰδέων ſcribit pro ἰδέων.

4 καὶ ὑπὸ τοῦ Imp. Cornar. quem ſequimur, pro ϗ ὑπὸ τούτου.

5 MS. Cod. Venetus καὶ ὁκοίη habet.

6 Imp. Cornar. legit ὑπὸ τοῦ τὸ ῥῖγος. Deinde καὶ τῶν ποτῶν ſcribit MS. Cod. Venet. hancque lectionem præſeferunt Imp. Samb. & Fevrer.

7 ἐπὴν ἤν τι ἡ κοιλίη ἔχει paucis immutatis MS. Cod. Venet.

8 ἐν pro ἐπὶ Imper. Sambuci & Fevreus, quos ſecuti ſumus. Paulo poſt ἀπὸ τούτων δὲ, MS. Cod. Venet. Τούτων δὲ omiſſa propoſitione ἀπό.

9 ἔχει δὲ καὶ τόδε ὧδε eodem ſenſu MS. Cod. Venet.

10 MS. Cod. Venet. habet ἐς ἑωϋτὸν ἐκ τῆς κοιλίης. Poſtea in Cod. Venet. καὶ πηγαὶ ſcribitur, omiſſo articulo αἱ.

11 Aldina exempl. δίδωσι ſcribunt.

φύεται, πᾶσιν ἰκμάδα παρέχει ὁμοίην ἑκάστῳ, "[12] οἷον καὶ αὐτὸ τὸ φυόμενον αὐτῷ ὁμοίην κατὰ ξυγγενὲς ἔχει· καὶ ἕλκει ἕκαστον ἀπὸ τῆς γῆς τροφὴν, οἷόν περ καὶ αὐτό ἐστι. [13] Τό, τε γὰρ ῥόδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί· καὶ τὸ σκόροδον ἕλκει ἀπὸ τῆς γῆς ἰκμάδα τοιαύτην, [14] οἷόν περ καὶ αὐτὸ δυνάμει ἐστί· καὶ τἄλλα πάντα φυόμενα ἕλκει ἐκ τῆς γῆς, καθ' ἑωϋτὸ ἕκαστον. Εἰ γὰρ μὴ τοῦτο οὕτως εἶχεν, [15] οὐκ ἂν ἐγίνετο τὰ φυόμενα ὅμοια τοῖσι σπέρμασιν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τῷ τ' ἰκμάδος συγγενοῦς πλεονασμῷ τε καὶ ἐνδείᾳ τὰ φυτὰ καὶ τοὺς ἀνθρώπους νοσεῖν· καὶ αὐτόθι τὰ φυτὰ γίνεσθαι καὶ βλαστάνειν, οὗ γῆς τὸ κατὰ συγγένειαν ὑγρὸν ἕλκειν δύναται· διαφόρους τῇ γῇ δυνάμεις ἐνεῖναι, καὶ ἰκμάδας, δι' ὧν διάφορα φυτὰ βλαστάνουσι· καὶ ὑπὸ τῶν ἀνθρώπων τὰ ἄγρια φυτὰ ἡμεροῦσθαι.

Ὅτῳ δὲ τῶν φυομένων ἐν τῇ γῇ ἰκμὰς κατὰ συγγένειαν τοῦ δέοντος πολλῷ πλέων ἐστὶ, νοσέει ἐκεῖνο τὸ φυτόν· ὅτῳ δὲ ἐλάσσων τοῦ καιροῦ, ἐκεῖνο αὐαίνεται· ἢν δὲ ἐξ ἀρχῆς μὴ ἐνῇ ἰκμὰς τῷ φυτῷ, ἣν ἕλκει κατὰ τὸ συγγενὲς, οὐδ' ἂν βλαστῆσαι δύναιτο. Παρέχει δὲ νοηθῆναι, ὅτι εἰ μὴ ἔχει ἰκμάδα κατὰ φύσιν τὸ φυτὸν, οὐ βλαστάνει τὴν ἀρχήν· ἡ γὰρ Ἰωνίη χώρη καὶ ἡ Πελοπόννησος, [16] ὑπὸ τοῦ ἡλίου " τῶν ὡρέων οὐχ ἥκιστα καίεται, ὥστε δύνασθαι ἐξαρκεῖν τοῖσι φυομένοισι τὸν ἥλιον· ἀλλ' ὅμως οὐ δυνατὸν, [17] πολλῶν ἤδη πειραζομένων, οὔτε ἐν Ἰωνίῃ, οὔτε ἐν Πελοποννήσῳ, " σίλφιον φῦσαι· ἐν δὲ τῇ Λιβύῃ αὐτόματον φύεται. Οὐ γάρ ἐστιν οὔτε ἐν Ἰωνίῃ οὔτε ἐν Πελοποννήσῳ ἰκμὰς τοιαύτη, ὥστε τρέφειν αὐτό. Ὅτι δὲ πολλὰ καὶ ἄλλα ὅσα τοῦ ἡλίου ἐξαρκέοντος αἱ χῶραι οὐ δύνανται
167 τῶν θεραπευμάτων τρέφειν, ἄλλαι δὲ φύουσιν αὐτόμαται, [18] παρέχει καὶ τοῦτο σκέψασθαι ὃ μέλλω ἐρέειν, " ὁκόσον χῶρος χώρου κάρτα πλησιάζων διαφέρει ἐς τὴν ἡδυοινίην, τοῦ ἡλίου ὁμοίως ἐξαρκέοντος. Ἔνθα μὲν γὰρ τῆς γῆς ἰκμάς ἐστιν, ἥτις τὸν οἶνον ἡδὺν παρέξει, ἔνθα δὲ οὔ. Ἔστι δὲ καὶ

producuntur, his omnibus humorem unicuique
4 similem præbet, velut & id quod producitur, sibi cognatione similem habet; & trahit unumquodque ex terra alimentum, quale sane ipsum est. Nam & rosa talem ex terra humorem trahit, qualis & ipsa facultate est; & allium talem e terra humorem trahit, quale etiam ipsum facultate est; & cætera omnia, quæ producuntur, e terra trahunt pro se singula. Nisi enim id ita se haberet, plantæ suis seminibus similes non nascerentur.

CAPUT II.

Humoris congeneris exuperantia ac penuria tum plantas, tum homines ægrotare; ibique terræ plantas nasci ac succrescere, ubi ipsæ cognatum sibi humorem trahere queunt; varias terræ facultates inesse ac humores, quibus diversæ plantæ succrescant; & sylvestres plantas, sativas ab homine fieri.

Cui vero plantæ in terra cognationis humor multo uberior est, quam conveniat, ea planta ægrotat; cui vero paucior, quam opportunum est, ea marcescit: at nisi plantæ ab initio humor insit, quem sibi cognatum attrahat, ne germinare quidem poterit. Quod vero planta pullulare ab initio nequeat, nisi humorem secundum naturam habeat, licet intelligere:
5 Ionia namque regio & Peloponnesus pro (anni) temporibus non minimum a sole uritur, ita ut sol e terra nascentibus satis esse possit; neque tamen fieri potest, etsi multi jam tentarunt, ut in Ionia aut Pelo-
6 ponneso silphium nascatur; at in Lybia sua sponte nascitur. Non enim in Ionia, neque in Peloponneso est ejusmodi humor, qui ipsum nutriat. Quod vero multa etiam alia medicamenta regiones, etiamsi sol sufficiat, alere non possint, aliæ vero sponte producant; id quod dicturus sum conside-
7 randum præbet, quantum locus loco etiam valde vicino ad vini suavitatem præstet, quamvis sol æqualiter sufficiat. Hic enim terræ humor est, qui vinum suave præbeat; illic vero minime. Sunt vero & syl-

VARIÆ LECTIONES.

12 οἵην, *qualem* videtur legisse Corner. pro οἷον, *velut*.
13 MS. Cod. Venet. habet: τότε γὰρ ἕλκει ἀπὸ τῆς γῆς ἥτις ἐν τῇ γῇ ἰκμὰς τοιαύτη ἔνεστι.
14 οἵην περ Imp. Samb. & Fevr. quam lectionem adhibuisse videtur Corn.
15 οὐκ ἂν ἐγίνετο omnia exempl. Mercurialis vero οὐκ ἂν ἐφύετο, sed prior lectio sensui magis congruit.
16 Æmil. Portus addit ὑπὸ, cujus lectionem probavimus. Mox χώρων *regionum*, pro ὡρέων *anni temporibus*, legisse videtur Calvus. Deinde in MS. Cod. Veneto pro ἐξαρκεῖν, legitur ἐξαρκέειν
17 πολλὸν vitiose habent quidam Codd. Paulo post φῦναι MS. Cod. Venet. pro quo Mercurial. ex Cod. Veter. φῆσαι notat.
18 παρέχει δὲ καὶ τοῦτο σκέψασθαι ὅ, τι μέλλω MS. Cod. Venet.

sylvestres plantæ non paucæ in loco nascentes, quas ad ulnæ spatium translatas, non amplius produci comperias: non enim habet terra hæc talem humorem translato, qualem illa sylvestribus plantis suppeditabat. In his enim sunt quædam magis virulentæ, quædam humidiores, quædam dulciores, ficciores quædam, asperiores etiam quædam, aliæque innumeræ aliter se habent; innumeræ enim sunt in ipsa (terra) facultates: & propter hæc genera, primum ex terra alterum alteri simile nullum productum est, quod non cognatum. Sed mihi hæ plantæ omnes sylvestres esse videntur: verum eas homines cultura sativas reddiderunt, cogentes quamque pro suo semine fructum ferre: humor enim similis similem ex terra trahit, ex eoque augescit ac nutritur; & plantarum altera alteri similis nulla est, neque æqualem, neque similem ex terra humorem trahit. Eorum autem singula, quæ ad cibos aut potiones producuntur, multas ad se e terra facultates trahunt; & in quoque aliquid pituitosi & sanguinei inest. Huc igitur ex necessitate adductus sum, quod de cibis ac potibus, qui in ventriculum veniunt, corpus ad fontes nominatos trahit; similis humor similem, per venas.

ἄγρια φυόμενα ἐν χωρίῳ οὐκ ὀλίγα, μεταρθέντα δὲ ὁκόσον ὀργυιὴν, οὐκ ἂν εὕρῃς ἔτι φυόμενα· οὐ γὰρ ἔχει ἡ γῆ μεταρθέντι τοιαύτην ἰκμάδα, οἵην τοῖσιν ἀγρίοισι φυτοῖσιν ἐκείνη παρέσχειν. Ἔστι γὰρ αὐτοῖσι τὰ μὲν ἰωδέστερα, τὰ δ' ὑγρότερα, τὰ δὲ γλυκύτερα, τὰ δὲ ξηρότερα, τὰ δὲ τρηχύτερα· [19] ἀλλὰ δὲ μυρία ἄλλως ἔχει· μυρίαι γὰρ ἐν αὐτῇ δυνάμιές εἰσι· καὶ διὰ ταῦτα τὰ γένεα, ἐκ τῆς γῆς πρῶτον οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιον ἔφυ, ὅτι μὴ συγγενές. Ἄγρια δέ μοι δοκέει ταῦτα πάντα εἶναι· ἄνθρωποι δὲ ταῦτα ἡμέρωσαν ἐργαζόμενοι καρποφορέειν· κατὰ τὸ σπέρμα ἕκαστον· ἕλκει γὰρ ἐκ τῆς γῆς ἡ ὁμοίη ἰκμὰς τὴν
8 ὁμοίην, καὶ [20] τούτῳ αὔξεται καὶ τρέφεται, καὶ οὐδὲν ἕτερον ἑτέρῳ ὅμοιόν ἐστι τῶν φυομένων, οὔτε ἴσην οὔτε ὁμοίην ἐκ τῆς γῆς ἰκμάδα ἕλκον. Ἕλκει δὲ ἕκαστον τῶν φυομένων βρωτῶν τε καὶ ποτῶν ἐν ἑωϋτῷ πολλὰς δυνάμιας ἀπὸ τῆς γῆς· ἐν παντὶ δὲ ἐστί τι φλεγματώδεος, καὶ αἱματώδεος. Ἀνάγκην οὖν τῷ δὲ προσηγαγόμην, ὅτι ἀπὸ τῶν [21] βρωμάτων καὶ τῶν ποτῶν ἐς τὴν κοιλίην χωρεόντων,
9 ἕλκει τὸ σῶμα ἐς αὐτὰς πηγὰς ἃς ὠνόμασα· ἡ ὁμοίη ἰκμὰς τὴν ὁμοίην, διὰ φλεβῶν.

CAPUT III.

Quod pituita a cibis & potibus pituitosis procreetur; a capite trahatur, ubi manens copiosior, capitis dolorem excitat; delapsa in ventriculum & vesicam, juvat.

QUod vero unumquodque per prædicta trahat, hoc aliud proferam argumentum; simulque aperiam, unde pituita in corpore gignatur. Quum quis caseum aut aliquid acre comederit, aut aliud quid pituitosum ederit aut biberit, quamprimum ei ad os & nares accurrit, atque hoc omnes ita contingere cernimus; idque ex iis, quæ ego referam, credere oportet. Dico autem, quicquid in cibo aut potu pituitosum inest, id, ubi in ventriculum venerit, partim corpus ad se trahit; partim vero caput, ut quod cavum sit, & velut cucurbita corpori incumbat, pituitam attrahit, quæ quum viscosa sit, hanc alia ex alia ad caput sequitur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὸ φλέγμα ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν φλεγματωδῶν γεννᾶσθαι· καὶ ἀπὸ τῆς κεφαλῆς ἕλκεσθαι, καθ' ἣν μένον πλέον, τὴν κεφαλαλγίαν ποιεῖ· καὶ ἐς τὴν κοιλίαν καὶ τὴν κύστιν ἐλθὸν, ὠφελεῖν.

ΣΗμήϊον δὲ ἀποφανέω ἕτερον τόδε, [22] ὅτι ἕλκει ἕκαστον κατὰ τὰ εἰρημένα· καὶ ἅμα φράσω, ὅθεν τὸ φλέγμα γίνεται ἐν τῷ σώματι. Ἐπὴν τις φάγῃ τυρὸν ἢ ὅ, τι ἐστὶ δριμὺ, ἢ ἄλλό τι φάγῃ, ἢ πίῃ, ὅ, τι ἐστὶ φλεγματῶδες, αὐτίκα οἱ ἐπιθέει ἐπὶ τὸ στόμα καὶ τὰς ῥῖνας, καὶ τοῦτο οὕτως γινόμενον πάντες [23] ἑωρῶμεν· τοῦτο δὲ χρὴ ἐλπίσαι, ὅθεν ἐγὼ ἐρέω. Φημὶ δὲ, ὁκόσον ἐν τῷ βρώματι ἢ πόματι φλεγματῶδες ἐνῇ, κείνου ἐς τὴν κοιλίην ἐλθόντος, τὸ μὲν σῶμα ἕλκει ἐς ἑωϋ-
10 τὸ, τὸ δὲ ἡ κεφαλὴ κοίλη ἐοῦσα, καὶ ὥσπερ σικύη ἐπικειμένη, ἕλκει τὸ φλέγμα, ἅτε γλίσχρον ἐὸν, ἕπεται δὲ τούτῳ τὸ ἕτερον [24] διὰ τοῦ ἑτέρου ἐς τὴν κεφαλήν.

Τὸ

VARIÆ LECTIONES.

19 ἄλλα δ' ἄλλως ἔχει μυρία MS. Cod. Venet.

20 Sic Imp. Sambuci, quam lectionem adhibuerunt interpretes pro τουτοῖσιν vulgato.

21 βρωτῶν, ut supra, scribit MS. Cod. Venet. pro βρωμάτων. Deinde τὸ σῶμα καὶ τὰς πηγὰς MS. Cod. Venet. Imper. Sambuc. Fevrer. & Servin. legunt. Imper. Cornarii vero τὸ σῶμα κατὰ τὰς πηγὰς, trahit *corpus*, *secundum fontes* dixit Cornar. quam lectionem secutus est Linden. καὶ αὗται πηγαὶ vero legisse videtur Calvus.

22 ὅτι ἕλκει ἕκαστα κατὰ τὰ εἰρημένα Imp. Sambuci.

23 ὁρέομεν MS. Cod. Venet. pro ἑωρῶμεν vulgato, scribit.

24 δι' ἑτέρου MS. Cod. Venet. Deinde Imper. Sambuci τὸ ἐγγενόμενον ἀπὸ τοῦ βρώματος habet, cui assentimur, hæcque lectio adscribitur in MS. Cod. Venet. & Fevrer. pro vulgatis τὸ γενόμενον ἐκ βρώματος.

Τὸ μὲν νέον φλέγμα τὸ ἐγγεννώμενον ἀπὸ τοῦ βρώματος, μένει ἐν τῇ κεφαλῇ, τὸ δὲ παλαιὸν ὁκόσῳ πλεῖον τὸ νέον, ὑπ᾽ ἐκείνου βιώμενον ἐξέρχεται· καὶ διὰ τοῦτο ἐπήν τις φάγῃ ἢ πίῃ ὅ, τι φλεγματῶδες,
25 [25] ἀποχρέμπτεται φλέγμα. Ἔχει δὲ καὶ τόδε οὕτως· ἢν φαγόντος τι ἢ πιόντος τοῦ ἀνθρώπου, ὅ, τί ἐστι φλεγματῶδες, μὴ ἐξέλθοι πάλιν, ἐν ὅσῳ πλέον ἐγένετο, μήτε κατὰ τὸ στόμα, μήτε κατὰ τὰς ῥῖνας, ἀνάγκη ἐστὶ μένειν αὐτὸ ἐν τῇ κεφαλῇ, ἢ ἐς τὸ σῶμα [26] κατελθεῖν ἀπὸ τῆς κεφαλῆς, καὶ ἐς τὴν κοιλίην ἀφικέσθαι· καὶ ἄριστον ἂν συμβαίνῃ, εἰ ἐς τὴν κοιλίην ἀφίκοιτο, ἐξέλθοι γὰρ ἂν σὺν τῇ κόπρῳ· [27] εἰ μὲν πολλὸν εἴη καὶ ὑγρὸν, ὑγρήνειε τὴν κόπρον· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειεν.
30 Εἰ δὲ ἐν τῇ κεφαλῇ μείνειε, πολλὸν ἂν πόνον παράσχοι τῇ κεφαλῇ, ἐν τῇσι φλεψὶν ἐόν· εἰ δὲ ὀλίγον, οὐκ ἂν ποιήσειε τοῦτο· [28] ἐπισημήνοι δ᾽ ἂν, ἢ πλέον ἢ ἔλασσον. Ἢν δὲ ἐς τὸ σῶμα ἀφίκηται, κεῖσέ οἱ μέμικται τῇ ἄλλῃ ἰκμάδι· κἢν μὲν πολλὸν ἔῃ τὸ φλέγμα, [29] ἐσάσειεν ἂν τὸ 11 σῶμα αὐτίκα· ἢν δὲ ὀλίγον, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, εἰ μή τίς οἱ 12 ἀρχὴ ὑπολείποιτο καὶ ἄλλη. Χρόνῳ δὲ ἢν μὲν ἕτερον ἐπιγένηται φλέγμα, σινοῖτο ἄν·
35 ἢν δὲ τὸ σῶμα τῇ κύστει καὶ τῇ κοιλίῃ 13 διαφέρει, καὶ ταῦτα ἔξω διοίσῃ, οὐδὲν ἂν κακὸν ἐξ αὐτέου σχοίη. Ἐν τούτῳ μὲν οὖν τῷ λόγῳ ἀποπέφανται, ὅκως ἡ κεφαλὴ ἐκ τῆς κοιλίης φλέγμα ἕλκῃ, τό, τε ὅμοιον ἔρχεται πρὸς τὸ ὅμοιον· καὶ ἅμα εἴρηταί μοι, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἀνθρώπῳ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν.

Et quæ quidem recens pituita ex cibo gignitur, in capite manet; vetus autem a recente, prout copiosior est recens, vi illata expellitur: quapropter ubi quis aliquid pituitosum ederit aut biberit, pituitam excreat. Ita vero hæc se res habet: quum homo quid pituitosum ederit aut biberit, si quod redundat, rursus non exeat, neque per os, neque per nares; id in capite manere, vel ex capite in corpus deferri necesse est, & ad ventriculum pervenire: ac optime quidem cesserit, si ad ventriculum perveniat; cum stercore enim exierit: siquidem copiosum ac humidum fuerit, stercus humidum reddiderit: si vero paucum, id non fecerit. Quod si in capite permanserit, multum quidem, dolorem capiti exhibuerit, quum in venis est; si vero paucum, id non fecerit: an copiosum autem, aut paucum sit, sui significationem exhibet. At si ad corpus deveniat, illic cum alio humore permiscetur; & si sane copiosa pituita fuerit, statim corpus gravarit; si vero pauca, non utique gravarit, quum nimirum corpus magnum sit, nisi aliud ei principium relinquatur. Succedente vero tempore, si quidem altera pituita accesserit, lædat utique: quod si corpus ad vesicam & ventriculum transmittat, & hæc foras deferant, nihil ex ea mali habuerit. In hac igitur oratione demonstratum est, quomodo caput ex ventriculo pituitam trahat, & simile ad simile veniat; simulque a me commemoratum est, & quomodo & quare copiosior (pituita) homini ex cibis & potibus gignatur.

ΚΕΦΑΛΑΙΟΝ Δ΄.

Τὴν χολὴν πλείονα ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν χολωδῶν γεννᾶσθαι· καὶ ἀπὸ τοῦ χωρίου τοῦ ἐπὶ τῷ ἥπατι ἐς αὐτὸ ἕλκεσθαι, καὶ μένουσαν ἀλγήματος αἰτίαν εἶναι· καὶ ἕτερα ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακα ὑπάρχειν.

Νῦν δὲ ἐρέω περὶ χολῆς, ὅκως τε καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκῃ τὸ χωρίον αὐτέην τὸ ἐπὶ
40 τοῦ ἥπατος. Ἔχει δὲ οὕτως. Ἐπὴν φάγῃ καὶ πίῃ ὁ ἄνθρωπος, ὅ, τί ἐστι πικρὸν, καὶ ἄλλως χολῶδες, καὶ κοῦφον, πλείων καὶ ἡ χολὴ γίνεται [30] ἐν τῷ ἥπατι·

CAPUT IV.

Bilem copiosiorem a biliosis tum cibis tum potibus procreari, a cysti fellis ad hepar trahi, & remorantem doloris causam esse; esculenta ac potulenta alia aliorum esse medicamenta.

Nunc vero de bile dicturus sum, quomodo & cur copiosior in corpore gignatur; & quomodo folliculus ejus, qui in hepate est, ipsam trahat. Sic autem se res habet. Quum homo, quod amarum est, aut alioqui biliosum & leve, comederit aut biberit, tum copiosior bilis in hepate gignitur; ac

Variæ Lectiones.

25 ἀποχρέμπτεται ὁ ἄνθρωπος φλέγμα MS. Cod. Venet. Imp. Samb. & Fevr. legunt, addito ὁ ἄνθρωπος.

26 Pro κατελθεῖν, MS. Cod. Venet. habet ἐλθεῖν. ἢ ἐς τὴν κοιλίην scribit Imp. Samb. & Fevr.

27 εἰ μὲν πολλὸν εἴη, *siquidem copiosum fuerit* MS. Cod. Venetus legit, omissis καὶ ὑγρὸν, *ac humidum.*

28 ἐπισημήνοι δ᾽ ἄν τις, ἢ πλέον ἢ ἔλασσον MS. Cod. Venet. Imp. Sambuci & Fevreus scribunt. Paulo post καὶ κεῖσέ οἱ legisse videtur Cornar.

29 Sic Foësius & quidem recte: prius erat ἐσάσειεν ἐς τὸ σῶμα. Paulo post ex Æmilii Porti emendationibus scripsimus, pro σινοίατο vulgato, σινοῖτο.

30 ἐν pro ἐπὶ Imp. Sambuci & Fevreus quos secuti sumus.

ac confeſtim hepar dolet, quod pueri cor vocant, idque fieri cernimus, & a cibo ac potu factum eſſe nobis apertum eſt. Siquidem omnem commemoratum humorem ex cibis corpus ad ſe attrahit: folliculus autem, qui in hepate eſt, etiam quicquid illic biliosi ineſt, ad ſe trahit. Et ſi derepente copioſa bilis extiterit, hepar homini dolet, & copioſior ex ventre gignitur. Hoc enim contingente, vetus bilis propter multitudinem ad ventriculum fertur, & inde tormina in ventriculo oriuntur; & ipſius pars quædam per veſicam, pars vero per ventrem foras procedit, ſicque pauciſſima in homine remanet, & dolores ceſſant. Si vero horum neutrum contingat, primum vetus bilis in corpus procedit; nam in ipſum diſtribuitur; & ſi copioſa fuerit, confeſtim reliquo humori permixta, de ſe ſignificationem exhibet; ſin pauca, minime utique gravarit, quum corpus magnum ſit, niſi aliquod aliud principium ſuboriatur. At ſucceſſu temporis, ſiquidem altera bilis acceſſerit, plurimum hominem lædit: quod ſi minime acceſſerit, eam corpus percolaverit, ita ut bilis & quæcunque biliosa ſunt, prodeant: quæ enim eduntur & bibuntur, alia aliorum ſunt medicamenta. Ita ſane etiam quæ lædunt medicamenta, ubi aliud ab alio in ventriculum illapſum eſt, ſua facultate cauſam habet, ut id quod ſuperatum eſt, expellat, ipſumque lædat. Ubi vero ex his, quæ in ventriculum illabuntur, alia bilis corpori acceſſerit, inde morbus oritur. At hoc in ſermone ego demonſtravi, quomodo bilis & cur a cibariis aut potibus copioſior oriatur; quodque folliculus in hepate, quod bilioſum eſt, quia ſimile, a cibis & potibus ad ſe trahat.

καὶ αὐτίκα ἀλγέει τὸ ἧπαρ, ὅ περ οἱ παῖδες [31] καρδίην καλέουσι, καὶ τοῦτο εἰσείδομεν γινόμενον, καὶ ἐμφανὲς ἡμῖν ἐστιν, ὅτι ἀπὸ τοῦ βρώματος ἢ τοῦ ποτοῦ ἐγίνετο. Ἕλκει μὲν γὰρ τὸ σῶμα εἰς ἑωϋτὸ ἀπὸ τῶν βρωμάτων τὴν πᾶσαν ἰκμάδα τὴν εἰρημένην· ἕλκει δὲ καὶ τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἐς ἑωϋτὸ, ὅ, τι ἂν αὐθότι οἱ χολῶδες ἐνῇ. Καὶ, ἢν ἐξαπίνης πολλὴ γένηται ἡ χολὴ, ὀδυνᾶται τὸ ἧπαρ ὁ ἄνθρωπος, καὶ ἀπὸ νηδύος πλέων 45 γίνεται. Τούτου γὰρ γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται· 14 καὶ [32] ἐξέρχεται ἐξ αὐτέης τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. Ἢν δὲ τούτων μὴ δ᾽ ἕτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα· διαδίδοται γὰρ ἐς αὐτό· κἢν μὲν 168 πουλὺ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ· ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσειεν, ἅτε μέγα τὸ σῶμα ἐὸν, ἢν μήτις καὶ ἄλλη ἀρχὴ ὑπογένηται. [33] Χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ 15 ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον· ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν προϊέναι, [34] ἅσσα τέ ἐστι χολώδεα· ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν. Οὕτω δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενα φάρμακά ἐστιν, ὑφ᾽ ἑτέρου ἕτε- 16 ρον ἐσπεσὸν ἐς τὴν κοιλίην, τῇ ἑωϋτοῦ δυνάμει αἰτίην ἔχον, τὸ κρατηθὲν [35] ἐξωθεῖν, καὶ σινέεται τοῦτο. Ἐπὴν δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. Ἐν τούτῳ δὲ ἐγὼ [36] ἐπεσήμαινον, ὅκως ἡ χολὴ, καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ ὅτι ἕλκει [37] ἐς ἑωϋτὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

CAPUT V.

Humoris melancholici (quem hydropem & aquam vocitat) copioſioris ortus, cauſæ, ſedes, affectus; unde lienoſi, & inferiorum partium corporis dolores.

NUnc vero de aqua ſum dicturus, qua ratione, & cur copioſior in corpore

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἡ τοῦ ὑγροῦ μελαγχολικοῦ (τοῦτο ὕδρωπα καὶ ὕδωρ καλεῖ) πλείονος γένεσις, καὶ αἰτίαι, καὶ τόπος, καὶ παθήματα· ὅθεν οἱ σπληνώδεις, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα.

ΝΥν δὲ ἐρέω περὶ ὕδρωπος, ὥς δὲ καὶ διὰ τί πλείων γίνεται ἐν τῷ σώ-

VARIÆ LECTIONES.

31 Hic quidem legendum cenſet Cl. Askew καρδιαλγίην, pro καρδίην, ſenſu ſane aperto: nam morbus, de quo hic fit mentio, vera *cardialgia*, ſeu oris ventriculi morſus, eſt. Verum enim vero nihil immutandum eſt; ſiquidem οἱ παῖδες *pueri*, cum dolorem ſentiunt, internorum viſcerum cum differentiam non agnoſcant, dicunt ſe corde dolere, id eſt, tamquam ſi cor ipſum eſſet id membrum, quod doleat.

32 Mercurial. ex Veteri Cod. ἐξέρχεται ἐξ αὐτέης, inſerta præpoſitione ἐξ, quod ſecuti ſumus cum Lindeno.

33 Χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ ἐπιγένηται πλείων, *ſi alia bilis ſuper accedat copioſior*, legiſſe videtur Corn. ubi notandum MS. Cod. Venet. ὑπογένηται pro ἐπιγένηται habere. Paulo poſt pro σίνεται Ald. & Vatic. exemplar: φθίνεται legunt; MSS. Regia vero φθίνει. MS. Cod. Venet. φθίνεται.

34 Sic Imp. Cornar. & Servin. alii ἅσσα δέ ἐστι χολώδεα. Paulo poſt οὕτω δὲ καὶ τὰ ἄλλα κ. τ. λ. Imp. Sambuci.

35 Omnia exemplaria quæcunque videre licuit ἔξω hoc in loco legunt, ut ſit *foras*. Imp. Cornar. vero ἔξωθεν: quibus rite perpenſis, neque ἔξω, neque ἔξωθεν legendum nobis videtur; ſed ἐξωθεῖν levi mutatione facta. Et hæc lectio ſententiæ egregie congruit, quæ prius obſcura erat.

36 ἐπεσήμηνον omnes Codd. MS. Cod. Venet. autem διεσήμηνον, quam lectionem perpetuo obſervant MS. Reg. Servin. & Fevr. Codd. item Imp. Sambuci. Nos vero ἐπεσήμαινον ex Æmil. Porto reſtituimus, qui & ἐπεσήμηνα etiam legi poſſe contendit.

37 Lindenus ἐς ἑωϋτὸ τὸ χωρίον legit inſerto τό.

σώματι· καὶ ὅκως ἕλκῃ ὁ σπλὴν ἐς ἑωϋτόν. Φημὶ δὲ ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, ἕλκειν ἐς ἑωϋτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος, καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα· καὶ, ἢν πλεῖον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον· καὶ τοῦτο ἐσαίουσι γινόμενον, ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. Ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν,
15 " εἰ ἐν τῇ κύστει [38] διηθέῃ ἀπὸ ' τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθήσειε· κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, ἢν μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι, τοῖσιν ἀπὸ τοῦ σπληνός· ἀλλ' οἷά ἐστιν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν· ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω· κεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι. Κὴν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν ἐσάσειεν,
20 [39] ἀλλὰ ' διηθέῃ ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν, καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν· εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαὶ, αἳ ἕλκουσιν ἐς ἑωϋτὰς " ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γίνονται, ἢ πρὶν ἦσαν. Ἢν δὲ γίνεται ἕτερον ὕδωρ, καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλὴν, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει.

oriatur; & quomodo eam ad se lien attrahat. Assevero autem, quum homo amplius biberit, & corpus & lienem aquam ex ventriculo ad se attrahere; & si plus quam deceat, traxerint, quamprimum hominem laborare; idque contingere sentiunt, quicunque homines lienosi sunt. At ubi lien traxerit, optime quidem (cesserit,) si vetus aqua,
17 quæ in liene aut ventriculo inest, ad vesicam aut ventriculum percoletur, & isthac expellatur: non enim per superiora loca aqua de liene expurgatur, nisi certe quantum ejus in vasis inest a liene procedentibus; sed in ventriculum & vesicam repurgatio fieri potest: hæc autem nisi meabilia fuerint, nec aqua foras percoletur, hæc de liene ad inferiores partes fertur, illicque alteri humori commiscetur. Et siquidem pauca fuerit, minime sane læserit, sed de corpore ad vesicam & ventriculum per venas percolabitur: multæ namque sunt exporrectæ, quæ ubi sicciores quam antea
18 fuerint, ad se ex inferioribus partibus trahunt. Quod si altera aqua procreetur, neque ventriculus, neque vesica foras percolet, lien attollitur, & inferiores corporis partes doloribus afficiuntur. Atque hæc a me dicta sunt, quomodo & cur aqua copiosior ex potu in corpore oriatur, & quanam ratione lien trahat.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ἡ τοῦ αἵματος πλείονος γένεσις, καὶ αἰτίαι, καὶ παθήματα· καὶ αὐτὸ τῇ καρδίᾳ πόνον μὴ ἐπάγειν, καίτοι ἀπ' αὐτοῦ τὰ πλείω νοσήματα ἐν τῷ σώματι, ὥσπερ καὶ ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν πλεόνων, γίνεται.

CAPUT VI.

Copiosioris sanguinis ortus, causæ, affectus; nec ab eo doloribus cor affici, quamvis ab eo plures in corpore morbi, ut a cibo, & potu uberiore, procreentur.

25 Νῦν δὲ ' ἐρέω περὶ αἵματος, ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. Ἐπήν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ, τί ἐστιν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωϋτό· ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωϋτήν· καὶ, ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεταί οἱ τῇ καρδίῃ πόνος· [40] στερεὸν γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει· καὶ ἐξ αὐτῆς τῆς καρδίης παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι καλεόμεναι, ἐς ἃς ταχέως, [41] ἢν πλεῖον προσγένηται, διαδίδοται
30 τὸ αἱματῶδες, καὶ ' πιμπλάμεναι κεῖναι, τῇ κεφαλῇ καὶ τῷ σώματι διδόασιν ἐν τάχει. Καὶ, ἐπήν τι φάγῃ ἢ πίῃ, ὅ, τί ἐστιν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρον-

Nunc autem de sanguine, quomodo, & cur is copiosior in corpore gignatur, exponam. Quum homo quid biberit aut comederit, quod sanguineum est, id totum quidem ad se corpus trahit; trahit autem etiam cor ad se, quod sanguineum est; neque ubi copiosius attraxerit, cordi dolor oboritur: cor enim solida quædam & densa res est, ac propterea dolore non laborat; ex eoque venæ crassæ, jugulares dictæ, procedunt, in quas quod sanguineum est, celeriter distribuitur, si copiosius accesserit; illæque impletæ, capiti & corpori brevi distribuunt. Et, quum quid comederit aut biberit, quod sit sanguineum, confestim jugulares venæ attollun-

Variæ Lectiones.

38 Vulgati Codd. scribunt διηθέῃ. nos ex Æmil. Porti emendationibus scripsimus διηθέῃ. Imp. Sambuci Fevr. & MSS. Req. δοθέῃ habent. Lind. vero διηθηθέῃ.

39 Sic ut supra restituimus pro vulgato διηθέῃ.

40 στερεὸν γάρ τι χρῆμα vulgati Codd. In Imper. Sambuci & Fevr. στερεόν τε γὰρ χρῆμα legitur. MS. Cod. Venet. στερεὸν γὰρ χρῆμα.

41 ἢν οἱ πλεῖον Servin. ex MSS. Codd. οἷον πλεῖον Imp. Samb. & Fevr. sed mendose. Paulo post καὶ ἐκεῖναι πιμπλάμεναι scribitur in MS. Cod. Veneto.

tur, & facies rubet. Cordi autem & corpori ubi ex cibis ac potibus copiosior quam par sit, sanguis accesserit, reliquoque humori admixtus fuerit, nisi per ventrem aut vesicam reliquo humori permixtus exierit, corpori molestiam exhibet: at si paucus accedat, utique corpus minime gravarit; sed tempore ab ipso ad ventriculum, aut ad nares transmittitur, quæ foras excolant, nihilque lædunt: si vero paulatim copiosior evadat, morbosus redditur. At quomodo copiosior sanguis procreetur, a me est expositum. Quum igitur sint quatuor, sanguis, bilis, pituita, & aqua, hæc omnia quomodo, & cur a cibis & potibus copiosiora gignantur, a me est demonstratum. Quod autem ex his gignantur, hoc constat argumento: si homo pauca edat, & pauca bibat, nullum hoc morbum inducit. Atque hæc quidem hactenus mihi dicta sunt: attigi autem obiter, quod ostendat intelligenti, quomodo hæc pauciora fiant: verum hæc melius paulo post declarabo.

ται, καὶ τὸ πρόσωπον ἐρεύθει. Προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλείονος τοῦ ἱκανοῦ, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν, καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μισγὲν τῇ ἄλλῃ ἰκμάδι, ἐν τῷ σώματι πόνον παρέχει· ἢν δὲ ὀλίγον προσγένηται, οὐκ ἐσάσειεν ἂν τὸ σῶμα· χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας, τὰ δὲ διηθέει ἔξω, καὶ ἀσινέες γίνονται· ἢν δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. Ὅκως δὲ πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. Τέσσαρα [42] δὲ ἐόντα, τό τε αἷμα, καὶ ἡ χολὴ, καὶ τὸ φλέγμα, καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε, καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν. Ὅτι δὲ γίνεται ἀπὸ τούτων, [43] σημήϊον τόδε ἐστίν· εἰ ὁ ἄνθρωπος ὀλίγα ἐσθίει, καὶ ὀλίγα πίνει, οὐδεμίαν τοῦτο νοῦσον ἐπάγει. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται· παρέψαυσαι δέ μοι δηλῶσαι τῷ συνετῷ, καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται· δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον.

CAPUT VII.

Plenos quatuor fontes semper corpori distribuere, vacuos a corpore attrahere, præclara comparatione docet; & multiplices venas esse corporis; unde cibi potusque suavitas, & insuavitas; appetentia, & appetentiæ cessatio.

Quos vero appellavi fontes, hi quum pleni fuerint, semper corpori distribuunt; quum vero vacui, ab ipso circumfunduntur. Sic etiam ventriculus facit; sic enim se res habet, quemadmodum siquis affusa in tria aut plura vasa ænea aqua, ea quam planissimo loco statuat, & quam optime coaptata disponat, conjunctis ad foramina fistulis, sensimque in unum vas aquam, donec omnia impleta fuerint, affundat. Ex uno enim in reliqua vasa defluet, quoad cætera etiam impleta fuerint: plenis vero vasis, siquis ex uno aquam exhauriat, vicissim contra refluet aqua in vas æneum, & rursus aqua ex vasis æneis vacuabitur, quemadmodum eam exceperunt. Ita sane & in corpore se res habet: quum

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τὰς τέσσαρας πηγὰς πλήρεις μὲν ἀεὶ τῷ σώματι διαδιδόναι, κενὰς δὲ περιΐσασθαι ἀπ' αὐτοῦ, καλλίστῃ παραβολῇ διδάσκει, καὶ πολλαπλασίας τὰς φλέβας εἶναι τοῦ σώματος· πόθεν τὸ τοῦ βρώματος καὶ τοῦ ποτοῦ καὶ ἡδὺ καὶ ἀηδὲς, καὶ ὁ ἵμερος καὶ ἡ τοῦ ἱμέρου παῦσις.

Τὰς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν πλήρεες ἔωσιν, ἀεὶ ἐπιδιδόασιν· ὁκόταν δὲ κεναὶ, περιΐστανται ἀπ' αὐτοῦ. [44] Οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει· ἔχει γὰρ οὕτως, ὥσπερ εἴ τις εἰς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγχέας, καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου, καὶ συναρμόσας ὡς κάλλιστα [45] ἐπιδιαθείη, αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, καὶ ἐγχέῃ ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ, μέχρις οὗ πληθῇ ἀπὸ τοῦ ὕδατος πάντα. Ἀπὸ γὰρ τοῦ ἑνὸς, ῥεύσεται ἐς τὰ λοιπὰ χαλκεῖα, μέχρις ὅτου καὶ τὰ ἄλλα [46] ἐμπληθῇ·
19 ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσει ἂν ὀπίσω ῥέον τὸ ὕδωρ εἰς τὸ χαλκεῖον, καὶ κενεὰ ἔσται τὰ χαλκεῖα [47] πάλιν, ὥσπερ καὶ ἐδέξατο. Οὕτω δὴ ἐν τῷ σώματι ἔχει· ἐπὴν γὰρ

Variæ Lectiones.

42 Sic Imp. Cornar. quam lectionem secutus est Lind. inserto δέ.

43 Pro σημεῖον, ex Imp. Samb. & Fevreo σημήϊον scripsimus, idque magis Homericum. Mox εἰ ὁ ἄνθρωπος Imp. Samb. & Fevr. addito ὁ. Paulo post pro vulgato τούτῳ, ex Imp. Cornarii τοῦτο emendavimus, relate ad eà; quæ bibuntur, aut eduntur.

44 Vulgati Codd. οὕτω δὲ καὶ ἡ κοιλίη ποιέει, verum καὶ abest in MS. Cod. Venet.

45 Sic MS. cod. Venet. Imp. Samb. & Fevr. quam lectionem amplectitur Lind. pro διαθείη vulgato.

46 Pro πληθῇ vulgato, MS. Cod. Venet. ἐμπληθῇ scribit, quod secuti sumus. Paulo post ἀποῤῥύσῃ vitiose legunt Ald. exemplar. pro ἀπαρύσῃ. MS. Cod. Venet. vero sic habet: ἀπαρύσῃ ἀπὸ τοῦ ὕδατος. Deinde pro ἀνταποδώσειεν, scripsimus ἀνταποδώσει ἄν. nam ἀνταποδώσειεν non est usitatum. Si Codex sanus, hoc observandum, non imitandum. Illud quoque ἂν etiam cum futuro conjunctum sæpe reperias, vel etiam sæpe redundat. Æmil. Port.

47 πάλιν, rursus, deest in MS. Cod. Veneto.

169 γὰρ ἐς κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτὰ, [48] ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίας, καὶ πληροῦται σὺν τῇσι πηγῇσιν· ἐπὴν δὲ ἡ κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο, ὡς ἐκ τῶν ἄλλων ἐς τὸ ἓν χαλκεῖον. Φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι, πολλαὶ καὶ πυκναί· αὗται δὲ μέχρις οὗ ἂν ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι, καὶ δέχονται [49] καὶ ἀφιᾶσι τε καὶ νέον ὑγρόν· ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι, καὶ γίνονται λεπταί. [50] Μέχρι μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης· ἐπήν τι ἔχῃ ἐν ἑωυτῇ· ἐπαυρίσκονται δὲ αἱ πηγαὶ, καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι· εἰ γὰρ τὸ σῶμα μὴ ἕλκῃ ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ᾽ αἱ πηγαὶ 20 μόναι, καὶ ἐς τὸ σῶμα [51] μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, ἀλλὰ ἐλάσσονα· οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. Αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ, τι ἡδύ ἐστιν, οὔτε, ὅ, τι ἀηδὲς, κατὰ ἀνάγκην τοιήνδε, ἣν μέλλω ἐρέειν. Ταῦτα τὰ χωρία, ἅτε μικρότερα ἐόντα, καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, 21 ἀεὶ καὶ πρὸ τοῦ [52] ἐσάσαι ἕκαστον, κατὰ τὴν ἑωυτοῦ δύναμιν ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων ὅ, τί τε χολῶδές ἐστι, καὶ ὅ, τι φλεγματῶδες, καὶ ὅ, τι αἱματῶδες, καὶ ὅ, τι ὑδρωποειδές. Τούτων γὰρ ἡμῖν, ὅ, τι ἂν ἑκάστου πλεῖον τοῦ καιροῦ γίνεται, καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσιν, κεῖνα οὐδὲ ἡδέα γίνεται· ἅσσα δὲ χατίζει μάλιστα, κατὰ ταῦτα κεῖνα ἡδέα ἐστίν. [53] Ἢν δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τὶς, κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ᾽ αὐτέων τέως, καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται· τότε ἱμείρεται ἄνθρωπος, ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ, τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει, καὶ ἰσώσει τῇσιν ἄλλῃσι. Καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, [54] ἔστιν ὅτε ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγοιμεν, εἰ μὴ ὅ, τι ἱμειρόμεθα· ἐπὴν δὲ φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ ταῦτα ἀνυστὰ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

enim cibi & potus in ventriculum deciderint, corpus ex ventriculo haurit, simulque cum fontibus expletur: at ubi ventriculus vacuatur, rursus retro humor redditur, quemadmodum etiam acceperat, veluti ex aliis vasis in unum vas. Venæ enim multæ & crebræ, aliæ quidem tenuiores, aliæ crassiores, per totum corpus feruntur: hæ, quamdiu homo vivit, apertæ sunt, & novum humorem excipiunt & emittunt: eo mortuo, clauduntur & extenuantur. Quamdiu igitur homo vivit, corpus quidem ex ventriculo, siquid in se habuerit, haurit; hauriunt & fontes, & expleti corpori distribuunt: nisi enim corpus humorem ex ventriculo attraheret, sed soli fontes, neque ad corpus transmitterent, non utique sufficiens haberet corpus alimentum, sed parcius; neque enim alimentum amplius haberent, quod in corpus fontes distribuerent. Ac nisi fontes isti adessent, dum comedimus aut bibimus, non utique certo dignosceremus, quod in cibo & potu suave esset aut insuave, hac necessitate, quam dicam, coacti. Hæc nimirum loca, quum minora sint, & intra reliquum corpus, prius quam unumquodque impleatur, sua ipsius facultate reliquo corpori semper denunciat, quid ex his quæ comeduntur & bibuntur, biliosum, pituitosum, sanguineum & aquosum sit. Ex his enim singulis, quicquid in cibo & potu plus justo adfuerit, illos nobis insuaves reddit; quæ vero maximum sui desiderium faciunt, ea ratione suavia sunt. Quod si ex fontibus aliquis cibo aut potu indigeat, ea ratione etiam corpus ab his attrahet, donec humor justo paucior evadat; tuncque homo aut edere aut bibere desiderat, quod portionem illam expleat, & reliquis æqualem faciat. Eamque ob causam quum multum edimus aut bibimus, interdum cibum aut potum appetimus, nihilque suavius sumimus, quam quod appetimus: quum vero comederimus, humorque quoad ejus fieri potuerit, in fontibus & corpore adæquatus fuerit, tunc in eo appetentia sedatur. Ac de his quidem hactenus diximus.

Variæ Lectiones.

48 ἀπαυρίσκεται, eripit, aufert MS. Cod. Venet. legit. Paulo post pro κενῶται, MS. Cod. Venet. & Aldina exemplaria κενοῦται legunt.

49 καὶ ἀφιᾶσι τὸ νέον ὑγρὸν Imper. Cornar. legit. Aliter vero suopte ingenio Lind. & quidem sic habet: καὶ ἀφιᾶσι παλαιόν τε καὶ νέον ὑγρὸν, & dimittunt vetus & novum humorem.

50 Pro μέχρι μὲν οὖν, MS. Cod. Venet. legit μέχρι δέ. Postea ἀπαυρίσκεται eripit, aufert, ut supra idem Cod.

51 διεδίδοσαν Imp. Cornar. legit, pro μὴ ἐδίδοσαν.

52 ἑλκύσαι, trahere, pro ἐσάσαι, implere legisse videtur Cornar. Verum Imp. Corn. ἐσάξαι inducere habet.

53 εἰ δὲ βρωτῶν, si vero cibis Imp. Sambuci & Fevr. legunt loco ἢν δὲ βρωτῶν.

54 ἔστιν ὅτε Imper. Cornarii, quem sequimur, pro ἔστιν ὅ, τι.

CAPUT VIII.

Bilem a cibis & potibus in fellis folliculum secerni, ibique solum cardiogmum fieri; morbos in corde non generari; caput & lienem morbis esse maxime obnoxia. Quomodo & cur humores hominem lædentes pauciores fiant; & quatuor esse locos, quibus homo purgatur.

QUod autem in locum, qui est in hepate a cibis, & potionibus sola bilis secernatur, ita etiam se res habet. Venulæ enim, quum debiles & tenues sint, alium humorem crassiorem & graviorem attrahere nequeunt; simulque ea non est loci capacitas alteri humori, ut is hoc in loco consistat; hicque locus bili natura maxime familiaris est: proptereaque nullus in eo alius oritur morbus, nisi quem cardiogmum (seu cordis morsum) homines vocant. At vero caput, cor, & lien, omnis humoris participes sunt: unumquodque, nisi ægrotet, plurimum eorum, quæ dicta sunt, secundum suam ipsius naturam, particeps fit; caput quidem pituitæ, cor sanguinis, lien aquæ. Venæ etiam amplæ & crassæ, & claviculatim intortæ ad se alium humorem attrahunt; ita ut, ubi traxerint, alium humorem alius sequatur. Et cordi quidem vicinæ sunt jugulares venæ, crassæ, in quas, siquid ei plus justo accesserit, celeriter distribuitur; hæ vero reliquo corpori emittunt; simulque cor ipsum solidum & densum est, adeo ut ab humore non ægrotet; ideoque nullus in corde morbus suboritur. Caput autem & lien, morbis maxime sunt obnoxia. Morbo enim afficiuntur ab his, quæ natura insunt, quum plura, quam opportunum sit, accesserint; afficiuntur quoque & ab aliis humoribus: venæ enim in ipsis crassæ, ac multæ sunt, & ipsa quoque admodum venosa, & cava sunt, ut amplum in iis sit spatium pro alieno humore sensim accedente, & cum naturali (humore) coëunte: quemadmodum in magno vase amplior est capacitas, quam in parvo; sic & in capite, & liene se res habet: in his enim præcipue horum locorum ampla est capacitas:

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὴν χολὴν ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν ἐς τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἀποκρίνεσθαι, καὶ αὐτόθι μόνον τὸν καρδιωγμὸν γίνεσθαι· τὴν καρδίαν μὴ νοσεῖν· τὴν κεφαλὴν καὶ τὸν σπλῆνα μάλιστα ἐπίπονα εἶναι. Ὅκως καὶ διὰ τί τὰ ὑγρὰ τὰ βλάπτοντα τὸν ἄνθρωπον ἐλάσσονα γίνεται· καὶ τέσσαρα εἶναι τὰ χωρία, δι' ὧν ἀποκαθαίρεται ὁ ἄνθρωπος.

22 ΕΧει δὲ καὶ τόδε, ὅτι ἐς μὲν τὸ χωρίον [55] τὸ ἐπὶ τῷ ἥπατι, ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ μοῦνον. Τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα, οὐ δύνανται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν, καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι· σύνηθές τέ ἐστι τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα· καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦσος γίνεται ἄλλη, ἢ ἥν τινα καρδιωγμὸν οἱ ἄνθρωποι
23 καλέουσιν. Ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν, μετέχουσι τῆς ἰκμάδος πάσης· [56] ἕκαστον, ἢν μήτι νοσέῃ, μετέχει πλείστων κατὰ φύσιν τὴν ἑωϋτοῦ τῶν εἰρημένων· ἡ μὲν κεφαλὴ, τοῦ φλέγματος· ἡ δὲ καρδίη, τοῦ αἵματος· ὁ δὲ σπλὴν, τοῦ ὕδατος. Ἕλκουσι δὲ καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωϋτὰς, εὐρεῖαι, καὶ παχεῖαι, καὶ ἑλικοειδέες ἐοῦσαι· ὡς ἐπὴν ἕλκωσιν, ἕπεσθαι ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. Καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι οὖσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπήν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται, αἱ δὲ τῷ ἄλλῳ σώματι ἐκδιδόασι· καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος, [57] καὶ διὰ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. Ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν, μάλιστα ἐπίνοσά ἐστι. Νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, [58] ὅταν πλείονα προσγένηται τοῦ καιροῦ· νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος· φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν [59] αὐτοῖσιν εἶναι χωρεούσῃ κατ' ὀλίγον, καὶ μισγομένῃ τῇ φύσει ἐούσῃ· ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ, ἢ ἐν μικρῷ· οὕτω δὲ καὶ ἐν τῇ κεφαλῇ, [60] ἢ ἐν τῷ σπληνὶ ἔχει· εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσίν ἐστι·

ἣν

VARIÆ LECTIONES.

55 Codd. impressi quidam τῷ ἐπὶ τὸ ἥπατι; vitiose tamen. Nos Foesii lectionem amplexi sumus, & ita habetur pag. 168. lin. 9. in edit Basil. Græca. Deinde μόνον quidam Codd. μοῦνον MS. Cod. Venet. Imp. Samb. & Fevreus, quos secuti sumus.

56 ἕκαστον δὲ ἢν Imp. Sambuci inserto δέ.

57 Mercurial. καὶ τοῦτο, omisso διά.

58 Pro ὅταν, MS. Cod. Venet. legit ἐάν.

59 ἐν αὐτοῖσιν εἶναι scripsimus ex Imp Cornar. pro ἐν αὐτῇσιν εἶναι.

60 Sic Aldina exempl. & Servin. inserto τὸ τῷ.

[61] ἣν δὲ πληθῶσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν: ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα ἀπέδειξα τὸν ἄνθρωπον σινεόμενα: [62] τέσσαρας δέ σφι 24 πηγὰς λέγω εἶναι, οἷσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον· ταῦτα δέ ἐστι, τό, τε στόμα, καὶ αἱ ῥῖνες, καὶ ὁ ἀρχὸς, καὶ ἡ οὐρήθρη. Καὶ, ἐπὴν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἣν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία μιν νοῦσος πιέζει ἀπὸ ταύτης· καὶ, ἣν ἡ κοιλίη πλήρης ᾖ, τηκομένου τοῦ σώματος ἀπὸ τῆς ἰκμάδος, καταῤῥέει ἐς αὐτὴν, καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων· καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. Τὸ γὰρ σῶμα, ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ ἔῃ· καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ, ἀπ' αὐτῆς. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι ἐλάσσονα γίνηται τὰ πονέοντα τὸν ἄνθρωπον.

quod si isthic humore venæ expletæ fuerint, in his ab eo morbus oritur. Atque de his nunc hactenus a me dictum est: quomodo autem horum humorum quisque in corpore parcior gignatur, melius demonstrare volo. Quatuor equidem esse humores hominem lædentes demonstravi; quatuor etiam ipsorum esse fontes assevero, per quos eorum unumquemque homo repurget; ii vero sunt, os, nares, podex, & urethra. Et ubi aliquis humor molestus copiosior factus fuerit, si per has vias homo repurgetur, nullus ab eo morbus ipsum vexat: ac si ventriculus plenus fuerit, liquescente corpore ab humore, ad eum defluit, & per aliquem ex his locis extra fertur; propterea que parcior in corpore humor gignitur. Corpus enim, quemadmodum a me antea dictum est, ventriculo, ubi vacuus fuerit, distribuit; & ex eo haurit, ubi plenus fuerit. Atque hæc mihi dicta sunt, quomodo & quare humores homini molesti pauciores fiant.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὅκως καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνει, ἐκ τοῦ ἐπιτηδείου χρόνου τοῦ τῶν σιτίων τε καὶ τῶν πομάτων, καὶ τῆς ἰκμάδος πέψεώς τε καὶ ἀναδόσεως, καὶ μονῆς, καὶ ἐκκρίσεως· καὶ ἐκ τοῦ ἀνεπιτηδείου νοσεῖ: ὅθεν ἡ τοῦ σώματος λεπτότης καὶ ἀτροφία, καὶ ὅθεν ἡ πληθώρη, καὶ ἡ θέρμη, καὶ ἡ ὀδύνη, καὶ ὁ πυρετός.

CAPUT IX.

Quomodo & cur homo sanus degat, ex idoneo tum cibi & potus, tum humoris, coctionis, distributionis, mansionis, & excretionis tempore; & ex minime idoneo ægrotet; unde extenuatio & macies corporis, unde & plenitudo, calor, dolor, & febris.

Ὅκως δὲ καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνῃ, [63] ἐρέω. Ἐπὴν φάγῃ, καὶ πίῃ, καὶ ἀφίκηται ἡ ἰκμὰς ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται, μιγεῖσα καὶ τῇ ἄλλῃ, καὶ τῇ ἐν τῷ σώματι, καὶ τῇ ἐν τῇ πηγῇ ἐούσῃ, [64] τῇ μὲν 25 ἡμέρῃ ᾗ προσγένηται, μένει ἐν τῷ σώματι· [65] τῇ δὲ ὑστεραίῃ ἄλλη οἱ ἰκμὰς προσγίνεται. Αὗται δύο μὲν ἡμέραι εἰσί· δύο δὲ ἰκμάδες ἐν τῷ σώματι· τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων δύο ἡμέραι εἰσί: τῇ δὲ ἑτέρῃ, μία. [66] Ἡ μὲν δὴ 26 ὑστεραίη μένει αὐτὴ ἐν τῷ σώματι, ἅτε παχεῖα ἐοῦσα· ἡ δὲ ἑτέρη πεφθεῖσα, ὑπὸ τῆς θέρμης διακέχυται, καὶ λεπτὴ γενομένη παραγίνεται ἐν τῇ ὑστεραίῃ ἡμέρῃ εἰς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθευμένη ὑπὸ τῆς νέης· ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην, πέσσει τὰ σιτία ἐν τῷ τόπῳ, καὶ ποιέει τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι· μείνασα δὲ ἐγένετο ὑπὸ τοῦ χρόνου

Quomodo vero & cur homo sanus degat, dicturus sum. Quum comederit & biberit, humorque ad corpus pervenerit eo, quo dictum est modo alteri permixtus, tum ei, qui in corpore, tum ei, qui in fonte est, eo quidem, quo accessit, die, in corpore manet; postridie vero ei alius humor accedit. Atque hi quidem duo dies sunt; & duo in corpore humores: humorum quidem alteri duo dies sunt; alteri vero unus. Postridianus certe, ut qui crassus sit, in corpore ipse manet; alter vero a calore coctus diffunditur, & tenuis factus postridie per omne tempus a recenti protrusus ad ventriculum accedit: quum autem ad ventriculum pervenerit, cibos loci illius coquit, & de se sanguinem in corpore facit: remorata vero tempore graveolens reddi-

VARIÆ LECTIONES.

61 MS. Cod. Venet. ἢν δ' ἐμπλησθῶσι legit, pro ἢν δὲ πληθῶσι vulg.

62 τέσσαρας δέ σφι τόπους Cornar. legisse videtur. MSS. Reg. vero, & Vatic. τέσσαρας δέ σφι πηγάς, τέσσαρας δέ σφι λέγω.

63 Pro ἐρῶ, MS. Cod. Venet. & Imp. Sambuci, Fevr. ἐρέω, quibus assentimur.

64 Hic mutilata fuisse Calvi exemplaria censendum est, aut aliter legisse. Cæterum hæc ita leguntur in MS. Cod. Veneto: ἐς δὲ τὴν ὑστεραίην

65 ἐς τὴν ὑστεραίην Imp. Sambuci & Fevr. legunt.

66 ἡ μὲν δὴ ὑστέρη μένει ἐν τῷ σώματι Aldina exemplaria. Cod. Mercurialis etiam αὐτὴ omittit.

redditur: tertio vero die, una cum stercore & urina, copia sibi ipsi toti æqualis & consimilis, æquabilique momento foras egreditur: & si sui ipsius portio quædam fuerit, humor tamen secundum dictam rationem in corpore manet. Tertio autem die ex corpore humor ad ventriculum confluit, copiosior & graveolentior, id nempe quod ab altero relictum fuit, & cibaria concocta defert, & quicquid in corpore morbosum est, ac rursus (cum eo) defertur. Urina vero, quæ salsa est, indicat cibaria e corpore id, quod morbosum est, deducere; & semper postridie ipsa per alvum secedunt, humor vero tertio die. Hoc modo contingere sanitas solet: atque hæc quidem dicta sunt, & qua ratione & cur homines sanitate fruantur. Quod si humor ipse particulatim postridie foras prodiret; cibaria non similiter graveolentia reddita, sed velut cocta, ex ventriculo foras concederent, urinaque potui similis; corpusque semper evacuaretur, omnique tempore homo, ubi alvum exoneraverit, aut urinam reddiderit, statim potu & cibo indigeret, pro dejectionis factæ copia, si validus esse deberet; quum humoris non satis in corpore relinquatur, sed postridie, aut eodem die, una cum stercore foras prodeat: & si quidem quid comedisset, bene esset; sin minus evacuatus ac debilis esset, neque humor incrassari posset, ut postridie foras prodiret; non enim sufficiens in corpore relinquitur. At nunc quum ventrem exoneramus, bene valemus, & biduo nihil edentes, & vivere, & aliquid facere possumus, neque hoc tempore propter vacuationem prorsus

κάκοδμος· τῇ δὲ τρίτῃ ἡμέρῃ [67] ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτὴ ἑωϋτῇ πάσῃ, ἴση τε καὶ παραπλησίη, καὶ ἰσόῤῥοπος·
27 " [68] καὶ, ἢν ἑωϋτῆς μέρος τι εἴη, ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον. Ἐπιῤῥέει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην, [69] πλεῖον καὶ ' κακοδμότερον τὸ ἐπιλειπὲς γενόμενον
28 " [70] ὑπὸ τῆς ἑτέρης, καὶ καταφέρει τὰ βρώματα πεπεμμένα, καὶ ὅ, τι ἐν τῷ σώματι νοσερόν ἐστι, καὶ αὖθις συνέρχεται. Σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐὸν, [71] ὅτι καὶ καταφέρει
29 ἀπὸ τοῦ σώματος τὸ νοσερὸν τὰ σιτία·" ἐς δὲ τὴν ὑστεραίην ἀεὶ διαχωρέει, ἡ δὲ ἰκμὰς, ἐς τὴν τρίτην. [72] Οὕτως ἡ ὑγιείη συμβαίνει γίνεσθαι· καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διότι ὑγιαίνουσιν οἱ ἄνθρωποι. Ἡ δὲ ἰκμὰς αὕτη, εἰ κατὰ μέρος ἔξω χωρέοι ἐς τὴν ὑστεραίην, ' τὰ σιτία οὐχ ὁμοίως [73] ἂν ἐκ τῆς κοιλίης κάκοδμα γενόμενα, ἔξω χωρέοι, ἀλλ' ὥσπερ ἑφθὰ, καὶ τὸ οὖρον τῷ ποτῷ
30 παρόμοιον·" καὶ τὸ σῶμα [74] ἂν ἐκενοῦτο ἀεὶ, καὶ ἔχρηζε διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσειε καὶ οὐρήσειεν,
31 αὐτίκα πόσιος καὶ βρώσιος" [75] κατὰ τὸ τοῦ ἀποπάτου πλῆθος, εἰ ἔμελλεν ἰσχύειν, ἰκμάδος μὴ ὑπολειπομένης ἐν τῷ σώματι ἀρκεούσης, ἀλλὰ χωρεούσης σὺν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ, ἢ τῇ αὐτῇ ἡμέρῃ· [76] καὶ εἰ μέν τι ἔφαγεν· εἰ δὲ μὴ, ' κενωθεῖσα
32 " ἄκικύς τε ἦν, οὐδ' ἂν δύναιτο παχυνθῆναι ἡ ἰκμὰς, τῇ ὑστεραίῃ ἔξω χωρέειν· οὐ γὰρ περιλιμπάνεται ἐν τῷ σώματι ἀρκέουσα."
33 Νῦν δὲ ἐξαποπατέοντες [77] εὐρωσοῦμεν, καὶ δύο ἡμερέων μηδὲν φαγόντες, καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν, καὶ οὐκ ἐξασθενέομεν τελείως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ· ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώ-

VARIÆ LECTIONES.

67 Imp. Sambuci ἔρχεται ἔξω σὺν legit, quæ lectio simul habetur in MS. Cod. Venet. Servin. vero & Fevr. ἐξέρχεται ἔξω.

68 καὶ ἑωϋτῆς μέρος τι εἴη, ὅκως ἡ ἰκμ. legisse videtur Cornarius, quam lectionem præseferunt Vatic. codd.

69 πλεῖον καὶ κακοδμοδέστερον Servin. scribit, & paulo post ἐπιλοιπὲς vulgati Codd. Ἐπιλειπὲς vel ἐκλειπὲς emendat Æmil. Port.

70 ὑπὸ τῆς δευτέρης legisse videtur Cornar. qui & infra συνεξέρχεται, pro συνέρχεται adhibuisse credendum est.

71 ὅτι καταφέρει Servinus ex MS. Cod. rejecto καί. Paulo post ἐς δὲ τὴν ὑστέρην legunt Asulana exempl.

72 οὕτω ὑγιείη legunt quædam exemplaria.

73 MS. Cod. Venet. ἂν ἡμῖν ἐκ τῆς κοιλίης scribit. Postea pro χωρέει vulgato, scripsimus χωρέοι.

74 Sic Imp. Sambuci & Fevr. quam lectionem adhibuerunt interpretes, pro ἀνεκενοῦτο vulgato. Servin. ἀνεκενοῦτο ex Codd. MSS. habet.

75 κατὰ δὲ τοῦ ἀποπάτου πλῆθος MS. Cod. Venet. quam lectionem sequitur Foësius. κατὰ τοῦ ἀποπάτου πλῆθος, εἰ ἔμελλεν, Imp. Corn. pro vulgatis κατὰ τὸν ἀποπάτον, πλῆθος ἔμελλεν.

76 Καὶ, εἰ μέν τι ἔφαγεν. εἰ δὲ μὴ] &c. Hic locus sane corruptus, ac mutilus videtur. Cæterum de humore sermo est, qui ex cibo, & potu in corpore gignitur, & alimentum exhibet; nec totus eodem, aut postero die cum excrementis egreditur, ita ut sufficiens copia in corpore relinquatur ad vires eidem præstandas: quæ revera suppetunt, etiam si quis biduo post nihil comedat. Hæc est hujus loci sententia, ut perspicue apparet legenti omnia, quæ antecedunt, & consequuntur. Huic autem Græca verba ita respondere possent. Καὶ εἰ μέν τι ἔφαγεν. εἰ δὲ μὴ, κενωθεὶς ἄκικύς τε ἦν, οὐκ ἂν δύναιτο παχυνθῆναι, ἢν ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέει. *Et si aliquid comederet, bene esset: sin minus, evacuatus* (homo) *ac debilis esset, nec pinguescere posset, si humor postridie* (totus) *egreditur: non enim sufficiens in corpore relinquitur.* Subjungit vero auctor, etsi nos alvum exoneremus, & per biduum nihil cibi sumamus, valere tamen nos, ac laborare posse, nec penitus debilitari. Quapropter legendum videtur κενωθεὶς *evacuatus*, referendo ad hominem, quem respicit etiam vox ἄκικυς, *debilis, imbecillis*; non κενωθεῖσα relate ad ἰκμὰς, *humor*, cui sane congruere non potest verbum ἄκικυς debilis. Pro ἡ ἰκμὰς, legendum conjicimus ἢν ἰκμὰς, *si humor*, & pro χωρέειν, scribendum χωρέει. Et quidem verba, prout in vulgatis codicibus jacent, recte construi non possunt. Facile autem τὸ A postremum in κενωθεῖσα ex initio ἄκικυς irrepere potuit, ac duplicari. Si παχυνθῆναι *crassescere, pinguescere* ad humorem referatur, nullum inde sanum sensum elicies. Postremo aliquid melius afferenti, libenter assentiar, quum insuperabiles difficultates circumstent. Intellige enimvero, si quis nihil edat, humorem evacuatum, ac debilem esse, neque crassum fieri posse, ut postero die egrediatur; hoc multa quidem absona continebit, ac præterea addendum esset ὥς τε, ut verba Grammatice construantur. Quoquo te vertas, angustiæ te intercludent. Legi etiam posset loco κενωθεῖσα disjunctim καὶ ἰσχνοῦσα, quam lectionem adhibuisse videtur Cornarius.

77 εὐρωστοῦμεν ex Imp. Corn. scripsimus, pro vulgato εὐρωσοῦμεν.

σώματι μένουσα τὴν ἰσχὺν παρέχει. Καὶ ταῦτα μὲν εἴρηταί μοι, [78] ὅκως τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα τὴν προσγενομένην ἐν τῷ σώματι, ἐξελθεῖν ἔξω αὐθημερὸν, [79] ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ. Φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας τῶν τριῶν ἡμερῶν ἡ ἰκμὰς ἐν τῷ σώματι, ἢ ἄλλη προσγένηται πολλὴ πιμπλαμένη, τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπισημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον ἢ ἔλασσον· χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον· θέρεος δὲ μεῖζον καὶ πρόσθεν. Ταῦτα δέ μοι εἴρηται, ὅ, τι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. Εἰ δὲ βρώματα διαχωρέει τὸ σῶμα, [80] οὐκ ἂν ἐπαυρίσκετο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι λεπτοὶ καὶ ἀσθενέες· νῦν δὲ ἐμμενόντων τῶν βρωμάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται καθ' ἡσυχίαν ἕλκον ἀπὸ τῆς κοιλίης, καὶ πίμπλαται. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὰ βρώματα οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. Ἢν δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα [81] τοῦ δέοντος χρόνου, καὶ ἕτερα εἰς αὐτὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἄν· καὶ πιεζευμένων τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο, θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον· [82] τοῦ μὲν γὰρ θέρεος τὸν ἄνθρωπον θερμόν ἐστι τὸ περιέχον, καὶ θερμότερον ἕλκει τὸ πνεῦμα ἐς ἑωϋτό· κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης, θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγίνηται, οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου πυρετῆναι· χειμῶνος δὲ ψυχρὸν ἕλκοντος τὸ πνεῦμα ἐς ἑωϋτὸν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα, τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. Ταῦτα δέ μοι εἴρηται, ὅ, τι συμβαίνει γίνεσθαι, ἢν μὲν μείνῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ· καὶ [83] παρέψαυσταί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώσιος, τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος τὸ διαφέρον, διότι νοσέουσιν οἱ ἄνθρωποι· δηλώσω δὲ περὶ τούτου κάλλιον, τοῦ χρόνου προϊόντος.

debilitamur: humor enim in corpore relictus robur præstat. Atque hæc quidem, quomodo & quam ob caufam humor ad corpus accedens, non eodem die, fed neque poftridie foras prodire queat, dicta funt. Id autem affirmo, fi plus quam tres dies in corpore humor permaneat, aut alius, qui impleat, copiofus acceflerit; ubi venæ incaluerint & conftiterint, homini majus aut minus malum denunciari: hieme quidem minus & tardius; æftate vero majus & celerius. Et quæ quidem contingere foleant, fi humor in corpore remaneat, a me dictum eft. Si vero corpus cibos (ftatim) egereret, non utique, quod fatis fit humoris, nobis fuppeteret, fed homines graciles & debiles effent: at nunc, quum cibi ac potus in corpore permaneant, corpus ex ventriculo attrahens, quamdiu permanent, fenfim haurit, & expletur. Iftaque a me dicta funt, quomodo & quam ob caufam cibaria eodem die exire non poffint. Quod fi cibi in ventriculo, plus quam deceat temporis, immorentur, aliique ad eos accedant, corpus utique implebitur; & compreffis a plenitudine venis, calor ac dolor corpori oborientur, æftate quidem citius, hieme vero tardius: æftate enim hominem circumftans (aër) calidus eft, & calidiorem ad fe fpiritus attrahit: ac fi dum calidus adhuc eft ventriculus, jufto calidior homini fpiritus accedat, minime mirandum eft ex eo hominem febricitare: quum vero fpiritum frigidum hieme ad fe attrahat, multo magis corpus plenitudinem perferre queat, homine parum alvum exonerante. Atque hæc ita contingere, fi cibi in ventriculo diutius permaneant, a me dicta funt: quinetiam leviter a me demonftratum eft, omnem humoris & cibi in tempore, tum longiore, tum breviore differentiam, in caufa effe, cur homines ægrotent; quod etiam procedente tempore melius declarabo.

CAPUT

Variæ Lectiones.

78 ὅκως τε καὶ διότι MS. Cod. Venet.

79 ἀλλ' οὐδὲ omnia exemplaria; fed ἀλλ' delet Imp. Sambuci. Paulo poft ἢ ἄλλη ex MS. Servinus, pro ἢ ἄλλη.

80 οὐκ ἂν ἐπαυρίσκοιτο Imper. Sambuci.

81 τοῦ δοκέοντος MS. Cod. Venet. pro τοῦ δέοντος, habet.

82 τοῦ μὲν γὰρ θέρεος θερμόν ἐστι τὸ περιέχον, *æftate enim circumftans (aër) calidus eft.* Imp. Cornar. omiffo τὸν ἄνθρωπον. Paulo poft ex MS. Cod. Venet. fcripfimus ἕλκει τὸ πνεῦμα ἐς ἑωϋτὸ, id quod fenfui magis convenit, veritatemque hujus lectionis fequentia declarant, pro vulgatis ἕλκει τὸ σῶμα ἐς ἑωϋτόν.

83 παρέψευσθαι Imp. Sambuci & Ferreus fcribunt. Deinde καὶ τῆς διαβρώσιος, Imp. Sambuci.

CAPUT X.

Quum plus humoris foras abeat, quam a cibo & potu accesserit, homines attenuari; otiosis cibos insuaves esse, & febres accendi; ex esu bonum habitum conciliari; ex repletione febrem accendi; & per dies morbos judicari.

At retrorsum rursus ascendam de sanitate dicturus, quod hominis corpus ex cibis & potibus humorem hauriat, & sano tum cibi, tum humor, secundum commemoratam rationem foras prodeant; & siquidem plus humoris, quam ex cibis & potibus adfuerit, foras prodeat, homo extenuatus reddatur. Ob hanc vero causam foras plus prodit, quam accesserit. Si certe homo quietus degat, neque exerceatur, vitium aliquod ipsi in corpore insidet; verum præ cætera sanitate, quæ multa adest, non admodum lædit: est autem vitium hujusmodi. Quum quid ex his quatuor, quæ in corpore gignuntur, non ita longe copiosum advenerit, corpus sensim incalescit, ut non admodum lædatur; in ventriculo liquescit, insuavemque homini cibum facit. Si vero humor alius alio copiosior fuerit, inde febris homini suboritur: sed de hoc paulo post accuratius edisseram. Interdum autem, etiamsi cibus suavis sit, homo extenuatur; causa vero eadem est. His autem contingentibus, plus humoris exit, quam succenturiatur; & propterea in quiete degentem extenuari contingit. Hominum autem laborantium corpus quoque incalescit: hoc enim ex labore incalescente, & humor in ipso diffunditur, & morbus hic extenuatorius exoritur: quum autem inutilis fiat (humor,) & ad ventriculum & vesicam defluit; hæc autem foras transcolant: pars sane ipsius per internam corporis raritatem foras exhalat; pars autem adhuc intus manens, in sudorem versus foras per corpus egreditur: eodem etiam modo juvenum exercitationes idem quod labor, efficiunt. Quod si etiam parcior fuerit

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ἐπὴν τ̃ ἰκμάδος ἔξω χωρῇ πλεῖον, ἢ ὅσον προσεγένετο ἀπὸ τ̃ σιτίων ϗ τ̃ ποτῶν, τοὺς ἀνθρώπους λεπ]οὺς γίνεσθαι· τοῖς ἡσυχάζουσι τὰ σιτία μὴ ἡδέα εἶναι, ϗ τοὺς πυρετοὺς ἀνάπ]εσθαι· κατὰ τὴν βρῶσιν εὐεξίαν ἐπιγίνεσθαι· ὑπὸ τῆς πληθώρας τὸ πῦρ γίνεσθαι, καὶ κατὰ τὰς ἡμέρας τὰς νόσους κρίνεσθαι.

ΑΝαβήσομαι δ' αὖθις ὀπίσω, περὶ τῆς ὑγείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τȣ̃ ἀνθρώπȣ 171
ἀπὸ τῶν [84] βρωτῶν ϗ τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται, ϗ χωρέει ἔξω τῷ ὑγιέϊ κατὰ τὸν εἰρημένον λόγον, τά τε βρώματα ϗ ἡ ἰκμάς· ϗ, ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλεῖον ἢ ὅσον προσεγένετο ἀπὸ τῶν σιτίων [84] ϗ ἀπὸ τῶν ποτῶν, λεπ]ὸς γίνεται ὁ ἄνθρωπος. Πλείω δὲ χωρέει ἔξωθεν τῆς προσγενομένης, διὰ τόδε. Ἢν μὲν δὶ ἡσυχίης ᾖ ὁ ἄνθρωπος, καὶ μὴ ταλαιπωρέῃ, κακόν τί οἱ ἐν τῷ σώματι ἔνεστιν· ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς ἐούσης, οὐκ ἐσάσει κάρτα· τὸ δὲ κακὸν τοιόνδέ ἐστιν. Ἐπὴν τούτων τὶ τῶν τεσσάρων τῶν [85] γινομένων τῷ σώματι, ἐπέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνεται καθ' ἡσυχίην, ὡς μὴ ἐσάσει κάρτα· καὶ τήκεται ἐν τῇ κοιλίῃ, καὶ τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιέει. Ἢν δὲ πλέων εἴη ἡ ἰκμὰς ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ προσγίνεται· ἀλλὰ περὶ τούτου ἀτρεκέστερον
34 ὀλίγῳ ὕστερον ἀποφανέω. Ἔστι δ' ὅτε [86] καὶ τοῦ σίτου ἐόντος ἡδέος, λεπ]ὸς γίνεται ὁ ἄνθρωπος· αἴτιον δὲ τὸ αὐτό. Τούτων δὲ γενομένων, ἐξέρχεται τῆς ἰκμάδος πλέον, ἢ κατατάσσεται· καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι συμβαίνει λεπ]ῷ γίνεσθαι. Ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων, καὶ τὸ σῶμα θερμαίνεται· καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου, καὶ ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται, καὶ γίνεται ἡ νοῦσος [87] ἥδε λεπ]ή· ἀχρεῖος δὲ γενομένη, καταῤῥέει ϗ
35 ἐς τὴν κοιλίην, ϗ ἐς τὴν κύστιν: [88] ταῦτα
36 δὲ διηθέει ἔξω· τὸ δὲ δὴ αὐτῆς διατμέει ἔξω διὰ τοῦ ἔνδον ἀραιώματος, τὸ δ' ἔτι καὶ ἐμμένον, ἱδρὼς γενόμενος, ἔξω χωρέει κατὰ τὸ σῶμα· ὡσαύτως δὲ ϗ τὰ γυμνάσια τῶν νέων, τὸ αὐτὸ τῇ ταλαιπωρίῃ [89] προσεργάζεται. Ἢν δὲ ϗ ἔῃ ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον

VARIÆ LECTIONES.

84 καὶ ποτῶν Imp. Sambucus, deletis ἀπὸ τῶν. Deinde, pro ἔξωθεν, MS. Cod. Venet. ἔξω legit.

85 προσγινομένων Imp. Cornar. Paulo post ἐσάσει ex Servin. scripsimus pro ἐσάσειεν. Mox καὶ τήκεται ἐς τὴν κοιλίην legit MS. Cod. Venet.

86 καὶ τοῦ σιτίου legunt quædam exemplaria Vatic. & Mercurial. ex Vet. Cod.

87 ἤδη λεπ]ὴ ex MS. Servinus. Mox pro ἀχρεῖος, Calvus ἄχροος *decolor* legisse videtur.

88 ταῦτα δὲ διηθέει legisse videtur Cornar. Deinde in Imp. Cornar. legitur τὸ δέ τι αὐτῆς, & paulo post pro ἀραιώματος, Calvus ξηρότητος legisse videtur.

89 προσεξεργάζεται eodem sensu Imp. Samb. & Fevr. Mox ἢν δὲ μὴ, καὶ ἔῃ ἐλάσσων vulgati Codd. nos MS. Cod. Venet. lectionem amplectimur.

τερον ἐξιούσης, [90] προσγινομένη τε ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν, καὶ προσέτι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος. Ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλό τι δύνηται ἐσθίειν· [91] καὶ πρὸς μὴ τὸ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα, [92] ἐλάσσω γίνεται. Ἐπιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη, διὰ τόδε. [93] Ἐπὴν αὐαίνηται τὸ τῆς ἰκμάδος χρόνῳ, καὶ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ [94] εἰσέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης, ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μὴ ἄλλη τῶν ἄλλων κάρτα, [95] πληθώρη ἐστίν. Κὴν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέηται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται· ἢν δὲ ὑπὸ ὀλίγων, ὀλίγα· καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται, [96] τῆς ὑγρότητος πλείονος αὐτῷ ἐνεούσης τὴν θέρμην ἀπολύεται. Θερμαίνεται γὰρ τὸ σῶμα τῷ πυρί, κὴν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ, τὰς δὲ δύο ἔχει συνεχέως· ἢν δὲ [97] πλεῖον, πέμπτῃ ἡμέρῃ, τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον. Οὕτω τῶν ἡμερέων αἱ νοῦσοι κρίνονται· ἢν δὲ μεθῇ τὸ πῦρ ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος, καὶ θνήσκει· διὸ δὲ, ὀλίγον ὕστερον ἀποφανέω.

humor, quam qui prius exivit, atque alius qui adhuc a potibus, ac etiam cibis accedat, homo propterea extenuatur. Parcior autem accedit, siquid aliud comedere non possit, & si non pro prioris laboris & exer-
37 citationis ratione laborent, aliis alia pau-
38 ciora fiunt. At bonus corporis habitus per cibos hanc ob causam accedit. Ubi tempore resiccatus humor fuerit, & in priore labore alius alio prius ingrediatur, interdum copiosior, & unus alius alios admodum superaverit, id plenitudinem facit. Et, si quidem a multis valde superetur, hoc modo febris oboritur: si vero a paucis, parum (superatur:) sed & corpus hoc modo perferre potest, quum copiosior in ipso humiditas insit, quæ calorem dissolvit. Corpus enim a febre incalescit, &, si modicum quidem fuerit, quod molestum est, tertio die eodem modo dimittit, duobus
39 vero diebus continenter vexat: si vero copiosius, quinto die, quatuor autem pro ratione habet. Sic morbi per dies judicantur: at si febris dimiserit diebus imparibus, & sanus homo evadit, & moritur, quam vero ob causam, paulo posterius declarabo.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Διὰ τί μεθίει τὸ πῦρ· καὶ διὰ τί οἱ πυρετοί τε καὶ αἱ νόσοι ἐν ταῖς περισσαῖς ἡμέραις ἀνιᾶσι, καὶ λύονται, καὶ κρίνονται· καὶ τὸ κακὸν ὑγρὸν ταράσσεται, καὶ κενοῦται· καὶ ἡ φρίκη γίνεται· καὶ αἱ κρίσεις ὑπάρχουσι.

Νῦν δὲ ἐρέω, διότι μεθίει τὸ πῦρ. Φημὶ δὲ εἶναι, [98] ὅτι, ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον, ἀνάγκη ἐστὶ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος, ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων, κατὰ τὸν πρότερον εἰρημένον λόγον· οὐ γὰρ ἐξέρχεται, πρὶν ἢ οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή. Τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, [99] ὅ, τι ἂν αὐτὸ ἐς ἑωυτὴν ἀφῇ τῇ προτέρῃ ἡμέρῃ· ἢν μὴ ἡ κοιλίη διηθήσῃ, καὶ ἑτέρην σχῇ ἰκμάδα· καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. Ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον,

CAPUT XI.

Cur febres dimittant; & cur febres, & morbi imparibus diebus remittant, solvantur, judicentur; humor vitiosus conturbetur, & evacuetur; horror oboriatur; & crises fiant.

Nunc autem dicturus sum, cur febris di-
40 mittat. At (causam) esse affirmo, quod si febris hominis corpus prehenderit, tertio die, aut alio quodam impari, humorem molestum e corpore exire secundum commemoratam prius rationem necesse est: neque enim prius exit, quam ei bonus alius ex ventriculo accesserit. Intermedio namque & postero die corpus ex ventriculo trahit, quicquid illud primo die in ipsum demiserit; nisi ventriculus transcolarit, & alium humorem habuerit: quod certe homini male cesserit. Quod si febris tertio die dimittat, eo-

VARIÆ LECTIONES.

90 Pro hisce, MS. Cod. Venet. habet προσγίνεταί τι ἄλλο. Postea βρωμάτων Imp. Sambuci & Fevr. legunt pro βρωτῶν eodem sensu.

91 Sic Imp. Cornarii, quam lectionem secutus est Foësius, pro καὶ μὲν τὸ πονέειν κ. τ. λ.

92 Pro ἐλάσσω, Imp. Cornar. ἐλάσσονα. Foësius vero ἐλάσσως cui assentimur. Paulo post Ἐπιγίνεται, pro γίνεται, scripsimus ex Ald. Cod. idque probantibus Æmil. Porto & Foësio.

93 ἐπὴν αὐαίνηται τὸ τῆς ἰκμάδος χρόνῳ Imp. Cornar. quæ lectio magis arridet, quod sententiæ magis congruat, hancque lectionem amplexi sumus, pro vulgatis ἐπὴν αὐαίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ.

94 Pro ἐξέλθῃ exierit, Foësius mavult εἰσέλθῃ, & magis convenire videtur.

95 πληθώρη pro πληθώρης scripsimus ex Imper. Corn. Mox κὴν pro ἢν Idem, quem secuti sumus.

96 Sic Imp. Corn. pro vulgatis τῆς ὑγρότητος πλείονος αὐτέοισιν ἐούσης.

97 πλεῖον scripsimus, pro πλείων vulgato, ex Imp. Cornar. quam lectionem secutus est Foësius ex Servino.

98 ὃ, τι ἂν legunt publicata quædam exemplaria, Aldina ὃ ἂν. Nos ex Imper. Cornar. reposuimus ὅ, τι ἂν, quæ lectio arridet Lindeno.

99 Sic scripsimus ex Servino, pro ὅ, τι ἂν αὐτῷ.

eodem modo, quo primo etiam ipso die dimittit, ut dictum est. Et sic quidem contingit febrem in corpore excitatam tertio die remittere: assero autem si quinto die, aut septimo, aut nono dimittat, eodem modo eam dimittere, quo tertio die decedit. Est enim febri alimetum in locis, quos paulo ante commemoravi: exuperante enim copiosiore humore, homo solutus est. Imparibus autem diebus illam ob causam febris dimittit, quod paribus diebus corpus ex ventriculo attrahat, imparibus vero dimittat: ventriculus autem in homine sano foras transmittit. Ac propterea necessario diebus imparibus morbi judicantur; istaque ratione homo febricitans, sanus evadit. Istamque ob causam ægrotos assero diebus imparibus maxime laborare, idque ex ratione quadam fieri. Conturbatur quidem homo, quum febricitat; cujus rei signum est, quod horror subinde per totum corpus transcurrat; hoc autem minime ita contingeret, nisi humor conturbaretur, & ab ipso plus aut minus secerneretur, & alias alium superaret; maxime vero etiam conturbatur diebus imparibus, quum ægrotat, tuncque horror præcipue contingit. Sic enim se res habet: humoris molesti aliquid a recenti humore superatum, extra corpus propellitur, & ad inferiorem alvum defertur, & alvus una cum molesto humore incalescit, in seque magis, quam priore tempore, recipit; hoc autem in morbi judicatione præcipue contingit. Quod si corpus paulatim ad ventrem dimiserit, neque copiosum fuerit quod homini molestum est, ventriculus calorem perfert, corpusque ad judicationem validum est, & homo convalescit, ubi noxius humor exierit, & is qui febri alimentum suppeditat, consumptus fuerit: si vero sanus superaverit, hac ratione ægrotus homo propter commemoratas causas, sanus evadit.

τῷ αὐτῷ τρόπῳ μεθίει, ὥσπερ κ̀ αὐθημερὸν ὡς εἴρηται. Καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος, ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι· Φημὶ δὲ κ̀ ἢν πέμπτῃ ἡμέρῃ κ̀ ἢν ἑβδόμῃ κ̀ ἢν ἐννάτῃ μεθῇ, τρόπῳ τῷ αὐτῷ μεθιέναι, ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. Καὶ γὰρ ἡ τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα· [100] ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ ὑγροῦ πλείο-
41 νος ἐόντος, " ἀνέθη ὁ ἄνθρωπος. Μεθίει δὲ τὸ
42 πῦρ ἐν τῇσι περισσῇσι διὰ τόδε, " ὅτι ἐν τῇσιν ἀρτίοισι τῶν ἡμερέων ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐν δὲ τῇσι περισσῇσιν ἀφίει· ἡ δὲ κοιλίη, διηθέει ἔξω τῷ ὑγιεῖ. Κατ' ἀνάγκην τοιήνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, κ̀ ἐν τούτῳ μὲν τῷ λόγῳ ὁ ἄνθρωπος [101] πυρέξας, ὑγιὴς ἐγένετο. Φημὶ δὲ κ̀ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, [102] διὰ τόδε κ̀ κατὰ λόγον γίνεσθαι. Τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν πυρεταίνει· σημήϊον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος, ἄλλοτε κ̀ ἄλλοτε· τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν, [103] κ̀ ἀπεκρίνετο ἀπ' αὐτοῦ ἢ πλέον, ἢ ἔλασσον, κ̀ ἐκράτει ἄλλοτε ἄλλου. Μάλιστα δὲ κ̀ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ· κ̀ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. Ἔχει γὰρ ὧδε· ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος, ἐξωθέεται
43 τι ἐκ τοῦ σώματος, " ὑπὸ τῆς νεωτάτης ἰκμάδος [104] νικώμενον, κ̀ χωρέει ἐς τὴν κάτω κοιλίην, κ̀ ἡ κοιλίη πρὸς συνθερμαίνεται τοῦ πονέοντος, δεχομένη ἐς ἑωυτὴν μᾶλλον, ἢ τῷ πρὶν χρόνῳ· [105] τοῦτο δὲ γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου. Καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ, κ̀ μὴ πολλὸν ἔῃ τὸ 172
44 λυπέον τὸν ἄνθρωπον, " ἀναφέρει τὴν θέρμην ἡ κοιλίη, κ̀ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, κ̀ " γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα, κ̀ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα, ἐξαναλωθῇ· [106] ἢν δὲ ἡ ὑγιηρὴ ἐπικρατήσῃ, ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος, ὑγιὴς ἐγένετο, δι' αἰτίας τὰς εἰρημένας.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

100 Sic optima quæque exemplaria. ἐπικρατήσαντα Mercurialis habet. Paulo post, pro οὐκ ἀνέθη ὁ ἄνθρωπος, Calvus legisse videtur οὐκ ἀνέχει, aut ἀνέχεται ὁ ἄνθρωπος. Præterea istud retulit ad febris liberationem Cornarius. Deinde infra ὅτι τῇσιν αὐτῇσιν legisse videtur Calvus, pro ὅτι ἐν τῇσιν ἀρτίοισι, mendose tamen, ut apparet.

101 Pro πυρέξας, MS. Cod. Venet. πυρετήνας, & ita habent Imp. Sambuci & Fevr.

102 Servinus habet διὰ τόδε κατὰ λόγον γίνεσθαι & pro sequenti πυρεταίνει, Imp. Sambuci & Fevr. πυρετήνει.

103 καὶ ἀποκρίνεται legit Mercurialis, pro καὶ ἀπεκρίνετο.

104 Pro νικώμενον, Aldina exemplaria legunt γινόμενον.

105 τοῦτο δὲ κρίνεται habent Imp. Sambuci & Fevr.

106 Pro ἢν δὲ, Imper. Cornar. legit ἦτε. Infra προειρημένας MS. Cod. Venet. Imper. Sambuci & Fevr. pro εἰρημένας.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Τοὺς ἀνθρώπους ἐν ταῖς περισσαῖς ἡμέραις ἀπόλλυσθαι, καὶ τὰ ὑγρὰ ταράσσεσθαι, καὶ τὰς ὀδύνας γίνεσθαι, καὶ τὰ φάρμακα μὴ παρέχεσθαι, καὶ τὰ ἕλκη, ἢν μελεδαίνηται, φλεγμαίνειν, καὶ τὰ νοσήματα κρίνεσθαι. Πόθεν ἡ δυσωδία περὶ τὸ πνεῦμα· πῶς βουβῶνες ἀπὸ τῶν ἑλκῶν γίνονται, καὶ ὁ πόνος καὶ ἡ θέρμη ἐς τὰ ἕλκη παρήκουσι· καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίαν ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίαν.

Νῦν δὲ ἐρέω, διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. Φημὶ δέ· ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἀλὲς ἰσχυρὸν ἐς τὴν κοιλίην, καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην τὸ σῶμα ἐπαυρίσκεται, καὶ δυσωδίαν δεῖ γενέσθαι περὶ τὸ πνεῦμα· καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, ἐξατμιεῖ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. Οὐ γὰρ ἐπικρατέει ἑτέρη ἡ ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης [107] ἐπαιρομένης, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς διεξήτμησεν. 45 Οὕτω δὴ περ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται· τοῦτο πᾶς οἶδεν ὅς τίς ποτε· καὶ μὴν ὅτι γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε. Ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν ὑπερεκαθάρθησαν· ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν, ἰσχυρῇ φαρμακείῃ [108] ἐκαθάρθησαν· 46 πολλοὶ δὲ καὶ ἀπώλλοντο ὑπερκαθαρθέντες· οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι, καὶ ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει· τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων· οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος· καὶ, ἤν τις ἐπιτεταραγμένῳ ἐόντι, ἔτι μᾶλλον ταράξῃ, φάρμακον ἐμβαλὼν, οὐ θαῦμά ἐστιν, ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον. Καὶ τὰ ἕλκεα [109] ἢν μὲν μελεδαίνηται,

CAPUT XII.

Homines diebus imparibus interire, humores conturbari, dolores fieri, medicamenta non exhiberi; ulcera si curentur, magis inflammari; & morbos judicari. Unde spiritus graveolentia; quomodo glandularum tumores ab ulceribus fiant, calor & dolor ad ulcera perveniant; & in sanis humorem tertio, stercus secundo die prodire.

Nunc vero dicturus sum, cur moriantur (homines) diebus imparibus. Dico vero; si copiosum fuerit quod in corpore molestum est, plus justo conturbatur, copiosumque ac validum ad ventriculum (defertur,) eoque corpus, quum calorem perferre non possit, fruitur; spiritusque graveolentiam fieri necesse est; quumque corpus præ imbecillitate spiritum, quo quæ in ventriculo sunt, refrigerentur, attrahere nequeat, nimirum quum omnis humor morbosus evaserit, quicquid in humore vitalitatis inest, foras exhalat, sicque homo moritur. Non enim alter humor salubris superat, sed totus a morboso, qui copia superat, & a febre consumptus expiravit. Sic sane diebus imparibus maxime dolor contingit, idque nemo est qui non noverit: quinetiam quod humor iisdem diebus conturbetur, illud signum est. Quicunque jam febre continua correpti, diebus paribus medicamentum purgans sumpserunt, ii sane supra modum nunquam purgati sunt: qui vero diebus imparibus vehemens medicamentum sumpserunt, ii purgati sunt; sed multi etiam supra modum purgati perierunt: superiores igitur Medici in hoc maxime peccarunt; nam diebus imparibus medicamenta purgantia exhibebant, & homines interimebant, id ita se habere ignorantes: humor enim in ægrotantis corpore magis diebus imparibus conturbatur; nimirum quum corpus ad ventriculum humorem transmittat: & siquis jam conturbatum medicamento assumpto magis conturbet, non mirum est, ex his hominem perire. Atque ulcera si curentur, his

VARIÆ LECTIONES.

107 ἐπαιρομένης una cum Foësio scripsimus, ut ad humorem morbosum referatur, qui supra humorem salubrem elevatus, cum sua copia superat: alioqui ἐπαιρομένη dicitur humor salubris superatus, aut valde a morboso attenuatus; quemadmodum alias ἀπαίρεσθαι de humoribus alteratis, aut alterationem subeuntibus, Hippocrati dicitur. Paulo post pro ὑπὸ τοῦ πυρὸς, MS. Cod. Venet. legit εἰς τὸ πῦρ.

108 Imp. Cornarii ὑπερεκαθάρθησαν, *supra modum purgati fuerunt*, quæ lectio, non est aspernanda.

109 ἢν μὲν μελεδαίνηται omnia exemplaria, in Servino μὲν deest. Postea καὶ ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος; καὶ, ἢν μὴ μελεδαίνηται; *& ubi ad ulcus pervenit; siquidem non curetur*, legit Cornarius; verum contra omnium exemplarium fidem.

his maxime diebus inflammantur: humor enim, quum commovetur, in omnes venas fertur, easque implet; ubi ad ulcus devenit morbus. Ac si quidem curetur, pusque ab humore in conturbatione veniente, foras propulsum, exitum habeat, ulcus foras expurgatur: quod si non curetur, neque exitum habeat pus, illic una cum eo, qui accessit, permanet, doloremque exhibet, & carnem ulcus ambientem attollit etiam ab illo. Ac si quidem in cruribus ulcus habuerit, in crurum connexionibus venæ attolluntur; si vero in manibus venæ, quæ sunt in manuum connexionibus, indeque glandularum tumores oriuntur. At quibuscunque hominibus febris incidit, si nullo alio affectu laborent, ea ex pinguiore, quam par sit, humore incidit, venæque impletæ dolorem & calorem ulceri exhibent. Quod vero incaluit, etiam reliquum corpus calefacit; sicque calor ad ulcera pervenit: humoris enim agitatione corpus & ulcera incalescunt, & talia labor efficit. Ulcera autem quinto die inflammari desinunt, & secundum horum dierum rationem, pro ulcerum magnitudine, etiam tertio die, & quinto, & septimo, & nono, & undecimo: deinde absoluto primo circuitu, rursus secundi initium est tertius dies, qui est a primo decimusquartus: ex his vero maxima decimoquarto die inflammatione liberantur. Atque hæc oratio declarat morbos diebus imparibus judicari; & humorem in sano, tertio die exire, stercus vero secundo: & ista, quæ tertio die contingunt, rem ita se habere mutuum inter se testimonium præbent. Atque ita tota hæc oratio summatim a me explicata est.

φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν· ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας· ὁκόταν ταράσσηται, καὶ πληροῖ· " ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος.
47 Καὶ, ἢν μὲν μελεδαίνηται, καὶ ἔχῃ ἔξοδον τὸ πῦον ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ
48 ἕλκος· " [110] ἢν δὲ μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πῦον, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει, καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος καὶ ἀπ' ἐκείνου. [111] Κἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι· ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ τῶν χειρῶν τῇσι προσφύσεσι ἐοῦσαι, [112] καὶ ἐκ τούτων βουβῶνες γίνονται. Ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει, καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι. Τὸ δὲ θερμανθὲν, καὶ τὸ ἄλλο σῶμα θερμαίνει· καὶ ἡ θερμασίη, οὕτως ἐς τὰ ἕλκεα γίνεται· θερμαίνεται γὰρ τὸ σῶμα, καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσεως τοῦ ὑγροῦ, καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. Ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα, καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ, καὶ τριταῖα, καὶ πεμπταῖα, καὶ ἑβδομαῖα, καὶ ἐνναταῖα, καὶ ἑνδεκαταῖα·
49 " εἶτα ἀπηρτισμένης πρώτης περιόδου, [113] πάλιν δευτέρας ἀρχὴ ἡ τρίτη, ἥ τίς ἐστιν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη· τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. Οὗτος ὁ λόγος ἐρεῖ τὰ νοσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευ-
50 τεραίην· καὶ ταῦτα τριταῖα ἐόντα, " [114] ἱστορέει ἀλλήλοισιν, ὅτι οὕτως ἔχει. Οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται.

SECTIO II.

CAPUT XIII.

Cur homines ægrotent, quæ purgationis necessitas; febris ex repletione ortus, febri inimicissimus aquosus humor, & pabulum biliosus. Cur aqua, quam oleum facilius exhalet, & attenuetur; quot & quæ morborum principia, quorum maximum est violentia.

NUnc vero exploratius, cur homines ægrotent, referre volo; simulque cum

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Διότι νουσοῦσιν οἱ ἄνθρωποι, τίς ἡ τῆς καθάρσεως χρεία· ἡ τοῦ πυρετοῦ ἐκ τοῦ πληρώματος γένεσις, τῷ πυρὶ πολεμιώτατον τὸ ὑδρωποειδὲς, τροφὴ δὲ τὸ χολῶδες. Διὰ τί τὸ ὕδωρ ῥᾷον ἐξατμιᾷ καὶ καταλεπτύνεται τοῦ ἀλείφατος, καὶ πόσαι καὶ τίνες αἱ ἀρχαὶ τῶν νόσων, ὧν μεγίστη ἐστὶν ἡ βία.

NΥν δὲ ἐθέλω ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι· ἐρέω δὲ σὺν

VARIÆ LECTIONES.

110 ἢν δὲ μὴ μελεδαίνηται Imp. Sambuci, quæ lectio arridet addita negativa μή.

111 Pro κἢν, Imp. Cornarii ἢν legit.

112 καὶ ἐκ τούτων scripsimus ex Servino, pro καὶ ἐκ τούτου, priorem lectionem secutus est Lindenus.

113 Imp. Cornarii πάλιν δευτέρης ἀρχὴ ἡ τρίτη, cui assentimur, pro vulgatis πάλιν δευτέρης ἀρχῆς τρίτη, *rursus tertio die secundi principii*. Deinde in Asul. Cod. τεσσαρεσκαιδεκάτης mendose legitur.

114 Pro ἱστορέει Vaticanæ membranæ habent ἰσχυρίζει, quam lectionem notat Mercurial.

σὺν τούτῳ τῷ λόγῳ, ϗ τίνες ἀρχαὶ τῶν νού-
σων εἰσὶ, ϗ ὁκοῖα ἑκάστη αὐτέων ἐργάζεται.
Φημὶ δὲ· ἢν μὲν ἐμμείνῃ ' τὰ σιτία πλείονα
τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄν-
θρωπος μὴ ἀποκαθαίρηται, καὶ ἕτερα σιτία
ἐπιπίπτῃ· [115] τὸ σῶμα πληρούμενον ὑπὸ τῆς
ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης θερμαίνε-
ται, ϗ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ.
Τὸ δὲ πῦρ οὕτως γενόμενον, οὐκ ἄπορον οὐδὲ
ἰσχυρόν ἐστιν, ἐν ᾧ ἰκμὰς ἰσάζει, κατὰ πλῆ-
θος ἡμέας λυπέουσα ὀλίγῳ πλέον. Ἢν γὰρ
τοῦθ' οὕτως ἔχῃ, καί τις κάρτα ἰσχύῃ, καὶ
τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται· ἓν
173 δὲ νούσημα " μόνον ἀπὸ πάσης τῆς ἰκμάδος,
ϗ σημήϊα ἴσχει ἑπτά. (Πρῶτον)" βὴξ τε γὰρ 51
ἴσχει μιν βληχρή· (δεύτερον) ϗ ξηρὴ ἐοῦσα·
[116] (τρίτον) γαστήρ τε σκληρὴ γίνεται, ἅτε τοῦ
ἀποπάτου ἐόντος ἐντός· (τέταρτον) ϗ τὴν κε-
φαλὴν βαρέεται· (πέμπτον) ϗ ἐξερᾷ· (ἕκτον)
ϗ πυρεταίνει· (ἕβδομον) ϗ οὖρον οὐ χρηστῶς
διέρχεται. Ταῦτα δέ ἐστι τῆς νούσου ταύτης,
ἀπὸ πάσης τῆς ἰκμάδος γενομένης, σημήϊα
ἑπτά. Ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος,
κρατέῃ μία ' τῶν ἄλλων ἰκμὰς, " [117] κάλλιον 52
ἐμπολήσει ὁ ἄνθρωπος· ϗ, ἤν τις τῷ πυρετῷ
γινομένῳ," [118] ἀποστάσης τῆς ἰκμάδος, τὰ ἐπι- 53
τήδεια μὴ προσενέγκῃ, περιοίσεται ἡ νοῦσος·
ὅσῳ δ' ἂν αὐτέη κρατέῃ τῶν ἰκμάδων, τρόπῳ
τοιῷδε. " [119] Θερμαινομένου τοῦ σώματος, ἐξατ- 54
μιεῖ μάλιστα διὰ τούτου, τοῦ ὑδρωποειδέος ὅ, τί
ἐστι τῷ πυρὶ πολεμιώτατον· καταλείπεται δὲ
τὸ λιπαρὸν ϗ κοῦφον, ὅ, τί ἐστι χολῶδες, ϗ τῷ
πυρὶ τροφὴ μάλιστά ἐστιν. Ἐξατμιᾷ δὲ τρόπῳ
τοιῷδε, ὥσπερ εἴ τις ' ὕδωρ ϗ ἄλειφα ἐς χαλ-
κεῖον ἐγχέας, ξύλα πουλὰ [120] ὑποκαίοι πουλὺν χρόνον· τὸ μὲν δὴ ὕδωρ πολλῷ ἔλασσον ἔσται, ἐξατμιωθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα, ὀλίγῳ ἔλασσον· ὅτι τὸ μὲν ὕδωρ, ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς, ϗ κοῦφον γενόμενον ἐξατμιᾷ· τὸ δὲ ἄλειφα, ἅτε συναφὲς ἐὸν, [121] ϗ πυκνὸν, οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμιᾷν ὁμοίως τῷ ὕδατι. Οὕτω δὴ ϗ ἐν τῷ ἀνθρώπῳ ἔχει· ὁ μὲν γὰρ ὕδρωψ, ' θερμαινομένου τοῦ σώματος, ἐξατμιᾷ ἔξω· τὸ δὲ χολῶδες, ἅτε συναφὲς ἐὸν ϗ πυκνὸν, οὐ δύναται ἀτμιᾷν καταλεπτυνόμενον ὁμοίως. Τὸ δὲ χολῶδες καταλεπτυνόμενον, μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα· πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ γίνεται [122] ἡ χολὴ,
" καὶ ῥακούμενον ἐν τῷ σώματι ἢ στηριξάμε- 55
νον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν.

hoc sermone dicam, quæ sint morborum principia, & quæ ipsorum unumquodque efficiat. Aio autem; si cibi quidem, quam deceat, copiosiores jam concocti intus morentur, neque homo repurgetur, & altera cibaria accedant; corpus a priore humore & recenti repletum incalescit, indeque homini febris oboritur. Verum sic oborta febris, neque periculosa, neque vehemens est, in qua humor æqualis est, qui copia paululum uberiore nos vexat. Si enim id ita se habuerit, & quis admodum sit robustus, eaque, quæ conveniunt, adhibuerit, sanus evadit: unus autem solus morbus est ab omni humore, & septem signa habet. Primum, eum enim tussis levis detinet: secundum, & sicca existens: tertium, & venter durus redditur, nimirum stercore intus retento: quartum, & caput gravatur: quintum, & vomit: sextum, & febricitat: septimum, & neque lotium probe permeat. Hæc sunt hujus morbi ex omni humore orti, septem indicia. At si alvo non dejiciente, unus ex reliquis humoribus superet, melius homo habebit: ac si quis febri oborienti, absistente humore, idonea minime adhibuerit, circumagetur morbus, quantum ipse humores superaverit, hoc modo. Incalescente corpore, per hoc aquosus humor, qui febri est inimicissimus, præcipue exhalat; relinquitur vero pinguis & levis, qui biliosus est, & præcipuum febris alimentum. Hoc autem modo exhalat, quemadmodum si quis affusis in vas æneum aqua & oleo, ligna multa diuturno tempore succendat; aqua certe longe paucior futura est, ex vase namque exhalabit; oleum autem paululum imminuetur, quod aqua quidem propter raritatem ab igne extenuari potest, & levis reddita exhalat; oleum autem, quod nimirum cohæreat & densum sit, attenuari nequit, neque ut aqua exhalare. Ita sane & in homine se res habet: incalescente namque corpore, aqua foras exhalat; quod vero est biliosum, quum cohærens & densum sit, non similiter attenuatum exhalare potest. Verum attenuatus biliosus humor efficit, ut corpus magis incalescat: copiosius enim & melius alimentum bilis febri suppeditat, & in corpore dispersa, aut firmata morbum cum prioribus corroborat.

VARIÆ LECTIONES.

115 τὸ σῶμα πληρεύμενον Imp. Cornarii scribit.
116 Servinus legit: τρίτον, ἡ γαστὴρ σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος· τέταρτον· κατὰ τὴν κεφαλὴν βαρέεται· πέμπτον· ἐξερᾷ· ἕκτον· καὶ πυρεταίνει· ἕβδομον· καὶ οὖρον οὐ χρηστῶς. Sed pro ἐόντος, εἴσω legit Fevreus. ἅτε τοῦ κοπρoῦ Vaticanæ membranæ, quam lectionem secutus est Calvus. MS. Cod. Venet. vero ἀποπάτου εἴσω ἐόντος legit, quæ lectio quoque in Imperialis Sambuc. notatur.
117 πολλῷ κάλλιον Imp. Sambuci & Fevr. addito πολλῷ. MS. Cod. Venet. ἰκμὰς τῶν ἄλλων πολλῷ κάλλιον.
118 ἀπὸ πάσης scilicet *ab omni humore* Imp. Cornarii, quam lectionem secuti sunt Foes. & Lindenus pro ἀποστάσης.
119 Sic MS. Cod. Venetus, quam lectionem secutus est Foesius, pro θερμαινομένου τοῦ αἵματος, *incalescente sanguine* vulg.
120 ὑποκαίοι ex MSS. Servin. pro ὑποκαίει vulgato.
121 MS. Cod. Venet. hunc locum sic effert: καὶ πυκνὸν οὐχ ὁμοίως καταλεπτυνόμενον ἀτμιᾷ ἔξω· καταλεπτυνόμενον δὲ τὸ χολῶδες μᾶλλον θερμαίνεται τὸ σῶμα. *& densum*, scilicet oleum, *neque similiter exhalare potest attenuatum &c.*
122 ἡ χολὴ, *bilis*, deest in MS. Cod. Veneto. Postea pro πρόσθεν, Servinus scribit ἔμπροσθεν.

Atque ista quidem homini contingere, nisi purgetur aut curetur, dicta sunt. Quod si ipsa copia non superet, sive semel multa, sive paulatim colligatur, & reliquum corpus dolore vexet, id dum contigit, præ robore perfert, donec principium aliquod accedat: sin vero copiosior humor extiterit, neque homo expurgetur, inde morbus hoc modo oritur. Principia a quibus morbi oriuntur, tria sunt: atque unum quidem jam a me dictum est, & qualia, & quam multæ in corpore efficiat: ostendi enim quomodo & cur homo, nisi repurgetur, ægrotet: alterum est, si quæ ex aëre obveniunt, incommoda, & præter victus rationem sint: tertium est, siquid violentum inciderit: violentum autem esse dico, & casum, & vulnus, & percussionem, & immoderatum laborem, & siquid aliud est hujusmodi. At horum principiorum maximum est violentia, si magna fuerit; si vero parva, non maximum. Secundum vero, si homo non expurgetur: tertium autem, si quæ ex aëre contingunt, fuerint ad sanitatem incommoda. Horum igitur diligens cura habenda est; quum ipsorum singula, id quod ego dicturus sum, in corpore efficiant.

Καὶ ταῦτα μὲν εἴρηται, ὅ, τι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται. [123] Ἢν δὲ μὴ αὐτῷ πλήθει κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γενομένη, εἴτε καὶ κατὰ μικρὸν συλλέγηται, [124] καὶ τὸ ἄλλο σῶμα ὀδυνᾶται, τοῦτο γινόμενον ὑπὸ ἰσχύος ἀναφέρει, [125] μέχρις οὗ ἀρχή τις
56 ἐπιγένηται: καὶ, ἢν τὸ πλεῖον γινόμενον ὑγρὸν, μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε. Ἀρχαὶ εἰσὶ τρεῖς, ἀφ' ὧν αἱ νοῦσοι γίνονται· καὶ μία μὲν ἤδη εἴρηταί μοι, ὁκοῖα καὶ ὅσα ἐργάζεται ἐν τῷ σώματι· ἀπέδειξα γὰρ, ὅκως τε καὶ διότι ἢν μὴ ἀποκαθαίρεται ὁ ἄνθρωπος, νοσέει: δευτέρα δέ ἐστιν, ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια, καὶ παρὰ δίαιταν εἶναι· τρίτη δέ ἐστιν ἤν τι βίαιον προσπέσῃ· βίαιον δὲ λέγω εἶναι, καὶ πτῶμα, καὶ τραῦμα, καὶ πληγὴν, καὶ ταλαιπωρίην, καὶ εἴτι ἄλλο ἐστὶ τοιοῦτον. Τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ· ἢν δὲ [126] μικρὴ, οὐ μεγίστη. Δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος· τρίτη δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς τὴν ὑγείην. Τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν· ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω.

CAPUT XIV.

Violentiæ effectus, vulnus, ulcus, contusio, tumor, dolor, febris, humoris perturbatio. Lactis & sanguinis comparatio, & partes; quid efficiat humoris perturbatio, exuperantia, plenitudo, purgatio; quod homini alimentum, quæ putrefactionis & mortis causa.

Si quidem vulnus fiat, carnem dissectam manifestum est, ulcusque factum esse: hoc autem morbum esse dico. Si vero homine percusso, aut lapso, aut quid aliud ejusmodi perpesso, contusio facta sit, & tumor oboriatur; sanguis statim vi calefactus, & in venas hiantes concurrens, quum præ copia exitum, quo abire possit, non habeat, colligitur: ob idque tumor fit, tamdiuque adest, quoad ex locis, eo quo dictum est modo, aut per ipsum tumorem repurgatus fuerit, & sanguini cum tempore, vel in pus

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Τὰ τῆς βίας ἐνεργήματα, τρῶμα, ἕλκος, θλάσμα, οἴδημα, πόνος, πυρετὸς, καὶ ἡ τῆς ἰκμάδος ταραξις. Ἡ τοῦ γάλακτος καὶ τοῦ αἵματος ἀναλογία, καὶ τὰ μέρη· τί ἐργάζεται ἡ τοῦ ὑγροῦ ταραχὴ, τί ἡ ὑπέρβασις, τὸ πλῆθος, ἡ κάθαρσις· τί τῷ ἀνθρώπῳ τροφή· τίς ἡ τῆς σηπεδόνος καὶ τοῦ θανάτου αἰτία.

Ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι σὰρξ διεκόπη, καὶ ἕλκος ἐγένετο· τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. Ἢν δὲ [127] φλάσμα γένηται, πληγέντος, ἢ [128] πεσόντος, ἤ τι ἄλλο τοιοῦτο παθόντος, καὶ οἴδημα γένηται· τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης, καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη· καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο, καὶ μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ, [129] καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα, καὶ εἴτε σὺν χειρουργίῃ, εἴτε καὶ μὴ διο-

VARIÆ LECTIONES.

123 Sic Imp. Cornarii pro, ἢν δὲ μὴ αὐτῶν πλήθει κρατέῃ, *quod si horum copia non superet*, vulgatis.

124 καὶ τὸ ἄλλο σῶμα δυνᾶται Imperial. Cornar. mox τοῦτο δὲ γινόμενον Lind. habet.

125 μέχρις οὗ ἀρχή τις ἐπιγένηται, καὶ τὸ πλεῖον, *donec principium aliquod accedat, & copiosus* humor extiterit, legunt Vatican. & Aldina exemplaria. Paulo post εἴρηταί μοι, Imp. Sambuc. μοὶ omittit.

126 Pro μικρὴ, Imper. Sambuci μικρὴ Ionice, quod sequimur. Paulo post πρὸς ὑγείην, omisso articulo τὴν quædam exempl.

127 θλάσμα Fevr. quod exponitur σύντριμμα.

128 Pro πεσόντος, *lapso* scilicet homine. Imper. Sambuci τρωθέντος, *vulnerato* legit. Paulo post τὸ γὰρ αἷμα αὐτίκα θερμανθὲν scribit Lindenus.

129 καθότι εἴρηται, ἀπὸ τῶν χωρίων Lindenus.

διόδος γένηται τῷ αἵματι, ἢ πυωθέντι ὑπὸ χρόνου, ἢ καὶ μή. Καὶ ἡ ταλαιπωρίη δὲ τοιοῦτον ἐργάζεται· ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιςα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι ςηρίζεται, κὴ θερμαίνεται, [130] κὴ ὁ πόνος ἐκ τοῦ τοιούτου γίνεται. Ἢν δὴ κρατηθῇ μὲν 57
τούτων, κάρτα δὲ πλῆθος γένηται [131] ἐκ ταλαιπωρίης, καὶ ἡ κοιλίη καὶ κύςις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν [132] ἐκ τούτου· κἢν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐδαμῶς· ἢν δ' ἐν τῇ ταλαιπωρίῃ αὐτέων πλείςη ἐν τῷ σώματι καταμένῃ, κρατέει κείνη. Ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι [133] κατεργάζεται. Καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥτε βίη, καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα. Ἡ δὲ ἐκ τοῦ οὐρανοῦ, ἀνεπιτήδειος γενομένη ἐν τῷ ἀνθρώπῳ, ἐκράτησέ τι τοῦ ὑγροῦ, καὶ θερμαίνει ὡς ἐς νοῦσον, καὶ ψύχει πρότερον, ἢν τύχῃ γενόμενον. Ἐρέω δὲ [134] πρότερον περὶ τοῦ ὡς θερμαίνει. Φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν, ὁκοῖον ἐν τῷ προτέρῳ εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γένηται, καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι· τοῦτο δὲ ποιέει βίη. [135] Καὶ, ἢν μὲν ἀποκαθαί- 58
ρηται ὁ ἄνθρωπος, τοῦδε ταρασσομένου ἀποκρίνεται ὁκόσον ἂν πλέον ᾖ τοῦ καιροῦ· ἔοικε δὲ τοῦτο, ὥσπερ οἱ Σκύθαι ποιέουσιν, ἐκ
174 τοῦ ἱππείου γάλακτος. Ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα, σείουσι· τὸ δὲ ταρασσόμενον, [136] ἀφρεῖ καὶ διακρίνεται· καὶ τὸ μὲν πίον, ὃ βούτυρον καλέουσιν, [137] ἐπιπολῆς διΐςαται, ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ, κάτω ἵςαται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν· ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, [138] ἱππάκην μιν καλέουσιν· ὁ δὲ ὀρ- 59
ῥὸς τοῦ γάλακτος, ἐν μέσῳ ἐςίν. Οὕτως δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ παντὸς ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διΐςαται, [139] ὧν εἴρηκα, οἱ πάντα· καὶ ἐπιπολῆς μὲν τὸ τῆς χολῆς διΐςαται, κουφότατον γάρ ἐςι· δεύτερον δὲ τὸ τοῦ αἵματος· τρίτον δὲ τὸ τοῦ φλέγματος· βαρύτατον δέ ἐςι τῶν ὑγρῶν τούτων, ὁ ὕδρωψ. Τούτων δὲ ὄντων, ὅ, τι ἂν ἐν νούσῳ πλεῖςον ᾖ, ἐν ἀρχῆσι γινομένης τῆς ταραχῆς, ἔρχεται εἰς

verso, vel non, exitus sive per manus operam, sive sine ea, pateat. Quin & immoderatus labor tale quid efficit: quum enim homines immoderate laboraverint, quibus sanguinis labor præcipue contigerit, illic firmatur & incalescit, indeque dolor oboritur. Quod si ab his quidem superetur, magna autem copia ex labore contingat, & alvus ac vesica copiam neutiquam celeriter transcolarint, ex eo sane febris suborietur; nequaquam vero, si prior humor æqualis fuerit; si vero in ipsorum labore plurimus in corpore permaneat, superat ille. Atque hæc quidem de violentia, quænam in corpore conficiat, dicta sunt. Et hæc quidem duo sunt principia, violentia & plenitudo, quæ, nisi homines repurgentur, corpora calefaciunt. Quod vero ex aëre procedit, si homini incommodum fuerit, aliquid humoris superat, & tanquam ad morbum calefacit, priusque, si ita contigerit, refrigerat. Prius autem de eo, prout calefacit, dicturus sum. Dico igitur, si in ipso homine morbosum aliquid insit, quale in priori dixi, & ea, quæ ex aëre oriuntur, incommoda fuerint, homoque incalescat, totum corporis humorem incalescentem conturbari; id autem vis præstat. Et si quidem homo repurgetur, conturbati hujus (humoris) quantum plus æquo abundat, secernitur: id vero rei simile est, quam ex lacte equino Scythæ conficiunt. Lac enim in vasa lignea cava affusum agitant; quod dum conturbatur, spumescit ac separatur; & pingue quidem, quod butyrum vocant, quum leve sit, in summo seponitur; grave vero & crassum subsidet, quod etiam separantes siccant; quod cum concretum & siccatum fuerit, hippacen ipsum vocant: lactis vero serum medium locum habet. Sic etiam in homine, quum conturbatur humor totus in corpore, a principiis, quæ dixi, omnia illi seponuntur; & bilis quidem quum sit levissima, in superficiem discedit; secundo loco sanguis; tertio pituita: horum autem humorum gravissimus est aqua. Quum autem hæc ita se habeant, quisquis in morbo plurimus fuerit, dum turbatio in principiis contingit, ad locum fer-

VARIÆ LECTIONES.

130 κὴ πόνος vulgati Codd. Imp. Samb. & Fevr. κὴ ὁ πόνος, quod recepimus. ἢν δὴ κρατηθῇ Imp. Cornar. paulo post habet, ut sit *superarit*.

131 ταλαιπωρίη vulgati Codd. Verum ἐκ ταλαιπωρίης aut ἐν τῇ ταλαιπωρίῃ legit Calvus ex Vat. Codd. cui assentimur.

132 ἂν ἰκνέῃ Mercur. ex Veteri Codice legit.

133 MS. Cod. Venet. legit ἐργάζεται, qui & paulo post ἐκ δὲ τοῦ οὐρανοῦ habet pro ἠδὲ τοῦ οὐρ.

134 Pro πρότερον, MS. Cod. Venet. πρῶτον & paulo post ἐν τῷ προτέρῳ, Idem Cod.

135 Calvus ἢν μὴ, *nisi* legisse videtur.

136 ἀφρεῖ Imp. Sambuci & Fevreus; melius vero esset ἀφρίει, sive ἀφρίζει, quæ usitata sunt.

137 ἐπιπολῆς διΐςαται τοῦτο scribunt Imp. Sambuci & Fevr.

138 Hæc de ἱππάκῃ Hippocrates. Herodotus vero Libr. IV. ita scribit: orbant autem Scythæ servos suos omnes lactis gratia, quod potant, ita id facientes: sufflatoria ossea fistulis simillima sumuntur, eaque genitalibus equarum imposita ore inflantur, hoc aliis facientibus, alii equas emulgent. Hoc ideo se facere ajunt, quod venæ equarum sufflatæ implentur, & mammæ descendunt: postquam emulxere lac, in concava vasa lignea diffundunt. His circumpositi cæci lac agitant, cujus, quod summum est, debilitatur, preciosiusque habetur: viliusque autem, quod subsidit.

139 ὧν εἴρηκα, διΐςαται deletis οἱ πάντα Imp. Cornar. habet. Lindenus vero sic: ὑπὸ τῶν ἀρχῶν, ὧν εἴρηκα, διΐςαται. Διΐςαται δὲ οἱ πάντα.

fertur, in quo plurimum superat: verum in turbatione amplam capacitatem nactus, secretus volvitur, & corpus calefacit, aut in aliqua corporis parte consistens, una cum alio humore, qui alio in loco inest, dolorem & calorem exhibet: qui vero incalescit locus, reliquum corpus simul etiam calefacit, ex eoque febris oboritur; & magis a bile, & pituita, & sanguine; hæc enim calidissima sunt, & siquid horum in aliquam corporis partem incubuerit, plerumque morbus inde nominatus est, & cognomen habet: ab aqua autem neque admodum vehemens, neque diuturna febris oritur; aqua namque igni haud idoneum est alimentum. Et hæc quidem hactenus dicta sunt. Ante turbationem vero non habet, quo secedat humor copiosior, sed alteri humori permixtus sursum & deorsum volvitur; omnia namque plena sunt; in turbatione autem vacuantur. Ad alterum altero magis evacuatur, quique copiosior est humor locum occupat; & alienus alteri non admiscetur, si circum adhærescat, priusquam viribus adæquatus fuerit. Potest autem adæquari is, & qui ab ipso ad morbum accedit, quoad locus repurgatus fuerit, qualiscunque sit purgatio. Quod si copiosus sit is humor, qui affligit, & alius, qui prius salubris erat, ad morbum exhauritur & absumitur, eoque pacto homo perit: insuper enim exhauritur, si morbo non satis superfuerit alimenti, sed ab humore, qui in loco dolente est, absumitur. Primum quod propinquum est, absumit, deinde ulteriora depascitur, donec consumptum fuerit, neque amplius supersit corpori alimentum: levis autem humor homini est alimentum. Quemadmodum igitur par est, primum si maxime incalescat, putredo sensim oboritur; deinde postquam illic alimenti putredini non satis suppetit, in corpus serpit, initio ab eo, quod sanum est & propinquum, ducto, quoad totum, quod carnosum est, putrefecerit: postquam autem in totum depastum est, putredinis alimentum absumitur. Sic sane etiam in morbo, initio a loco illo ducto, postquam illic non amplius satis inest alimenti, ulterius depascitur, ab eo, quod vicinum est, sumpto exordio. Ubi enim ad totum pervenerit, morbi alimentum absumptum est, nec alius salubris (humor) superat; idque si fiat, homo interit.

χωρίον, ἵνα ἂν πλεῖϛον εἴη· [140] ἐν δὲ τῇ τα-
60 ραχῇ εὐρυχωρίης γινομένης, [141] εἰλέεται
61 ἀποκεκριμένον, καὶ θερμαίνει τὸ σῶμα, ἢ
ϛήριξιν ἔχον πῃ τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ [142] συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ, πόνον καὶ θέρμην παρέχει· τὸ δὲ θερμαινόμενον, προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, [143] κἀκ τούτου ὁ πυρετὸς γίνεται· καὶ μᾶλλον ἀπὸ τῆς χολῆς, καὶ τοῦ φλέγματος, καὶ ἀπὸ τοῦ αἵματος· θερμότατα γάρ ταῦτά ἐϛι, καὶ ἤν τι τούτων [144] ἀποϛηρίξῃ πῃ τοῦ σώματος, ὡς ἐπιτοπλεῖϛον ὠνόμαϛαι κεῖθεν τὸ νούσημα, καὶ ἐπωνυμίην ἔχει· ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα, οὐδὲ πολυχρόνιος, τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐϛιν. Καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. Πρὶν δὲ ταραχθῆναι, οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, ἀλλ᾽ ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ· πάντα γὰρ πλήρεά ἐϛιν· ἐν δὲ τῇ ταραχῇ κενοῦται· κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον· καὶ τὸ πλεῖον ἐὸν, χωρίον κατίσχει· καὶ τὸ μὲν ἀλλότριον, οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἢν περιϛηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν. Ἔϛι δέ μιν ἰσοῦσθαι, καὶ ὃ ἐπ᾽ αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁκοίη ἡ κάθαρσίς ἐϛιν. [145] Ἢν δὲ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο, πρὶν ὑγιηρὸν ἐὸν, [146] καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε· προσεπαυρίσκεται [147] γὰρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νούσημα, ἀλλ᾽ ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος. Πρῶτον τὸ πλησίον προσλαμβάνει, εἶτα ἐπὶ τῷ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ, καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή· τροφὴ δέ ἐϛιν ἀνθρώπῳ, τὸ κοῦφον ὑγρόν. [148] Ὥσπερ οὖν χρὴ, τὸ πρῶτον κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιϛα θερμαίνηται· ἔπειτα ἐπὴν κεῖθι τῇ σηπεδόνι τροφὴ μηκέτι [149] ἀρκέει, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις ἂν ὅλον τὸ σαρκῶδες σήψῃ· ἐπεὶ δὲ ὡς ἐπίπαν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι. Οὕτω δὴ καὶ τῇ νούσῳ, ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη. Ἐπὴν γὰρ ἐπίπαν ἔλθοι, [150] ἀνήλωται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει· κἢν τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος.

Ἔτι

VARIÆ LECTIONES.

140 Pro ἐν δὲ, MS. Cod. Venet. ἐὰν δέ.

141 Pro εἰλέεται, Imp. Cornar. ἴλλεται legit. Deinde Aldina exempl. ante ἢ ϛήριξιν asteriscum apponunt, & scribunt ἢ ϛήριξιν ἔχοντι, ἢ τοῦ σώματος.

142 σὺν ἐνέοντι Imp. Sambuci & Fevr. legunt. Deinde pro παρέχει, MS. Cod. Venet. παρέχον habet.

143 κἀκ τούτου ὁ πυρετὸς γίνεται· καὶ γίνεται μᾶλλον, vulgata exemplaria. Nos Servini lectionem cum Lindeno recepimus.

144 Aldina exemplaria ἀποϛηρίξῃ τι ἢ τοῦ σώματος legunt.

145 Pro ἢν δὴ, Imp. Cornar. legit ἢν δὲ, quod secuti sumus.

146 κἢν ἀποθνήσκει ὁ ἄνθρωπος Imp. Sambuci scribit.

147 δὲ pro γὰρ Imp. Sambuci. πλὴν MS. Cod. Venet. Paulo post πρῶτον γὰρ τὸ πλησίον προσλαμβάνει· εἶτα ἐπὶ τὸ Imp. Cornarii.

148 ὥσπερ οὖν, τὸ πρῶτον omisso χρὴ Serv. MS. Cod.

149 ἀρκέει vulg. Codd. ἐξαρκέῃ MS. Cod. Venet. habet. Deinde Idem MS. Cod. ἐπ᾽ ἢν δὲ ἐπίπαν νέμηται.

150 ἀνήλωται pro ἀνάλωται Imper. Sambuci, quod probavimus.

Ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ εἱλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται εἰς τὴν νοῦσον, ἢν μὴ ἀποκαθαίρηται· εἶτα αἱ φλέβες ὑπερπίμπλανται· πληθοῦσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ αὐτέων, πρὶν εὐρυχωρίη σφιν γένηται· ὥσπερ ἐπήν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν φλεβέων κενωθεισέων ὑπὸ τῆς πληγῆς. Ἐπὴν δὲ αἱ σάρκες πληθῶσιν ὅκωσπερ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωϋτῇσι, μέχρις οὗ κενωθῇ [151] κατὰ τὸ χωρίον τι αὐτέων. Ἀπολαμβάνει γὰρ, ἐπὴν ξυλλεχθῇ τὸ αἷμα, τὴν ὁδὸν ὑπὸ πλήθεος· ὥσπερ εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος, καταστρέψειεν ἐπὶ τὸ στόμα κατ' ἰθὺ, κἂν τοῦτο ποιήσειεν, οὐ δυνήσηται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον· ἔπνιξε γὰρ τὴν ὁδὸν [152] τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἅλες ἐπικείμενον. Ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνὶξ, καὶ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα· 62 τὸ δ' αὐτὸ ποιήσειε καὶ ἐπὶ τραπέζης ὕδωρ. [153] Οὕτω δὴ καὶ, ἐπὴν τὸ πλεῖον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται, καὶ πλήσειε τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων, πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ. Καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν τι ἐν τῷ σώματι ῇ, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων, καὶ ὅκως ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ, ὑπάγουσαι ἐς νοῦσον.

Quinetiam ubi hic in conturbatione ampliorem locum accuparit, neque firmatus fuerit, sed volvatur, non amplius alteri permiscetur, sed in morbum insumitur, nisi repurgetur: deinde venæ supra modum implentur; valdeque impletæ nihil ex se dimittunt, priusquam ampla capacitas ipsis contigerit: quemadmodum ubi quis vehementer percussus fuerit, sanguis sub vulnus decurrit, venis nimirum per vulnus evacuatis. Ubi vero carnes tanquam spongia oppletæ fuerint, non amplius dimittunt, sed in se retinent, quoad ex ipsis aliquid per locum vacuatum sit. Quum enim collectus sanguis fuerit, præ copia viam intercipit: quemadmodum siquis ampullam coriaceam angusti oris, oleo repletam in os obvertat e directo, id etiamsi fecerit, ex eo oleum prodire non poterit: oleum enim, utpote multum & confertim incumbens, viam intercepit. Quod siquis vas olearium inclinet, tolletur oris interceptio, & ex ipsa oleum effluet: idem etiam effecerit aqua supra mensam (effusa.) Ita sane ubi multus corporis humor in conturbatione locum occupaverit, & venas impleverit, non amplius ab eis discedit, nisi quum locus vacuus fuerit, morbi alimento consumpto. Atque hæc quidem a me dicta sunt, ubi quid in corpore fuerit, unde morbi oriuntur, aliis etiam redundantibus, & quomodo principia humori calorem & turbationem afferant, & ad morbum deducant.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὅπως μὲν ἐκ τοῦ οὐρανοῦ τὰ νοσήματα γίνεται, ἀγορεύσειν ὑπισχνεῖται, περὶ δὲ τῆς ἰκμάδος μόνης λέγει, ὡς τῇ τήξει, συγκρίσει, διακρίσει, συμμίξει, ταραχῇ καὶ στηρίξει τὰ ποικίλα παθήματα ἕπεται· ἔνθεν ἡ τῆς κόπρου ἐξώθησις, καὶ οἱ ἐν τῇ κοιλίᾳ στρόφοι· ἔνθεν τὸ ῥίγος γίνεται, καὶ ὁ κρυμὸς, καὶ ἡ φλεγμονὴ, καὶ ὁ πυρετός.

Νῦν δὲ ἐρέω τὰ, ἐκ τοῦ οὐρανοῦ, ἢν ἀνεπιτήδεια γένηται φύντα ἐν τῷ σώματι, τίνα ἐργάζεται, καὶ ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. [154] Φημὶ δὲ, τὸ μέντοι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος ἐπὴν τηχθῇ, ἕως νοῦσον ἀποτέκῃ· τὸ

CAPUT XV.

Quomodo ab aëre morbi oriantur, se dicturum pollicetur; verum de solo humore agit, cujus liquatione, concretione, secretione, commixtione, agitatione, & decubitu varii oboriuntur affectus; hinc stercoris exturbatio, & alvi tormina; hinc rigor, frigus, inflammatio, febris.

Nunc vero dicturus sum, quænam in corpore efficere soleant, quæ ex aëre procedunt, si incommoda fuerint, & quum corporis humorem superarint. Assero autem, partem ejus humoris, qui est in homine, quum liquatus fuerit, concrescere & inspissari, donec morbum pariat: partem vero

Variæ Lectiones.

151 κατὰ τὸ χωρίον Imp. Sambuci & Fevr. quibus assentimur addito τό.

152 τὸ ἄλειφαρ eodem significatu Imp. Sambuci. Paulo post ἢ ῥεύσεται vulg. Codd. nos καὶ ῥεύσεται scripsimus. Deinde pro ἄλειφα, Imp. Samb. habet ἄλειφαρ eodem sensu.

153 οὕτω δὴ Mercur. ex veteri Codice. Deinde pro τὸ πλεῖστον, Servinus ex MS. Codd. τὸ πλεῖον, cui assentimur cum Lindeno.

154 Imp. Cornarii φημὶ δὲ, τὸ μέν τι ξυστρ. mox τὸ δὲ, pro τὸ, τὸ, Imp. Corn. quem sequimur.

vero dilatari & secerni. Hæcque affectio lacti similis est: quum quis coagulum in lac injecerit, frigiditas in eo lacte oborta lac incrassat simulque cogit, & quod incrassatum ambit, serum est: sic sane & in homine humor, refrigeratione in morbo suborta, concrevit & inspissatus est: at circum ipsum aquosum humorem alius etiam humor est, (qui) quo copiosior in reliquo corpore fuerit, eo magis commiscetur. Verum si quidem ad alvum devenerit, stercus commovet, & in alvo tormina excitat, forasque exit nulla magna illata noxia. At si ad alvum non devenerit, ad eam corporis partem adhærescit, in qua plurimam capacitatem adeptus fuerit. Locum igitur amplum sibi nactus, in eo volutatur; & quod quidem aquosi humoris ex concretione secernitur, quum nimirum in corpore frigidissimum & gravissimum sit, ad inferiora descendit, & circum ossa, & nervos volutatum, adhuc magis corpus ad inflammationem perducit; & clarum est, quod circa nervos, præsertimque circa ossa, aquosus humor sit, qui inflammationem facit. Nam circa osseas corporis partes homo maxime riget, capillique eriguntur, cuticula contracta ac ficciore evadente, quam priori tempore, deficiente nimirum isthic aquoso humore, & circum ossa obvoluto. Hinc sane solus locus, ubi primo tempore erat, inflammationem facere non potest, unde etiam rigor oritur. Reliquus vero humor æquabiliter condensatus, partim in toto corpore est, partim vero quo copiosior fuerit, si quidem contigerit, ut alvus plena non sit, & quod molestum est paucum sit, interdum ad alvum defertur, neque magnam noxiam inducit: & interdum quidem febrem non infert, interdum vero debilem & innoxiam, quodque dolorem facit, una cum stercore foras prodit. Quod si alvus plena multum habeat, quod lædat, periculum est ex eo morbum aliquem oboriri, si, quod noxium est, aliquam in partem decumbat, vel ad latus, vel ad viscus, aut aliam quampiam partem simul calefaciat, uti primum illum (humorem) conturbet. Quibus vero non multum a calore ex aquoso humore superatum est, cum nimirum circa ossa & prope medullam (spinalem) consistat; his pro-

δὲ διευρύνεσθαι καὶ διακρίνεσθαι. [155] Ἔοι-
63 κε καὶ τοῦτο τὸ πάθος γάλακτι· ἐπήν
τις ὀπὸν ἐμβάλῃ ἐς τὸ γάλα, ψύξις γε-
νομένη ἐπ' αὐτῷ τῷ γάλακτι, συνεπάχυνε
τὸ γάλα καὶ ὁμοῦ ἐποίησε, περὶ δὲ τὸ
παχυνθὲν ὁ ὀῤῥός ἐστιν· οὕτω δὴ καὶ ἐπὶ
τῷ ἀνθρώπῳ τὸ ὑγρὸν, τῆς ἐπὶ νούσου ψύ-
ξιος γινομένης, ξυνεστράφη καὶ ξυνεπαχύν-
64 θη· περὶ δὲ αὐτὸν τὸν ὕδρωπα [156] ἐστι
καὶ τὸ ἄλλο ὑγρόν· ὁκόσῳ ἂν πλεῖον ἔῃ
ἐν τῷ ἄλλῳ σώματι, ξυμμέμικται.
Ἀλλ' ἢν μὲν εἰς τὴν κοιλίην ἔλθῃ, διετά-
ραξε τὴν κόπρον, καὶ στρόφον ἐν τῇ κοιλίῃ
ἐποίησε, καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα
σῖνος [157] παρασχόν. Ἢν δὲ μὴ ἐς τὴν
κοιλίην ἔλθῃ, στηρίζει τοῦ σώματός πῃ,
ἵνα οἱ εὐρυχωρίη πλείστη. Εἱλέεται οὖν ἐ-
ξευρὸν ἑαυτῷ εὐρυχωρίην· καὶ τοῦ μὲν ὕ-
δρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς συστροφῆς
ἔρχεται, ἅτε ψυχρότατον καὶ βαρύτατον
ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, καὶ περὶ
65 τὰ ὀστέα, καὶ περὶ τὰ νεῦρα [158] εἱλού-
μενον, ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμο-
66 νὴν ἄγει· καὶ δῆλον ὅ, τι περὶ τὰ νεῦ-
ρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ
τὸν [159] φλογμὸν ποιέων ἐστί. Τὰ γὰρ
ὀστώδεα τοῦ σώματος, μάλιστα [160] ῥιγοῖ ὁ
ἄνθρωπος, καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται,
ξυστραφείσης τῆς ἐπιδερμίδος, καὶ ξηροτέ-
ρης γινομένης, ἢ ἐν τῷ πρὶν χρόνῳ· ἅτε
τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν, καὶ περὶ
τὰ ὀστέα εἱληθέντος. Ἐντεῦθεν δὴ μοῦνον
τὸ χωρίον, ὅκου ἐστὶ τὸν πρῶτον χρόνον,
οὐ δύναται φλογμὸν ποιέειν, ὅθεν καὶ τὸ
ῥίγος γίνεται. Τὸ δὲ ἄλλο ὑγρὸν τὸ ἰσώ-
τατον παχυνθὲν, [161] τὸ μὲν τῷ σώματι
67 παντί ἐστι· τὸ δὲ ὅσῳ πλέον, [162] ἢν μὲν
μὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον
ᾖ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοι-
λίην, καὶ σῖνος οὐδὲν μέγα ἐποίησε· καὶ
ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βλη-
χρόν καὶ [163] ἀσινὲς, καὶ ἐξῆλθε τὸ πονέον
ξὺν τῇ κόπρῳ. Ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα,
πολλὸν ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ αὐ-
τέου νοῦσόν τινα γενέσθαι, ἤν πῃ στηρίξῃ τὸ
σινεόμενον, ἢ πρὸς πλευρὸν, ἢ πρὸς σπλάγ-
χνον, ἢ πῃ ἄλλῃ ξυνθερμαίνῃ, ἵνα ξυντα-
68 ράξῃ πρῶτον ἐκεῖνο. [164] Ὁκόσοισι δὲ οὐχὶ
κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νε-
νικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος,
καὶ πλησίον τοῦ μυελοῦ· [165] χρόνῳ δὲ μᾶλ-
λον

VARIÆ LECTIONES.

155 ἔοικε δὲ καὶ, addito δὲ Lindenus, quam lectionem secutus est Cornar.
156 Pro ἐστι Imp. Cornarii ἔτι habet, scilicet *adhuc*.
157 Pro παρέχων, reposuimus παρασχόν; refertur enim ad τὸ ὑγρόν.
158 εἱλούμενον, pro εἱλούμενα Imp. Cornarii, cui assentimur cum Foësio. Paulo post καὶ δῆλον, ὅτι περὶ τὰ νεῦρα Imp. Cornar. quam lectionem amplectimur cum interpretibus; pro καὶ δηλονότι περὶ τὰ νεῦρα, *& circa nervos videlicet*.
159 Omnia quidem exemplaria χυμὸν, *humorem* legunt, cui lectioni acquiescere non possumus, hinc Lindeni emendationem amplectimur; quæ clarum reddit sensum, & ita paulo post scripsimus pro vulg. οὐ δύναται χυμὸν ποιέειν, *humorem* scilicet *facere non potest*.
160 Æmil. Portus ῥιγοῖ pro ῥιγῶ; nam ῥιγάω, ῶ non est in usu. MS. Cod. Venet. ῥιγοῖ.
161 τὸ μὲν Imp. Cornar. pro τὸ ἐν, quod recepimus.
162 Sic MS. Cod. Venetus, & Imp. Cornar. pro vulg. ἢν μὲν δὴ κ. τ. λ. hancque lectionem recepit Lind. in textum.
163 ἀσθενὲς MSS. Reg. pro ἀσινὲς.
164 Lind. ita legit: ὁκόσοι δὲ οὐχὶ κάρτα πρὸ τῆς θερμῆς ὑπὸ τοῦ ὕδρωπος νενικημένοι. Imp. Cornarii νενικημένοισιν.
165 χρόνῳ δὲ μᾶλλον ἐνόσει. Imper. Cornarii; verum Lind. χρόνῳ δὲ μᾶλλον πονέουσι legit. Paulo post ἔπειτα δὲ τὸ πλησίον αὐτοῦ Lind. addito δέ. [illegible]

λον ὅσα εἴη, πρῶτον μὲν αὐτὸ τὸ χωρίον· ἔπειτα τὸ πλησίον αὐτοῦ· καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, [166] καὶ ἡ κοιλίη οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα· ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ, τε κοιλίη καὶ τὸ σινόμενον. Τὸ δὲ ὑγρὸν παχὺ θερμαινόμενον, διαχέεται πρῶτον τὸ ʹ πλησίον τοῦ πονέοντος ἐόν· διαχεόμενον δὲ, μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ ξυστροφῇ, καὶ μέχρι τούτου ῥίγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ " [167] τῷ
69
ἄλλῳ ὑγρῷ. Καὶ τὸ πῦρ ὧδε γεννηθὲν γίνεται· τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα, θερμαινόμενον τὸ σῶμα, ἀναγκάζει ἐς ἑωϋτὸ [168] πῦρ γίνεσθαι· καὶ ὑπὸ τοῦ σινεομένου, καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν, ἐπικρατέει τοῦ ἄλλου ὕδρωπος. Καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυμὸν, ἤν πη τοῦ σώματος ʹ [169] στηρίξῃ τὸ ὑγρὸν τὸ πλεῖον· ἢν δὲ εἰλέηται, τρόπῳ τοιῷδε γίνεται. Μετὰ τὸν κρυμὸν τὸ πῦρ εἰλέεται, μάλιστα πονεόμενον περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω· ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν. Εἰλεομένου δὲ αὐτοῦ, πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα, καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην· ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον, [170] καὶ μίσγεται τῷ ὕδρωπι, καὶ τὸ πῦρ μετὰ τὸ
70
ῥίγος ἐνθάδε γίνεται, " ἐπὴν μὴ εἰλέηται τὸ ʹ πονέον, ἀλλὰ στηρίξῃ πρὸς τοῦ σώματός πη.
71
Ταῦτα δέ μοι εἴρηται, " [171] ὅκως τε καὶ ὁκόθεν τὸ ῥίγος γίνεται τὸ νοσῶδες· καὶ ὁκόθεν, καὶ ὅκως, καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπεισπίπτει, καὶ αἵτινες αἱ ἀρχαὶ τῶν νούσων εἰσί· καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει, καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται, [172] καὶ ὑπὸ τίνος ὑγιαίνουσιν οἱ ἄνθρωποι, καὶ ὑπὸ τίνος νοσέουσι, καὶ ἥ τε χολὴ, καὶ τὸ φλέγμα πλέον καὶ ἔλασσον γίνεται· καὶ τἄλλα [173] ἐν αὐτῇ φύσει ἐόντα ἐν τῇ ἀνθρωπίνῃ, ἀπέδειξα πολλὰ, ὁκόσα καὶ ἀπεδέχετο οὗτος ὁ λόγος· καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει.

cedente tempore, magis (afficiuntur) quæ (prope) sunt, ac primum quidem locus ipse, deinde quod ipsi vicinum est; & sane ulterius depascitur, & alvus, quum calida sit, eum suscipit: deinde tum alvus, tum lædens humor hunc magis calefacit. Crassus autem humor incalescens, primum is diffunditur, qui affligenti vicinus est; diffusus vero lædenti aquoso humori commiscetur: deinde in corporis concretione magis vacuatur; & quamdiu aquosus humor reliquo humori (permiscetur) tamdiu rigor detinet. Quinetiam febris hoc modo generata sit: quæ enim molesta sunt, ad locum inhærentia, corpus incalescens in se febrem contrahere cogunt; & a lædente, & ab alvo calefactum, reliquum aquosum humorem superat. Atque ita quidem febris post frigus fit, si copiosior humor in aliquam corporis partem decubuerit: quod si convolvatur, hoc modo oritur. Post frigus febris convolvitur, quæ circa alvum tum superiorem, tum inferiorem maxime laboribus afficit: ibi enim amplissima est loci capacitas. Quum autem ea volvitur, primum incalescunt propinqua, tum viscera, tum quæ in ventre calida sunt; postea etiam alius humor diffusus calorem excipit, & aquoso humori admiscetur, febrisque post rigorem hic oritur, quum quod molestum est, minime convolvitur; sed ad aliquam corporis partem adhæserit. Atque ista a me dicta sunt, quomodo & unde morbosus rigor fiat; & unde, & quomodo, & ex quali necessitate febris post ipsum incidat; & quænam sint morborum principia, quemque morbum eorum unumquodque corpori inducat, quaque ratione, & cur morbi diebus imparibus judicentur, & unde homines sani sint; & unde ægrotent; tum etiam bilis, tum pituita copiosior & minor fiat: multa quoque alia, quæ in ipso & natura humana insunt, quæque hæc exigebat oratio, demonstravi: & hæc quidem ita commemorata finem habent.

Variæ Lectiones.

166 καὶ ἡ κοιλίη ἣ προσλαμβάνει Imp. Cornar. ubi ἣ pro οἱ scribitur.

167 τῷ ἄλλῳ ὑγρῷ σύνεσι Imp. Cornar. μίσγεται vero ex superiore legendum esse autumat Foësius.

168 πῦρ δέχεσθαι Imperial. Cornarii. Postea ὑπὲρ vulgati Codd. ὑπὸ Servin. quod secuti sumus.

169 στηρίζῃ pro στηρίξῃ ex MS, scribit Servinus. Postea εἰλέεται Imp. Cornarii pro εἰλέηται habet, & ita post legitur.

170 καὶ μίσγεται Imper. Cornarii, inserto καὶ, cui assentimur. Deinde ἐπὴν εἰλέηται τὸ πονέον· ἀλλὰ μὴ στηρίξῃ, quam lectionem sequimur, pro vulg. ἐπὴν μὴ εἰλέηταιται τὸ πονέον· ἀλλὰ στηρίξῃ. Cod. vero Asul. στηρίζῃ.

171 ὅκως τε, καὶ ὁκόθεν, *quomodo & unde* Cornarius legisse videtur, inserto καὶ ὁκόθεν, quod sequimur. Deinde μετὰ τοῦτο ἐπιπίπτει scribit MS. Cod. Venet.

172 καὶ ὑπὸ τίνος Æmil. Portus, quem sequimur utroque in loco pro ὑπότεῳ. Postea Imp. Corn. καὶ ὅκως ἥτε χολὴ habet.

173 ἐν αὐτῇ φύσει Imp. Corn. quem secuti sumus, pro ἐν αὐτῷ φύσει. Paulo post ὁκόσα ἀπεδέχετο. Servin. ἀπεδέξατο cui subscribit Lindenus. MSS Reg. vero ἀπεδείξατο.

CAPUT XVI.

De lumbricis latis ac teretibus; lumbricos teretes parere, latos non parere, sed abrumpi; lumbricorum latorum ortus, species, & signa diagnostica & prognostica.

AT nunc de lumbricis latis dicendum. Eos enim in puero, dum adhuc in utero est, procreari assero: non enim ubi semel utero egressus est, tanto tempore stercus in alvo manet, ut ex eo putrefacto & diutius permanente, tantæ magnitudinis animal in ea concrescere possit. Homo namque, si sanus futurus sit, hesternum stercus semper cunctis diebus excernit: tale vero animal non generaretur, etiamsi per plures dies homo non egerat. Multa enim, dum puer in utero manet, hoc modo gignuntur. Ubi ex lacte, & sanguine computrescente ac redundante, quod nimirum dulce sit, pus æstuosum factum fuerit, illic animal generatur: teretes vero lumbrici isthic eodem modo nascuntur: eamque rem ita se habere hoc est indicium. Quum pueri in lucem sunt editi, ipsis mulieres hæc medicamenta cibando exhibent, quo stercus ex intestino exeat, neque aduratur, simulque intestinum dilatetur: quum cibos in os inseruerunt, multi sane pueri, tum rotundos, tum latos lumbricos, una cum primo stercore per alvum excreverunt: quod si non excreverint, etiam in ventribus gignuntur. Et teretes quidem pariunt; lati vero non amplius, etsi eos parere dicunt: quicunque enim homo latum lumbricum habet, quale cucumeris semen alias atque alias cum stercore dejicit, & sunt homines, qui hoc lumbrici partus esse affirmant: mihi vero qui talia proferunt, haud recte dicere videntur: neque enim ab uno animali tot pulli nasci possunt, neque tanta est in intestino capacitas, ut partus educare queat. Increscente autem puero, lumbricus etiam ex his quæ in ventriculum ingesta sunt, in intestino crescit; & his quidem cum pubertate, quibusdam etiam posterius, aliis vero paulo ante, intestino æqualis evadit. Et ubi intestino adæquatus fuerit, similiter augescit, & quo

ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

Περὶ ἑλμίνθων τῶν πλατειῶν τε καὶ στρογγύλων· τὰς στρογγύλας ἕλμινθας τίκτειν, τὰς πλατείας δὲ μὴ τίκτειν, ἀλλὰ ἀποῤῥήγνυσθαι· ἡ τῶν ἑλμίνθων πλατειῶν γένεσις, τὸ εἶδος, καὶ τὰ σημεῖα διαγνωστικά τε καὶ προγνωστικά.

ΝΥν δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν. Γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ, ἐν τῇσι μήτρῃσιν ἐόντι· οὐ γάρ ἐστιν, ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ, χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης, ζῶον παγῆναι ἐν αὐτῇ, ὅ, τι τοσοῦτον μεγέθει γίνεται. Ἀποπατέει γὰρ ἀεὶ τὴν ἕωλον κόπρον ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος· γίνοιτο δ' ἂν τοιοῦτο
72 ζῶον, οὐδ' ἢν πολλῶν ἡμερέων μὴ [174] ἀποπατήσῃ ἄνθρωπος. Πολλὰ γὰρ γίνεται, ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ, τρόπῳ τοιῷδε. Ἐπὴν γένηται πῦον καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, [175] ζῶον ἀπογεννᾶται αὐτόθι· γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ, τρόπῳ τοιῷδε· σημήϊον δὲ ὅτι τοῦθ' οὕτως ἔχει. Ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ 176
γυναῖκες τὰ αὐτὰ φάρμακα, ὥστε ἂν κόπρος ἐξέλθῃ ἐκ τοῦ ἐντέρου, [176] καὶ μὴ ξυγκαυθῇ, καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ· ἐπὴν ψωμίσωσι, πολλὰ δὴ τῶν παιδίων, καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ· ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται καὶ ἐν τῇσι [177] γάστρῃσι. Καὶ αἱ μὲν στρογγύλαι τίκτουσιν· αἱ δὲ πλατεῖαι οὐκ ἔτι, καίτοι φασὶ τίκτειν αὐτάς· ἀποπατέει γὰρ ὁ ἄνθρωπις ἔχων τὴν ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα, ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ, καὶ τοῦτόν εἰσιν οἱ φήσαντες τῶν ἀνθρώπων, τῆς ἕλμινθος τέκνα εἶναι· ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς, οἱ τὰ τοιαῦτα λέγοντες· οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα νεόσσια, οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ, [178] ὡς ἐκτρέφειν
73 τέκνα. Τῷ δὲ παιδίῳ αὐξανομένῳ, αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἡ ἕλμινς ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων, καὶ γίνεται ἴση τῷ ἐντέρῳ· τοῖσι μὲν ἅμα τῇ ἥβῃ, τοῖσι δὲ ὕστερον, τοῖσι δὲ πρόσθεν ὀλίγῳ. Καί, ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται, [179] καὶ ὁκόσῳ ἂν

VARIÆ LECTIONES.

174 ἀποπατήσειεν MS. Cod. Venet. & exemplar. Vatic. & Mercur.

175 ζῶον ἐσγίνεται MS. Cod. Venet. Paulo post τρόπῳ τοιῷδε Imp. Sambuci legit, quod probamus, pro vulg. τρόπῳ τῷ αὐτῷ.

176 καὶ μὴ καυθῇ, *neque uratur* Imp. Samb. Deinde ἐπὴν δὲ ψωμίσωσι scribit Imp. Cornarii addito δέ· *quum vero cibos in os inseruerunt.*

177 ἐν τῇσι γάστρῃσι a recto singulari ἡ γάστρης. Alioqui si a recto γαστὴρ dativum pluralem formes, non γαστῆρσι dicendum; sed potius γαστέρσιν; ut πατέρσι, μητέρσι κ. τ. λ. vel observandum, non imitandum. Vid. Eusth. voce γάστερ, vel γάστρη.

178 ἐντρέφειν eodem sensu MS. Cod. Venet. Paulo post MSS. Reg. legunt: τῷ δὲ παιδίῳ ἐκ τῶν μητρέων αὐξανομένῳ· quæ lectio etiam adscribitur in MS. Cod. Veneto.

179 Sic Æmil. Port. pro vulgatis: καὶ ὁκόσα ἂν μείζω γίνεται.

ἂν μείζων γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ, καὶ ἐκπίπτει οἷον σικύου σπέρμα, πολλάκις δὲ καὶ μείζων. Ἔςι δὲ οἷσιν ὁδοιπορέουσιν, ἢ ταλαιπωρέουσι, καὶ τῆς κοιλίης θερμαινομένης, " [180] ἔρχεται ἐς τὸ κάτω καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσιν τὸ πεφυσηκὸς, τοῦτό τε ποιέει, " καὶ ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ, [181] ἢ ὀπίσω ἔρχεται. Σημήϊα δέ ἐςιν, ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω· ἐπήν τις ἰῆται τὸν ἄνθρωπον τὴν ἕλμινθα, καὶ φάρμακον διδοῖ ἢ ποτὸν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη ςρογγύλη γενομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος· " ἢν δὲ ἐς τὴν φαρμακείην [182] ἔρχηται, καὶ εὐθὺς ἀποῤῥήγνυται ἀπὸ τῆς ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας, ἢ καὶ πλεῖον πολλῷ· καὶ, ἐπὴν ἀποῤῥαγῇ, χρόνῳ πολλῷ οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημήϊα· ὕςερον δὲ αὔξεται. Ταῦτα δὲ ἱςοριά ἐςιν, ὅτι οὐ τίκτει ἡ ἕλμινς, ἀλλὰ περιῤῥήγνυται. Ἔςι δὲ τὸ εἶδος αὐτῆς, ὁκοῖόν περ ἐντέρου ξύσμα λευκόν· σημήϊα δὲ ἴσχει· [183] ἀποπατέει τε καὶ ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα· καὶ, ἐπὴν νῆςις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε, καὶ πόνον παρέχει· καὶ ἔςι μὲν ὅτε πτύαλα ἐπιῤῥέει τῷ ςόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ· ὁτὲ δὲ, οὐχί. " Ἔςι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει, ἐπὴν ἰσχυρῶς προσπέσῃ πρὸς τὸ ἧπαρ, καὶ πτύαλά τε πολλά ῥέει ἐκ τοῦ ςόματος κάρτα· " ὀλίγῳ δὲ ὕςερον [184] ἵςαται, καὶ ςρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίῃ ἄλλοτε καὶ ἄλλοτε· ἔςι δ' ὅτε καὶ ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει, ςηρίζει γὰρ καὶ ἐνθάδε· [185] ἔςι δ' ὅτε ταῦτα σημήϊά ἐςιν ἕλμινθος πλατείης. Γίνεται δὲ καὶ τόδε. Ὃς ἔχει τοῦτο τὸ θηρίον, " ἐν μὲν τῷ ξύμπαντι χρόνῳ [186] δεινόντι κάρτα οὐκ ἂν γένοιτο· ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται· καὶ γὰρ ἡ ἕλμινς μετέχει τὶ μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. " Ἢν μὲν οὖν [187] μελεδανθῇ κατὰ τρόπον, ὑγιαίνεται· ἢν δὲ μὴ μελεδανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται· θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ ξυγκαταγηράσκει. Ταῦτα δέ μοι εἴρηται περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται, [188] καὶ τὰ σημήϊα τοῦ νοσεύματος αὐτῆς.

major evaſerit, per rectum inteſtinum cum ſtercore excernitur, & velut cucumeris ſemen excidit, plerumque etiam major. Nonnullis vero iter facientibus, aut vehe-
74 menter laborantibus, & ventre incaleſcente, deorſum prodit, ipſisque ex recto in-
75 teſtino inflatus prominet, idque facit, & ex ano excernitur, aut retrocedit. Quod vero non pariat, ſed velut ego dico, ſe res habeat, hæc ſigna ſunt: ſiquis hominem lumbrico laborantem curet, & medicamentum aut potionem dederit, ſiquidem homo probe præparatus fuerit, totus rotundus ut globus prodit, & homo ſanus
76 evadit: ſi vero ad medicamentum prodeat, ſtatim lumbricus duorum aut trium cubitorum longitudine abrumpitur, aut etiam longe major: quumque abruptus fuerit, multo tempore cum ſtercore ſigna nulla ſe produnt: poſtea vero augeſcunt. Atque hæc argumenta ſunt, lumbricum non parere, ſed circumcirca abrumpi. Eſt autem ejus ſpecies, velut album inteſtini ramentum: hæc vero habet ſigna: alias atque alias velut cucumeris ſemen dejicit; & ubi homo jejunus fuerit, alias atque alias ad hepar impetu fertur, & dolorem excitat. Interdum autem, ubi ad hepar irrumpit, ſputa ad os affluunt, interdum vero mini-
77 me. Nonnullis quoque, ubi ad hepar vehementer proruperit, vocis defectionem inducit, & ex ore ſputa admodum multa
78 fluunt, quæ paulo poſt ſiſtuntur, ſubindeque tormina multa in ventre excitantur: quandoque etiam ad dorſum dolor incidit; illuc enim etiam incumbit: interdum vero iſta lumbrici lati ſigna ſunt. Hoc vero etiam contingit. Ei, qui hoc animalculum habet,
79 toto quidem tempore nihil grave metuendum accidit; quum vero infirmus evaſerit, ægre reficitur: lumbricus enim eorum, quæ in ventriculum ingeruntur, partem aliquam aſſumit. Si igitur, ut convenit cu-
80 ratus fuerit, convaleſcit; ſi vero non curetur, ſua ſponte foras non prodit: mortem tamen non infert, ſed una conſeneſcit. Atque hæc quidem a me de lumbrico lato dicta ſunt, unde ortum ducat, quæque morbi ipſius ſigna ſint.

Variæ Lectiones.

180 ἄρχεται habent Aldina exemplaria. Poſtea αὐτοῖσι πεφυσηκὸς Imp. Cornarii τὸ deleto. Servinus vero αὐτοῖσιν τὸ πεφυκὸς habet, quam lectionem ſecutus eſt Calvus ex membranis Vatic. Deinde καὶ ἀποκρίνεται ſcripſimus emendante ſic Æmil. Porto, pro καὶ ἀποτρίεται, & *reſecatur* ſcilicet ex ano.

181 ἢν δὲ μὴ ὀπίσω ἔρχεται Lind. ſcribit.

182 ἔχηται Imp. Cornarii & delet ſequens καὶ, quod abeſt a MS. & Imp. Samb. & Fevr. Lindenus vero iſtud ſic habet: ἔρχεται κατ' εὐθεῖαν, pro ἔρχηται καὶ εὐθεῖα· nos εὐθὺς repoſuimus, quod idem ſonat ac ταχέως Æmil. Port. præeunte.

183 ἀποπατέει τε καὶ ἄλλοτε Imp. Corn. ſcribit, quod cum Lindeno amplectimur.

184 Pro ἀνίςαται, legunt ἵςαται interpretes, quos ſecuti ſumus.

185 ἔςιν ὅτε Imper. Cornarii ſcribit.

186 τείνοντι vulgata exemplar. pro quo ἀσθενῶν ſubſtituit Cornar. ſcilicet: valde *debilis* fieri non poterit. Nos cum Mercurial. δεινόντι ſcripſimus mutato τ. in δ. quæ lectio Foeſ. probatur.

187 Sic Imp. Sambuci & Foeſ., ut & paulo poſt pro vulg. μελανθῇ.

188 καὶ τὰ σημήϊα τοῦ νοσεύματος αὐτῆς, vulgati Codd. αὐτῆς delet Imp. Sambuci. Cæterum Lind. ita habet: καὶ τὰ σημήϊα ἐξ αὐτῆς νουσεύματος.

CAPUT XVII.

De calculi ortu ex lacte, caussis, signis quinque, symptomatis, & generationis ejus locis & modis.

AT vero calculi morbo principium ex lacte oboritur, ubi puer lac impurum ex mamma sugit: lac autem nutricis impurum redditur, quum pituitosis alimentis, tum cibis, tum potibus impuris nutrix usa fuerit. Quæ enim in ventriculum incidunt omnia, in ea lacti conferunt. Sic autem etiam se res habet. Si nutrix minime sana fuerit, sed biliosa, aut aquosa, aut sanguinea, aut pituitosa, lac quoque puero pravum generatur: conferunt enim corpus & ventriculus; plurimum vero ei ad lac confert, quod ipsa plurimum in se habuerit. Ac puer si de nutrice lac sugat minime purum, sed (velut dixi) biliosum, morbosus & debilis evadit; & quamdiu lac pravum & morbosum sugit, in præsentia maxime afficitur. Atque ubi lac minime purum, sed terreum ac pituitosum suxerit, venasque a ventriculo ad vesicam tendentes amplas & attrahentes puer habuerit; potus autem & lac ex nutrice in pueri ventriculum concedit, quale a ventriculo de lacte trahit, in totum ei simile, quod venæ in ventriculum detrudere poterint. Et siquid in lacte non purum fuerit, id, quo fruitur, in vesica lapis fit eo modo, quo in aqua minime pura, in calice vel vase æneo turbata & deposita, confertim in medio sedimentum consistit. Sic & in vesica, quum urina impura est, neque emittitur, nimirum quum in cavo sit, & maxime coacervata, præ dolore per mictionem non trajicitur, & a pituita cruda concrescit: pituita enim sedimento permixta in glutinum vertitur. Ac primum parva lanugo accrescit, deinde quod accedit arenosum adjungitur, quum pituita, quæ de lacte in vesica remanet, pro glutine fit, & increscit; & quicquid humoris quidem in conglutinatione accesserit, per urinam redditur: rursus autem sedimentum solidum aut lapidosum efficitur, quemadmodum ferrum ex lapidibus & terra, dum simul aduruntur, fit. Ac prima quidem in ignem injectione, ad ferri recrementum lapides & terra inter se agglutinantur:

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Περὶ τῆς τοῦ λίθου ἀπὸ τοῦ γάλακτος γενέσεως, καὶ τῶν αὐτοῦ αἰτίων, καὶ σημείων πέντε, καὶ συμπτωμάτων, καὶ τῶν τῆς αὐτοῦ γενέσεως τόπων καὶ τρόπων.

ΠΕρὶ δὲ λιθιάδος ἀρχὴ μὲν ἐγγίνεται ἀπὸ τοῦ
γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον
81 θηλάζῃ γάλα μὴ καθαρόν· " τὸ δὲ γάλα γί-
νεται [189] ἐν τῇ τροφῇ οὐ καθαρὸν, ἐπὴν φλεγ-
ματώδεσι τροφῇσι, καὶ σιτίοισι, καὶ ποτοῖσι
χρῆται μὴ καθαροῖσιν ἡ τροφός. [190] Ξυμβάλ-
82 λεται γὰρ πάντα " ἐς τὴν κοιλίην πίπτοντα,
ἐπ' αὐτῇ ἐς τὸ γάλα. "Ἔχει δὲ καὶ τόδε, οὕτως.
[191] "Ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης,
ἢ ὑδρωποειδὴς, ἢ αἱματώδης, ἢ φλεγματώδης,
καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ· συμβάλ-
83 λεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη· " [192] πλεῖστον
δὲ ἄγει αὐτῇ ἐς τὸ γάλα, ὅ, τι ἂν αὐτὴ πλεῖ-
στον ἔχῃ ἐν ἑωϋτῇ. Καὶ τὸ παιδίον, ἢν θηλάζῃ
ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χο-
λῶδες, ὡς ἔλεξα, [193] ἐπίνοσον γίνεται καὶ ἀσθε-
νὲς, καὶ τὸ παρὸν μάλιστα λυπέει, μέχρις ἂν θη-
λάζῃ γάλα πονηρὸν καὶ ἐπίνοσον. Καὶ, ἐπὴν θη-
λάζῃ γάλα, μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλε-
γματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας τὰς
ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας
καὶ ὁλκούς· χωρέεται δὲ καὶ τὸ ποτὸν, καὶ τὸ γάλα
[194] ὑπὸ τῆς τροφοῦ ἐς τὴν κοιλίην τοῦ παι-
84 δίου, " ὁκοῖον ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ
γάλακτος, τὸ πᾶν ὁμοίως, ὅ, τι ἂν αἱ φλέβες
διωθέειν δύνωνται ἐς τὴν κοιλίην. Καὶ, ἤν τι
ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκό-
μενον ἐν τῇ κύστει, γίνεται λίθος, τρόπῳ τοιῷ-
δε, ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι
ἐν κύλικι, ἢ ἐν χαλκῷ, καὶ καταστάντι, ὑπο-
85 στάθμη ἅλις γίνεται ἐν τῷ μέσῳ. " Οὕτω καὶ
ἐν τῇ κύστει ἀπὸ τοῦ οὔρου, μὴ καθαροῦ ἐόν-
τος, καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα,
καὶ μάλιστα ἅλις γινομένη, ὑπὸ ὀδύνης οὐ διέρ-
χεται διὰ τῆς οὐρήσιος, πήγνυταί τε ὑπὸ τοῦ
φλέγματος ὠμοῦ ἐόντος· κόλλα γὰρ γίνε- 177
ται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον.
Καὶ τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται· ἔπει-
τα τὸ ἐπιὸν ψαμμῶδες προσγίνεται, κόλλης
γινομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει
ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται· καὶ ὅ,
τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται,
ἐξουρέεται· αὖθις δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ
λιθοειδὴς γίνεται, ὥσπερ σίδηρος ἐκ τῶν
λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται. Καὶ
ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ, κεκόλλην-
ται τῇ σκωρίῃ οἱ λίθοι καὶ ἡ γῆ πρὸς ἄλληλα·
καὶ,

VARIÆ LECTIONES.

189 ἐκ τῆς τροφῆς Lindenus scribit pro ἐν τῇ τροφῇ.

190 ξυμβάλλεται γὰρ πάντα τὰ ἐς τὴν κοιλίην Lindenus. Mox ex Imp. Corn. αὐτῇ relate ad nutricem scripsimus, vulg. Codd. αὐτῷ legunt relate ad ventriculum. αὐτὴν Vatic. Codd. αὐτῶν Servin.

191 ἢν μὴ ὑγιηρὴ ἔῃ, *nisi sana fuerit* MS. Cod. Venet. legit omissis ἡ τροφός.

192 Sic Imp. Cornarii, & Sambuci, pro vulgatis πλεῖστον δὲ ἄγει αὐτῷ ἐς τὸ γάλα, ὅ, τι ἂν αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωϋτῷ.

193 ἐπίνοσον αὐτὸ γίνεται MS. Cod. Venet. addito αὐτό.

194 Aldina exemplaria legunt ὑπὸ τῆς τροφῆς. Deinde ὁκοῖον, pro ὁκοίην vulgato, cum Imp. Sambuci scripsimus, quam lectionem adhibuere interpretes.

καὶ, ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ
ἐμβληθῇ, ἡ μὲν σκωρίη ἔξω ἔρχεται τηκομέ-
νη [195] ὑπὸ τοῦ σιδήρου, καὶ ὄψει ὁρᾶται τὸ
γινόμενον· ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυ-
ρὶ καὶ συμπίπτει, προσδιδούσης τῆς σκωρίης,
καὶ γίνεται στερεός τε καὶ πυκνός. Οὕτω δὴ
καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστει· κόλλης γινο-
μένης τοῦ φλέγματος, ἐξουρέεται [196] τὸ
τηκόμενον ἀπὸ τοῦ οὔρου· αὕτη δὲ συμπί-
πτει, καὶ πυκνὴ γίνεται, καὶ στερεοῦται ὥ-
σπερ σίδηρος. Ἐπὴν δὲ καὶ συμπέσῃ καὶ στε-
ρεωθῇ, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω,
καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν, καὶ
ἀποφέρει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κόπτῃ
[197] καὶ ἑλκώῃ. Τὸ δὲ ἐπιφερόμενον ἔτι 86
μᾶλλον τοῦ ἀπιόντος ψαμμώδεος σύμπηξιν
ἐργάζεται· καὶ ὁ λίθος γίνεται τρόπῳ τοιῷ-
δε ἀπὸ τοῦ γάλακτος ἐς τὴν κύστιν. Ἔστι
δ' ὅτε γίνεται, [198] κῆν τῷ παιδίῳ ἐόντι,
ἄση τις ἀπὸ τούτου γένηται· ἄλλοτε γὰρ 87
καὶ ἄλλοτε ἐπὴν οὐρήσῃ, ταχέως [199] ἐπι-
λαμβάνεται τῆς οὐρήθρης. Ἢν δὲ τοῦ παι-
δίου ἤδη αὐξανομένου, λίθος γένηται ἀπὸ 88
γεωτρωγίης, ὁ πόνος οὐ πάρεστίν οἱ, πρὶν ἢ
σῖτον αὐτὸς ἑωϋτῷ αἵρηται. Καὶ ταῦτα μὲν
ἐς τοῦτό μοι εἴρηται. Σημήϊα δὲ [200] ἡ νοῦ-
σος ἔχει πέντε. Ἐπήν τε οὐρῆσαι θέλῃ, πο-
νέεται· καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει, ὥ-
σπερ στραγγουρικοῖσι· καὶ ἔστιν ὕφαιμον, οἷα
τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου· καὶ
ἡ κύστις φλεγμαίνει, ἀλλὰ τοῦτο μὲν ἀφα-
νές· σημήϊον δὲ ἀκροποσθίη· ἔστιν ὅτε διου-
ρέεται ψαμμώδεα, ὑπὸ τοιούτων δὲ, οἵων ἐ-
γὼ ἐρέω· διουρέεται δ' ἔστιν ὅτε, λίθους [201] δύο
ἢ καὶ πλείονας· ἕτεροι δὲ σμικροὶ τρόπῳ τῷ
αὐτῷ, ὥσπερ καὶ τὴν μίαν εἴρηκα. [202] Γί- 89
νονται δὲ καὶ ὑπὸ τοῦ τοιούτου. Ἐπὴν ὁ λί-
θος συμπαγῇ, καὶ βάθος γένηται ἐς τὴν
κύστιν, τῇ ψάμμῳ τῇ γενομένῃ χωρίς· ἐλ-
θούσης δὲ τῆς ψάμμου, ὁ λίθος μὴ προσ-
λάβῃ πρὸς ἑωϋτῷ, ἀλλὰ βαρυτέρη καὶ πλείων
γένηται, ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς
ἑωϋτὴν, καὶ οὕτως δύο λίθοι γίνονται· γί-
νονται δὲ καὶ πλείονες τρόπῳ τῷ αὐτῷ,
καὶ ξυγκρουομένων πρὸς ἀλλήλους [203] τῇ
κλονήσει περιθραύεται, καὶ διουρέεται τὸ
ψαμμῶδες· ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλ-
θῃ ψάμμος πρὸς τὴν κύστιν, καὶ μὴ προ-
σπαγῇ.

ſed ubi ſecundo ac tertio in ignem conjecta fuerint, recrementum quidem liqueſcens ex ferro foras prodit, idque fieri oculis cernitur; ferrum autem in igne relinquitur, & cedente recremento, ſubſidet, ſolidumque ac denſum redditur. Sic etiam ſane ſedimentum in veſica; dum pituita glutinum fit, quod ab urina liqueſcit, cum ea excernitur; ipſum vero (ſedimentum) ſubſidet, denſatur, ac ſolideſcit velut ferrum. Ubi autem ſubſederit ac ſolidatum fuerit, ſurſum ac deorſum in veſica agitatur, veſicamque feriens dolorem affert, quumque vehementer feriat, ac ulceret, ab ea aliquid aufert. Quod vero adjicitur, adhuc majorem eo, quod deceſſit arenoſo, concretionem efficit; & ad hunc modum calculus in veſica ex lacte gignitur. Interdum vero oritur, ſi cum adhuc puer eſt, ex eo anxietas quædam contingat; ſubinde enim quum mingit, celeriter urethræ manus injicit. Quod ſi jam adulto puero, calculus gignatur ex terræ eſu, non ante ei dolor accidit, quam ipſe ſibi cibum deligat. Et hæc quidem a me de hoc dicta ſunt. Hic autem morbus quinque habet ſigna. Quum urinam reddere vult, dolore afficitur; & urina paulatim, velut urinæ ſtillicidio laborantibus, effluit; ſubcruenta eſt, nimirum veſica a calculo exulcerata; & veſica inflammatur. Verum hoc ſignum abditum eſt, indicio tamen eſt ſumma præputii pars. Interdum arenoſa per urinam reddit, verum ab his quæ ego dicam; interdum vero duos aut plures calculos per urinas excernit; alii autem parvi (gignuntur) ea, qua de uno dixi, ratione. Fiunt etiam ad hunc modum. Quum concretus fuerit calculus, & alte in veſica ſubſederit, arenaque ſeparata fuerit; & accedentem arenam calculus ad ſe non adjunxerit, ſed gravior & copioſior ſit reddita, ita ut ipſa in ſe non concreſcat; etiam ſic duo calculi gignuntur: fiunt vero eodem modo plures, quibus inter ſe colliſis, in agitatione comminuitur, & per urinam excernitur arenoſum: quod interdum etiam (contingit,) ubi arena ad veſicam deſcenderit, neque coaluerit.

CA-

Variæ Lectiones.

195 Sic Servin. quod recepimus, pro ἐκ τοῦ σιδήρου.

196 Sic Imp. Corn. addito τὸ, quod probamus. Mox, pro ὑπὸ τοῦ οὔρου, Imp. Samb. ἀπὸ τοῦ οὔρου, legit, quod recepimus.

197 Sic Imp. Cornarii, pro κὴν ἕλκῃ. Paulo poſt pro ἀπιόντι ψαμμώδεϊ, Imp. Cornar. ἀπιόντος ψαμμώδεος, quam lectionem probavimus.

198 Sic Imp. Cornarii, quam lectionem recepit Lindenus, pro κῆν τὸ παιδίον ἐόντι, ἢ ἄλλη τις. Paulo poſt ἐπὴν οὐρῆσαι habent Aſulan. exempl.

199 ἐπιλαμβάνει MS. Cod. Venet. ſcribit. Deinde, pro γεωτρωγίης, cum Foëſio ſcripſimus γεωτρωγίης, quo nomine intelliguntur ea, quæ e terra orta ablactato puero offeruntur. Mercurial. vero ſubſtituit κρεοτρωγίης; etenim pueri, inquit, poſt lactis uſum carnes edere incipiunt, atque tunc humores in ipſis gignuntur, craſſiores, aptique, ut in lapidem convertantur; verum hæc lectio longe petita eſſe videtur. Lind. autem κρεωφαγίης, quæ lectio arridet.

200 ἡ νοῦσος ἴσχει MS. Cod. Venet. legit.

201 ἢ δύο ἢ καὶ πλείονες Lind. Deinde ἕτεροι δὲ σμικροὶ delet Imp. Corn. & ſubſtituit σμικροὺς γενομένους, ſine diſtinctione ulla.

202 Sic Imp. Cornarii, quam lectionem ſecuti ſunt interpretes, pro γίνεται.

203 ἐν τῇ κλονήσει MS. Cod. Venet. qui paulo poſt ψάμμος ἐς τὴν κύστιν legit.

CAPUT XVIII.

Potum non in pulmonem, sed in ventriculum deferri, & ex hoc in universum corpus, octo argumentis probat.

AT quidam dicunt, quod bibitur, id in pulmonem deferri, ex eoque in reliquum corpus. Hi autem, qui hæc dicunt, ex eo quod dicturus sum, falluntur: quod pulmo cavus sit, eique insit fistula. Quod si pulmo cavus non esset, neque ei adhæreret fistula, animalia nullam vocem ederent: vocem enim ex pulmone edimus, quod cavus sit, eique adhæret fistula: vocem autem labra & lingua articulatam efficiunt. De hoc autem a me exactius dictum est in peripneumonia. His igitur hominibus, qui potum ad pulmonem ferri existimant, adversabor. Sic autem se res habet: potus in ventriculum concedit, a ventriculo vero in reliquum corpus exhauritur. Hæc vero animadvertere oportet, quæ dicturus sum: sermonis autem argumenta, quod potus in ventriculum, non in pulmonem concedat, hæc sunt. Si enim potus ad pulmonem ferretur, ubi pulmo oppletus esset, homo non facile respirare, neque loqui posset; neque enim pulmone pleno esset, quod resonaret. Et hoc quidem unum est argumentum. Deinde si potus ad pulmonem procederet, cibi in nobis sicci non similiter coquerentur. Hæcque duo sunt argumenta. Sed & medicamenta alvum subducentia ubi potaverimus, extra ventriculum feruntur. Sic autem se res habet: quæ medicamenta sursum aut deorsum, aut utroque modo purgant, omnia valde urunt; & ex his quidem vehementia, si forte tenellam aliquam corporis partem contigerint, eam ulcerant: blandiora vero turbationem corporis excitant, quodcunque exercuerint. Quod si aliquod ex his medicamentis ad pulmonem veniat, magnum aliquod malum mihi excitaturum esse videtur: pituita enim ex capite veniens, eum parvo admodum tempore exulcerat; tenera namque & rara res est pulmo, & si exulceratus fuerit, is homo sane multis de causis non bene habebit. Ventriculus autem a medicamento non exulceratur, quod res robusta sit, quemadmodum

ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

Τὸ πινόμενον ἐς τὸν πνεύμονα οὐκ ἔρχεσθαι, ἀλλὰ ἐς τὴν κοιλίαν, καὶ ἐκ ταύτης ἐς τὸ ἄλλο σῶμα πᾶν, ὀκτὼ ἰσορίοις δοκιμάζει.

90 ΛΕγουσι δέ τινες, ὅτι τὸ πινόμενον ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα. Οὗτοι δὲ οἱ ταῦτα λέγοντες, διαβάλλονται τούτῳ, ᾧ μέλλω ἐρέειν· ὅτι ὁ πλεύμων κοῖλός ἐστι, καὶ πρὸς αὐτῷ ἐστι σύριγξ. Ὁ δὲ πλεύμων εἰ μὴ κοῖλος ἦν, [204] καὶ οἱ σύριγξ προσείχετο, οὐκ ἂν ἐφώ-
91 νει τὰ ζῶα· φθεγγόμεθα γὰρ ἀπὸ τοῦ πλεύμονος, ὅτι κοῖλός ἐστι, καὶ ἡ σύριγξ [205] πρόσεστι· διαρθρεῖ δὲ τὸν φθόγγον τὰ χείλεα καὶ ἡ γλῶσσα. Κάλλιον δέ μοι περὶ τούτου δεδήλωται ἐν τῇ περιπλευμονίῃ. Τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν πλεύμονα φέρεσθαι ἐναντιώσομαι. [206] Ἔχει δὲ οὕτως· χωρέει τὸ πότον ἐς
92 τὴν κοιλίην, ἀπὸ δὲ τῆς κοιλίης ἐς τὸ ἄλλο σῶμα [207] ἀπαυρίσκεται. Νοῆσαι δὲ χρὴ, ὁκόσα μέλλω ἐρέειν· λέγω δὲ ἰσόρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην, τάδε. [208] Εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, ὁκόταν ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως τὸν ἄνθρωπον ἀναπνεῖν, οὐδὲ φθέγγεσθαι δύνασθαι· οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ πλεύμονι πλήρει ἐόντι. Καὶ ἓν μὲν τοῦτο ἰσόριόν ἐστιν. Ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν πλεύμονα, τὰ σιτία [209] ἐν ἡμῖν ξηρὰ ἐόντα, οὐκ ἂν ὁμοίως ἐπέσσετο. Δύο δὲ ἰσόρια ταῦτά ἐστι. Καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν πίωμεν, χωρέει τῆς κοιλίης ἔξω. Ἔχει δὲ καὶ τόδε οὕτως· ὁκόσα φάρμακα καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω, ἢ καὶ ἀμφότερα ταῦτα ποιέει, πάντα καίει κάρτα· καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἣν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ· τὰ δὲ μαλακώτερα, ἄραδον ποιέει τοῦ χρωτὸς,
93 ὅ, τι ἂν [210] ἀλειφθῇ. Εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκέει ἄν μοι τι μέγα ποιῆσαι κακόν· τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς, ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ· ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστιν ὁ πλεύμων, καὶ, ἣν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πουλλά. Ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμά ἐστιν ἰσχυρὸν, [211] ὥσπερ δη-

VARIÆ LECTIONES.

204 καὶ οἱ ἡ σύριγξ Imp. Sambuci & Fevr. habent. Paulo post φθεγγόμενα legunt Ald. & Vatic. exempl. pro φθεγγόμεθα.

205 Sic Imp. Cornarii, pro πρόσεστι vulgato.

206 ἔχει δὲ οὐχ ὡς MS. Cod. Venetus habet.

207 ἀπαρύεται, *haurit* legisse videtur Calvus, aut ἐπανερείσκεται. Ceterum ἐπαυρίσκεται exponitur Erotiano ἀπολύεται, *deperditur*, aut exolvitur, &c. In Imp. Samb. ἐπαυρίσκεται habetur.

208 εἰ γὰρ χωρέει ἐς τὸν πλεύμονα, *si enim ad pulmonem ferretur*, legit Imp. Samb. τὸ πότον deletis.

209 ἐν pro ἂν Imp. Cornarii, quem sequimur. Paulo post χωρέει ἡμῖν τῆς κοιλίης ἔξω scribit Imp. Sambuci.

210 Pro ἀλειφθῇ, Imp. Cornarii scribit λιφθῇ. Servin. vero ἐλλειφθῇ.

211 ὥσπερ δέρμα MS. Cod. Venetus deleto δηλαδὴ, *scilicet*.

δηλαδὴ δέρμα· καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖςοι, τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ ἱματίων, τῇσι δὲ κοιλίῃσιν ἀντὶ θυλάκων. Ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη 178 ἐςίν. Ἔπειτα, ἐπὴν ὑπὸ οἴνου μέλανος θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. Ταῦτα δὲ πάντα ἱςόριά ἐςι. Καὶ, ἐπὴν σκόροδα φάγωμεν, ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. Ταῦτα μὲν τὰ ἱςόρια ἔξεςι, σκέψασθαι δὲ καὶ τόδε ὅ, τι μέλλω ἐρέειν. Εἴ τις κυκεῶνα πιήσῃ, ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον· ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν πλεύμονα φλέγμα, ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλή βήξ τε, καὶ ἰσχυρὴ γίνεται, καὶ σπασμός. Εἰ δ' οὖν ἄρα καὶ ζώῃ ὁ ἄνθρωπος, πιὼν τὸν κυκεῶνα, ἢ τὸ ἄλητον ῥοφέων·[212] πεσσουμένου γὰρ τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι, καὶ πόνον πολλὸν, [213] ὥς τε εἰ ἀποπατοίη κατὰ τρόπον ἢ ἐς 94 τὸν πλεύμονα ἔλθοι. Ταῦτα δὲ ἱςόρια ἑπτά ἐςιν. Ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴγε χωρέει πρὸς τὸν πλεύμονα· τοῦτο δὲ ἱςόριον ἄλλό μοι. Καὶ ταῦτα, οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ τοιοῦτο ἱςόριον οὐδὲν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων, τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν. Καὶ ἀνάγκη ἐςὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἱςόρια ἐπάγεσθαι, [214] εἰ μέλλει τὸν ἀκούοντα ἐκ τῆς πρὶν γνώμης μεταςρέψαι, τοῖς ἑωϋτοῦ τε λόγοισι πείσειν. Καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, ὅτι προσαφὴς 95 [215] αὐτῷ ἐςιν ὁ ςόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων, καὶ χωρέει ἐς ἐκεῖνον· καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ πλεύμονος, ὥσπερ κισσοῦ φύλλον, ὥςε οὐκ ἂν παρακαθιεῖ ἐν τῇ καταπόσει, εἰ χωρέει ἐς ἑωϋτόν. Καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται.

corium scilicet: & Libycorum plerique pecorum pellibus pro vestibus, & ventriculis pro loculis utuntur. Ventriculus enim robusta res est. Præterea ubi homines vino nigro inebriati fuerint, nigra dejiciunt. Hæc autem omnia argumenta sunt. Ac ubi allia, aut aliud gravis odoris edulium comederimus, urinam edulium odorantem excernimus. Et hæc quidem argumenta, tum ea, quæ dicturus sum, spectanda sunt. Siquis cyceonem biberit, aut farinam coctam, aut aliud quid hujusmodi sorbuerit, idque ad pulmonem perveniat, hunc ne minimum quidem temporis victurum arbitramur: ubi enim paucum quid pituitæ ad pulmonem, aut ad ejus fistulam venerit, multa & valida tussis, convulsioque oboritur. Si igitur utique vixerit homo, qui cyceonem biberit, aut farinam coctam sorbuerit; ubi sane concocta sorbitio fuerit, copiosum & vehementem calorem multumque dolorem corpori excitari censeo, ac si probe alvum purgaret, aut ad pulmonem veniret. Hæc autem septem argumenta sunt. Præterea qua ratione lac pueros enutriret, si ad pulmonem descenderet; hoc autem aliud mihi argumentum. Atque in his ad orationem nullum ejusmodi argumentum adduxissem; nisi adeo multi homines potum ad pulmonem concedere existimarent. Ac necesse est eum, qui velit, auditorem a pristina sententia deducere, suisque verbis fidem facere, ad ea, quæ firmiter in opinione inhærent, multa argumenta adferre. Atque ob id potus non ad pulmonem, sed ad ventriculum fertur, quod ei annexa sit hominis gula, quæ semper hiat, & ad hanc tendit; simulque pulmonis fistulæ tanquam hederæ folium ita incumbit, ut si ad eum feratur, in devorando minime in se demittat. Atque de his hactenus a me dictum est.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν τριῶν νοσημάτων ἰδεῶν, τῶν ἀπὸ τοῦ ὕδρωπος ἢ τοῦ ὕδατος γινομένων, καὶ περὶ τῆς αὐτῶν γενέσεως, καὶ τόπων πεπονθότων, καὶ αἰτίων, καὶ συμπτωμάτων, καὶ σημείων, καὶ προγνωςικῶν.

Χωρέει δὲ καὶ τὸ ποτὸν ἐς τὴν κοιλίην, καὶ, ἐπὴν πλησθῇ, ὁ σπλήν τε ἀπ' αὐτῆς

CAPUT XIX.

De tribus morborum speciebus ab hydrope, seu aqua factis, eorumque ortu, locis affectis, causis, signis, symptomatis, ac prognosticis.

IN ventriculum autem etiam potus fertur, quo quum expletus fuerit, ab eo lien

Variæ Lectiones.

212 *πεσσουμένου γε τοῦ ῥοφ.* Imp. Corn.

213 Hæc constans est omnium exempl. quæ videre licuit, lectio, *ὥς τε εἰ ἀποπατοίη κ. τ.* Calvus *ὥςε ὡς*, aut *ὥσπερ κ. τ. λ.* legisse videtur. Cornar. vero *ὥςε ἀποθνήσκειν*, *ita ut moriturus sit.* Sed Foësio legendum videtur *οὐκ ἂν ἀποπατοίη κατὰ τρόπον· εἰ ἐς τὸν πλεύμονα ἔλθοι*, *ita ut non debita ratione alvum purgaturus sit; si ad pulmonem veniret.* Imp. Cornar. vero *ὥςε ἀποθανεῖν κατὰ τρόπον, ἢν ἐς τὸν πλ.* *ita ut debito ordine moriturus sit; si ad pulmonem veniret.* Quæ lectio aptissima videtur.

214 *εἴ τις μέλλει* Imp. Cornar. *si quis* velit &c. addito *τίς.*

215 Pro *αὐτῷ*, Imper. Cornar. *αὐτῇ* relate ad *κοιλίην*. Nos vulgatam prætulimus lectionem, ad pulmonem referentes, quod gula contigua & prope adjuncta sit pulmonis arteriæ. Paulo post pro *ἑωϋτὸν* Imp. Corn. *αὐτόν*.

lien recipit, & ad venas & omentum distribuit, & ad declive deorsum, ad scrotum, ad crura, & ad pedes: quumque morbus supervenerit multæ aquæ, hæc procedit ex ventriculo, ac semper ex potu, ubi homo biberit, ad lienem fertur. In hoc autem morbo contingit, ut non alia de causa in ventriculo febris excitetur, quam quum homo sitierit, si vero vesica & ventriculus non recte transmittant, neque conveniente victus ratione homo utatur. Lien vero subægrotans, potum ex ventriculo trahit; morbus autem suboritur, & scrotum pellucidum evadit, & jugulum, cervix, & pectus extenuantur; nam ab hoc morbo colliquantur, & humor in ventriculum defluit, & inferiora aquæ plena sunt; ventriculus cibum aversatur, ac interdum quidem valde comprimit, interdum vero defluit, neque vesica probe transmittit plerumque; frequens horror corpus pervadit, interdumque febris prehendit; & quibusdam facies intumescit, quibusdam minime; nonnullis vero, ubi morbus diuturnus extiterit, tibiæ rumpuntur, indeque aqua effluit; incidunt & vigiliæ, corporisque imbecillitas, præcipueque lumborum; & ubi quid comederit, aut biberit, etiam paulo plus lien laborat, crebrumque spiritum semper emittit. Atque ista hydropis signa sunt; sunt etiam circa ventriculum solum, sive febris detinuerit, sive non, & venter magnus evadit; cruraque aqua implentur, superiores vero corporis partes extenuantur iis, qui ita affecti existimantur; signa tamen omnia debiliora sunt, simulque in cruribus aqua minime suboritur; & tanto minor labor est. At vero circa ventriculum solum hydrops istam ob causam exoritur. Etenim ubi acervatim (aqua) accesserit, neque per exordia ad inferiores partes via pateat, sed coacervata in venulis intercludatur, nimirum quæ respirationem non habeat, neque sursum, neque deorsum, firmam sedem habet. Quemadmodum siquis magnum vas angusti oris subito convertat, deinde sensim operculum ab ore detrahat; etsi id fecerit, aqua foras non effluet; quum perspirationem non habeat, sed a spiritu, qui intus est, intercludatur: spiritus enim internus vas opplet, & externo spiritui obluctatur,

δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας, καὶ ἐς τὸ
ἐπίπλοον, καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὄ-
σχην, καὶ ἐς τὰ σκέλεα, καὶ ἐς τοὺς πόδας·
96 " καὶ, ' ἐπὴν νοῦσος [216] ἐπιγένηται τῷ ὕδατι
πολλῷ, χωρέει ὑπὸ τῆς κοιλίης, καὶ ἐς τὸν
σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίῃ
ὁ ἄνθρωπος. Γίνεται δὲ ἐπὶ τῆς νούσου ταύ-
της, ὥστε μὴ πυρεταίνειν [217] ἄλλως ἐν τῇ
κοιλίῃ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ· ἢν δὲ ἡ
κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον,
μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται.
Ὁ δὲ σπλὴν ὑπονοσέων ἕλκει ἀπὸ τῆς κοι-
λίης ἀπὸ τοῦ ποτοῦ· ἡ δὲ νοῦσος γίνεται,
καὶ ἡ ὄσχη διαφανὴς γίνεται, καὶ αἱ κλη-
ῖδες καὶ ὁ ' τράχηλος καὶ τὰ στήθεα καταλε-
πτύνεται· τήκεται [218] γὰρ ὑπὸ τῆς νούσου
ταύτης, καὶ καταρρέει ἐς τὴν κοιλίην· τά-
τε κάτω, ὕδατος πλέα ἐστι, καὶ ἀσιτέει ἡ
97 κοιλίη καὶ ὁτὲ μὲν κάρτα στέγει, " ὁτὲ δὲ
καταρρέει, [219] ἥτε κύστις οὐ διηθέει κατὰ τρό-
πον ὡς ἐπὶ τὸ πλεῖστον, φρίκη τε διαΐσσει ἄλ-
λοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, καὶ πῦρ
ἔστιν ὅτε ἐπιλαμβάνει· καὶ τὸ πρόσωπον, τῶν
μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ· ἔστι δ' οἷ-
σι καὶ καταρρήγνυνται αἱ κνῆμαι, ἐπὴν χρό-
νιον τὸ νούσημα γένηται, ' καὶ ῥεῖ [220] αὐ-
τόθεν ὕδωρ· καὶ ἀγρυπνίη ἐπιπίπτει, καὶ ἀ-
δυναμίη τοῦ σώματος, καὶ μάλιστα τῆς ὀ-
σφύος· καὶ, ἐπὴν τι φάγῃ, ἢ πίῃ, καὶ ὀλί-
γῳ πλέον πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα
πυκνὸν ἀεὶ ἀφίει. Ταῦτα δὲ σημήϊα ὕδρωπός
εἰσιν· ἔστι δὲ καὶ περὶ τὴν κοιλίην μοῦνον, ἢ
καὶ πυρὸς λαβόντος, ἢ καὶ οὐχί, καὶ ἡ γα-
στὴρ μεγάλη γίνεται· καὶ τὰ σκέλεα πίμ-
98 πλαται ὕδατος· " τὰ δὲ ἄνω τοῦ σώματος
λεπτὰ γίνεται οὕτω οἰηθεῖσι· τὰ δὲ σημήϊα
ἅπαντα βληχρότερά ἐστι, καὶ ἅμα ' καὶ ἐν
τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, καὶ ὁ
πόνος τοσούτῳ ἐλάσσων. Περὶ δὲ τὴν κοι-
λίην μοῦνον διὰ τόδε ὕδρωψ γίνεται. Ἐπὴν
γὰρ ἅλες ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι
99 μὴ γίνεται ἐς τὸ κάτω, " ἀλλ' [221] ἀπο-
ληφθῇ ἅλες ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ
ἀναπνοὴν μὴ ἔχον, μήτε ἄνω, μήτε κά-
τω, ἀποστήριξιν ἔχει. Ὥσπερ εἴτις ἄγγος
μέγα μικρόστομον [222] ἀναλαβὼν, κατα-
στρέψειεν ἐν τάχει, εἶτα καθ' ἡσυχίην ἀ-
πὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον,
100 καὶ, ἢν τοῦτο ποιήσῃ, " τὸ ὕδωρ οὐκ
' ἂν ῥεύσειεν ἔξω, οὐδὲ γὰρ ἔχει πνοὴν,
ἀλλ' ἀποκέκλεισται ἀπὸ τοῦ ἐντὸς πνεύ-
ματος· ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ
ἄγγος, καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι,
καὶ

VARIÆ LECTIONES.

216 ἐπιγένηται ἐφ' ὕδατι πολλῷ, χωρέει ἀπὸ τῆς κοιλίης Imper. Cornar.

217 Pro ἄλλην, MSS. Reg. & Servin. ἄλλως habent, quam lectionem recepimus. Paulo post ἢν δὲ ἡ κύστις Servin. quod probamus, pro vulgatis ἡ δὲ κύστις.

218 τήκεται γὰρ vulgat. Codd. nos δὲ pro γὰρ scripsimus ex Servin. mox ταύτης abest in MS. Cod Venet.

219 ἥτε κύστις κἢν οὐ διηθέει Asul. exemplaria. Deinde πλεῖστον ex Servin. scripsimus pro vulgato πλεῖον, *plus*.

220 αὐτόθι *ibi* pro αὐτόθεν vulg. scripsimus ex Servin. Paulo post ὕδρωπὸς, omisso εἰσὶν MS. Cod. Venet.

221 Sic Imp. Cornar. pro vulg. ἀποβληθῇ.

222 ἀναλαβὼν Servin. quod recepimus cum Lind. pro ἀπολαβών. Cæterum vera hujus affectus ratio est, quod aër inferior reluctatur; & aquam sustinet, quum nullus aër superne aquam deorsum trudat: sed inclinato sensim vasis osculo, aut perforato vasis fundo, & ampliore aëre admisso, aqua deorsum pellitur.

ϗ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύμα-
τος τοῦ πληροῦντος τὸ ἄγγος, ϗ ἅμα ἐπικει-
μένου τοῦ ἠέρος· ἢν δέ τις κλίνειε καθ' ἡσυ-
χίην τὸ ἄγγος, ἢ κατὰ πυθμένα τρήσειεν, ἐ-
ξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος· ἐξιόντος
δὲ τοῦ πνεύματος, χωρέει ϗ τὸ ὕδωρ ἔξω. Οὕ-
τω δὴ ϗ τῷ ὕδρωπι· ἢν μὲν παραπνοὴ ἄνω ἢ
45 κάτω ' διὰ τῶν φλεβίων γένηται ἐν ἀρχῇ τῆς
νούσου, ἔρχεται ἐς τὰ σκέλεα ϗ ἐς τοὺς πόδας
ὁ ὕδρωψ· ἢν δὲ μὴ, αὐτοῦ μοῦνον εἰλέεται περὶ
τὴν κοιλίην. Καὶ οὕτω μέν μοι περὶ τούτων εἴ-
ρηται. Γίνεται δὲ ϗ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν
τῇσι μήτρῃσι, ϗ τὰ ἐν τῇσι κοιλίῃσι, ϗ τὰ ἐν
τοῖσι σκέλεσι, " ϗ τἄλλα σημήϊα [223] ταυτὰ 101
ἴσχει. Ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναι-
κείοισι νουσήμασι περὶ αὐτοῦ. Αὗται αἱ τρεῖς
ἰδέαι τῶν νουσημάτων, ἀπὸ τοῦ ὕδρωπος. Γίνε-
179 ται δὲ τὰ νουσήματα πάντα ταχέως ' χαλε-
πὰ, ϗ πάντα αὔξεται ταχέως· ἔτι δὲ χαλε-
πώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα
τηχθὲν, ἐς τοῦτο περιέλθῃ. Ἢν μὲν οὖν ἐν
τάχει προκαταλάβηται τὸ νούσημα τὸν ἄν-
θρωπον, θνήσκει, " [224] ἅτε τῆς νούσου χρο- 102
νιωτάτης γενομένης· ἐπὴν δὲ ϗ ἡ κοιλίη εὔ-
ροος γένηται, κάρτα θνήσκει τάχιστα, " ἐ- 103
παΐων τε ϗ διαλεγόμενος. Ταῦτα δέ μοι εἴ-
5 ρηται περὶ ὕδρωπος, ὅθεν τε ' γίνεται, καὶ
ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

neque aquæ excursus datur, quum spiritus vas impleat, simulque aër superincumbat: at si quis vas sensim inclinarit, aut in fundo perforarit, spiritus e vase efferetur; egresso vero spiritu, aqua etiam foras concedit. Ita sane in hydrope; si quidem sursum aut deorsum perspiratio per venas fiat per morbi initia, ad crura & pedes aqua fertur; sin minus, isthic solum circa ventriculum volutatur. Ac de his quidem sic a me dictum est. Quinetiam in utero mulieribus hydrops contingit, & in ventre, & in cruribus, reliquaque signa eadem habet. At ea de re inter morbos muliebres a me dictum est. Atque tres hæ sunt ab hydrope morborum species. Hi autem omnes morbi celeriter difficiles fiunt, celeriterque omnes crudescunt: longe vero graviores fiunt, si corpus alio morbo tabefactum, ad hunc delapsum fuerit. Si igitur subito hominem morbus corripuerit, moritur, quum nimirum morbus (alter) admodum diuturnus fuerit: quod si etiam alvus fluida fuerit, admodum celerrime, tum sentiens, tum loquens, moritur. Atque hæc mihi de hydrope, & ejus ortu, & quod ipsius hæc signa sint, dicta sunt.



VARIÆ LECTIONES.

223 Sic Imp. Cornar. pro vulg. ταῦτα.

224 ἅτε τῆς ἑτέρης νούσου legisse videntur interpretes.

ΙΠΠΟΚΡΑΤΟΥΣ
ΠΕΡΙ ΠΑΘΩΝ.
HIPPOCRATIS
DE AFFECTIONIBUS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰ πλεῖςα τῶν μορίων νοσήματα, καὶ οἱ πυρετοὶ, καὶ τὰ ἕλκη, καὶ αἱ αὐτῶν αἰτίαι, καὶ τὰ σημεῖα, καὶ τὰ θεραπευτικὰ διδάσκονται· ἡ δίαιτα τοῖς νοσοῦσι καὶ τοῖς ὑγιάζουσιν ἐπιτήδειος διατάσσεται· αἱ σιτίων τινῶν δυνάμεις τε καὶ διαφοραὶ δηλοῦνται.

ARGUMENTUM LIBRI.

Plurimi partium morbi, febres, & ulcera, eorumque causæ, signa, & curationes docentur; victus tum ægris, tum convalescentibus idoneus constituitur; alimentorum quorumdam facultates & differentiæ explicantur.

Basil. Lat. III. 35. pag. 245. — Foesius Sect. V. 75. 516. — Basil. Græc pag. 179.

SECTIO I.

CAPUT I.

Quæ virum consultum in morbis curandis nosse deceat. Omnium morborum principium ac ortum a bile & pituita esse, & quomodo.



VIrum, quicunque mentis sit compos, perpendentem, quod plurimi ab hominibus æstimanda sit sanitas, nosse oportet a sua ipsius intelligentia in morbis emolumentum consequi: nosse autem decet, tum quæ a Medicis dicuntur, tum quæ suo corpori admoventur, eaque dijudicare: sed eorum nosse singula, prout privato consentaneum est. Hæc igitur noverit maxime, siquis horum cognitione

1

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνα τὸν συνετὸν ἄνδρα ἐπίςασθαι χρὴ ἐν τῷ τὰς νόσους θεραπεύειν. Ἁπάντων τῶν νοσημάτων ἀπὸ χολῆς καὶ φλέγματος τὴν ἀρχὴν καὶ τὴν γένεσιν εἶναι, καὶ κατὰ τίνα τρόπον.



ΝΔΡΑ χρὴ, " ὅςίς ἐςι συνετὸς, ' λογισάμενον ὅτι τοῖσιν ἀνθρώποισι πλεῖςου ἄξιόν ἐςιν [1] ἡ ὑγιείη, ἐπίςασθαι ἀπὸ τῆς ἑωϋτοῦ γνώμης ἐν τῆσι νούσοισιν ὠφελέεσθαι· ἐπίςασθαι δὲ [2] τὰ ἀπὸ τῶν ἰητρῶν καὶ λεγόμενα καὶ προσφερόμενα πρὸς τὸ σῶμα τὸ ἑωϋτοῦ, καὶ διαγινώσκειν· ἐπίςασθαι δὲ τούτων ἕκαςα, ὅσον εἰκὸς ἰδιώτην. Ταῦτ' οὖν [3] ἐπίςαιτο ἄντις μάλιςα, εἰδὼς καὶ

VARIÆ LECTIONES.

Hic liber περὶ παθῶν, *seu* de affectionibus, *utrum sit Hippocratis, an Polybi, dubitat Galenus, cumque nihil decernat, sed ejus auctoritate tanquam gravi ad confirmandam propriam sententiam utatur, minime pro spurio est habendus, eo maxime, quod Libr. II. textu 38. scribit, in eo multa esse bene scripta, licet Hippocratica non sint: constat tamen ex eo integras sententias deprompsisse, ut etiam scripto tradidit Manardus Ep. 1. Libr. II. & in Exegesi vocum obscurarum Hipp.* τελεῖν, consumere *ex hoc libro citasse. Ceterum ex his, quæ in hujus libri exordio continentur, patet hoc opus conscripsisse Hipp. in gratiam eorum, qui cum Medici non sint; Medico tamen egere possint, in quo ea tractantur, quæ ignorare non decet, quicunque sese rei medicæ curandæ tradiderint. Quia vero cum Plebeis sermo habetur, quibus artem exactam callere non est opportunum: ideo obscura & difficilia studio prætermisit, quæ eorum captui minime accommodantur.*

1 Sic scripsimus ex MS. cod. inserto articulo ἡ, quæ lectio vulgata melior est. Deinde pro ἐν τῆσι νούσοισιν, MS. cod. scribit ἐν τῆσι νούσοισιν, quæ lectio probatur.

2 Pro τὰ ἀπὸ τῶν ἰητρῶν, MS. Cod. τὰ ὑπὸ κ. τ. λ. Postea τὸ ἑωϋτοῦ, in MS. Cod. ἑωϋτοῦ legitur omisso τό.

3 Asul. exemplara legunt ἐπίςαιτο.

καὶ ἐπιτηδεύων τάδε. Νουσήματα τοῖσιν ἀνθρώποισι γίνεται ἅπαντα ὑπὸ χολῆς καὶ φλέγματος· ἡ δὲ χολὴ καὶ τὸ φλέγμα τὰς νούσους παρέχει, ὅταν ἐν τῷ [4] σώματι, ἢ ὑπερξηραίνηται, ἢ ὑπερυγραίνηται, ἢ ὑπερθερμαίνηται, ἢ ὑπερψύχηται. Πάσχει δὲ ταῦτα τὸ φλέγμα καὶ ἡ χολὴ, καὶ ἀπὸ σιτίων, [5] καὶ ποτῶν, καὶ ἀπὸ πόνων, καὶ τρωμάτων, καὶ ἀπὸ ὀσμῆς, καὶ ἀκοῆς, καὶ ὄψιος, καὶ λαγνείης, καὶ ἀπὸ τοῦ θερμοῦ τε καὶ ψυχροῦ· πάσχει δὲ ὅταν τούτων ἕκαστα τῶν εἰρημένων, ἢ μὴ ἐν τῷ δέοντι προσφέρηται [6] τῷ σώματι, ἢ μὴ τὰ εἰωθότα, ἢ πλείω τε καὶ ἰσχυρότερα, ἢ ἐλάσσω τε καὶ ἀσθενέστερα. Τὰ μὲν οὖν νουσήματα γίνεται τοῖσιν ἀνθρώποισιν ἅπαντα ἀπὸ τούτων· δεῖ καὶ πρὸς ταῦτα [7] τὸν ἰδιώτην ἐπίστασθαι, ὁκόσα εἰκὸς γινώσκειν ἰδιώτην· ὅσα δὲ τοὺς χειροτέχνας εἰκὸς ἐπίστασθαι καὶ προσφέρειν καὶ διαχειρίζειν, [8] περὶ δὲ τούτων καὶ τῶν λεγομένων καὶ τῶν ποιευμένων, οἷόν τε ἐστὶ τὸν ἰδιώτην γνώμῃ τινὶ ξυμβάλλεσθαι. Ἤδη οὖν τούτων ὁκόθεν [9] ἕκαστα δεῖ ἐπίστασθαι, ἐγὼ φράσω.

ac studio tenetur. Morbi omnes hominibus a bile & pituita oriuntur: bilis autem & pituita morbos excitant, quum in corpore supra modum vel resiccantur vel humectantur, vel incalescunt vel refrigerantur. Hæc vero pituitæ & bili a cibis, a potibus, a laboribus, a vulneribus, odoratu, auditu, visu, rebus venereis, & a calore & a frigore contingunt: eveniunt autem, quum ex his dictis quæque aut non opportuno tempore corpori exhibentur, aut insueta, aut copiosiora & valentiora, aut pauciora & imbecilliora. Ab his quidem morbi omnes hominibus oriuntur: ad hæc autem privatum nosse oportet, quæ privatum cognoscere consentaneum est: quæ vero artifices nosse, adhibere, & pertractare decet; eorum etiam, quæ dicuntur & fiunt, fieri potest, ut privatus ex intelligentia quadam conjecturam faciat. Jam igitur, unde horum, quodque nosse oporteat, ego depromam.

ΚΕΦΑΛΑΙΟΝ Β′.

Περὶ τῶν νοσημάτων τῶν ἀπὸ τῆς κεφαλῆς ἐκ τοῦ φλέγματος φυομένων, τῶν τῆς κεφαλῆς τε καὶ ὤτων ἀλγημάτων, καὶ τῆς φάρυγγος φλεγμονῆς, καὶ τῆς σταφυλῆς, καὶ τῆς ὀδονταλγίας, καὶ τοῦ πολύπου, καὶ τῆς αὐτῶν θεραπείας.

Ἢν ἐς τὴν κεφαλὴν ὀδύναι ἐμπέσωσι, τότε τὴν κεφαλὴν ξυμφέρει διαθερμαίνειν λούοντα πολλῷ καὶ θερμῷ, καὶ πταρμὸν [10] ποιέοντα, φλέγμα καὶ μύξας ὑπάγειν. Καὶ, ἢν μὲν πρὸς ταῦτα ἀπαλλάσσηται τῆς ὀδύνης, ἀρκεῖ ταῦτα· ἢν δὲ μὴ ἀπαλλάσσηται, καθῆραι τὴν κεφαλὴν φλέγμα· διαιτᾷν δὲ ῥοφήματι καὶ ποτῷ ὕδατι. Οἶνον δὲ μὴ προσφέρειν, ἔστ' ἂν ἡ [11] περιωδυνίη παύσηται· τὸν γὰρ οἶνον ὅταν θερμὴ ἐοῦσα ἡ κεφαλὴ σπάσει, ἡ περιωδυνίη ἰσχυροτέρη γίνεται. Τὰ δὲ ἀλγήματα ἐσπίπτει ὑπὸ τοῦ φλέγματος, ὅταν ἐν τῇ κεφαλῇ κινηθὲν ἀθροισθῇ· ἢν δὲ ἄλλοτε καὶ ἄλλοτε ὀδύνη καὶ σκοτοδινίη ἐμπίπτει ἐς τὴν κεφαλὴν, ὠφελέει μὲν καὶ ταῦτα προσφερόμενα· ὠφελέει δὲ καὶ ἢν αἷμα ἀφαιρεθῇ ἀπὸ τῶν μυκτήρων, ἢ ἀπὸ τῆς φλεβὸς τῆς ἐν τῷ μετώπῳ. 2 Ἢν δὲ πολυχρόνιον καὶ ἰσχυρὸν τὸ νούσημα ἐν τῇ κεφαλῇ γίνεται, καὶ μὴ ἀπαλλάσσηται καθαρθείσης τῆς κεφαλῆς, ἢ

CAPUT II.

De morbis a capite ex pituita ortum ducentibus, doloribus capitis & aurium, faucium inflammatione, uvula, dentium doloribus, polypo, & eorum curatione.

Si in caput dolores inciderint, hujus (ægri) caput multæ calidæ lotione calefacere confert, & sternutamento excitato pituitam ac mucos subducere. Quibus, si dolore liberetur, hæc satis sunt: si vero non liberetur, caput pituita repurgandum: in victu autem sorbitio, & in potu aqua sit. Vinum autem minime offerendum, quoad dolor sedetur: vehementior enim dolor evadit, si caput, dum calidum fuerit, vinum attraxerit. Dolores autem ex pituita ingruunt, quum in capite commota, coacervata fuerit: quod si alias atque alias dolor & tenebricosa vertigo in caput incidat, hæc quidem admota prosunt; juvat etiam sanguis ex naribus, aut ex vena frontis detractus. At si diuturnus & vehemens capitis morbus evadat, neque capite purgato tollatur, aut hu-

VARIÆ LECTIONES.

4 MS. cod. σώματι ὑπερυγραίνηται, ἢ ὑπερξηραίνηται, in corpore supra modum *humectantur, vel resiccantur.*

5 Sic emendavimus ex MS. cod. & Imp. Samb. pro vulgatis: καὶ ἀπὸ ποτῶν, καὶ ἀπὸ πόνων, καὶ ἀπὸ τρωμάτων, καὶ ὀσμῆς, καὶ ἀκοῆς, καὶ ὄψιος, καὶ λαγνείης, καὶ ἀπὸ τοῦ θερμοῦ, καὶ ἀπὸ τοῦ ψυχροῦ.

6 τῷ σώματι, in Imp. Sambuci Cod. τῷ deletur.

7 τὸν ἰδιώτην quædam exemplaria, ut ante, scribunt inserto τόν.

8 In Imp. Sambuci Cod. legitur: περὶ δὲ τούτων καὶ τῶν, inserto καί. Deinde pro οἷόν τε εἶναι, ex Imp. Corn. Cod. scripsimus οἷόν τε ἐστι.

9 In MS. Cod. legitur ἕκαστα δεῖ τὸν ἰδιώτην, insertis τὸν ἰδιώτην.

10 Pro ποιέοντα, MS. Cod. habet ποιεῦντα.

11 MS. Cod. utroque in loco περιωδύνη habet, pro περιωδυνίη. Deinde pro παύσηται, *sedetur*, Lindenus scribit: πρηΰνηται, *leniatur.*

hujus caput scarificare, aut venas in circuitu adurere oportet; inter cætera enim ab his duntaxat sanum fore spes est. Ægroti statim per initia constitutionis morborum spectandi sunt, qua re opus habeant, & quales sint ut pharmaco purgentur, aut ut aliud, quodcunque aliquis voluerit, exhibeatur; at si omisso principio, ad finem procedente morbo exhibueris, confecto jam corpore, veritus vehemens quiddam adhibere, periculum est, ne magis frustreris, quam successum consequaris. Si dolor ad aures irruerit, multa calida lavare & aures fovere confert; & si quidem ad hæc cesserit pituita attenuata e capite, dolorque cessaverit; hæc satis sunt: sin minus, cæterorum fuerit optimum, medicamentum propinare, quod sursum pituitam purget; aut caput eo purgare, quo capitis pituita purgatur. Hic vero dolor etiam oboritur, quum intrinsecus ad meatum auditorium pituita ex capite illapsa fuerit. At si fauces inflammatione afficiantur, oris collutionibus utendum: hæc autem etiam a pituita nascuntur. Si vero gingivæ, aut pars quædam sub lingua inflammatione laboret, mansoriis utendum: hæc vero a pituita etiam fiunt. Si uva suspensa fuerit, & suffocarit (curgulionem nonnulli hoc vocant) statim quidem gargarismis apparatis, velut in medicamentis scriptum est, utendum. Quod si ex his gracilis non evadat, occipitio deraso cucurbitulæ duæ admovendæ, & sanguis plurimus detrahendus, pituitæque fluxus in posteriora revellendus: si vero neque his subsidat, scalpello, ut aqua educatur, incidito. Sectio autem facienda est, ubi summa ejus pars subrubra evaserit: ac nisi talis facta secetur, inflammari consuevit, interdumque derepente suffocat. Hoc vero etiam a pituita fit, ubi calefacto capite, ex eo confertim defluxerit. In dentium autem doloribus, si (dens) quidem erosus fuerit & mobilis, eximendus; quod si neque erosus fuerit, neque moveatur, sed dolorem inferat, ustione resiccandus: prosunt etiam quæ commanducantur. Dolores autem oriuntur, quum pituita sub dentium radices subierit. Exeduntur autem & eroduntur, partim quidem a pituita, partim vero a cibis, si natura debiles fuerint, & cavitatem habeant, ac in gingivis male in-

σχάσαι δεῖ τούτου τὴν κεφαλὴν, ἢ τὰς φλέβας κύκλῳ ἀποκαῦσαι· τῶν γὰρ λοιπῶν, ἀπὸ τούτων μοῦνον, ἐλπὶς ὑγιέα γενέσθαι. Τοὺς νοσέοντας χρὴ σκοπεῖν εὐθὺς ἀρχομένους ἐν τῇ καταστάσει τῶν νουσημάτων, ὅτου ἂν δέωνται, καὶ οἵους τε ὄντας φαρμακευθῆναι, καὶ ἄλλο ὅπερ ἄν τις θέλῃ προσενέγκαι· ἢν δὲ τὴν ἀρχὴν παρεὶς, τελευτώσης τῆς νούσου προσφέρῃς, ἐν ἀπειρηκότι ἤδη τῷ σώματι δεδιὼς ἰσχυρόν τι προσενέγκαι, κίνδυνος ἁμαρτανειν μᾶλλον, ἢ ἐπιτυγχάνειν. Ἢν ἐς τὰ ὦτα ὀδύνη ἐμπέσῃ, λούειν ξυμφέρει πολλῷ καὶ θερμῷ, καὶ πυριῇν τὰ ὦτα· καὶ, ἢν μὲν πρὸς ταῦτα περιΐσηται τὸ φλέγμα λεπτυνόμενον ἀπὸ τῆς κεφαλῆς, καὶ ἡ ὀδύνη ἀπολείπῃ, ἀρκέει ταῦτα· ἢν δὲ μὴ, τῶν λοιπῶν ἄριστον [12] φαρμάκον πῖσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει· ἢ τὴν κεφαλὴν καθῆραι, ᾧ καθαίρεται τὸ τῆς κεφαλῆς φλέγμα. Τὸ δὲ ἄλγημα καὶ τοῦτο γίνεται, ὅταν ἔσωθεν πρὸς τὴν ἀκοὴν φλέγμα [13] ἐκ τῆς κεφαλῆς προσπέσῃ. Ἢν δὲ τὰ παρὰ τὴν φάρυγγα [14] φλεγμήνῃ, ἀναγαργαρίζειν χρή· γίνεται δὲ καὶ ταῦτα ἀπὸ φλέγματος. Ἢν δὲ τὰ οὖλα, ἤ τι τῶν ὑπὸ γλώσσῃ φλεγμαίνῃ, διαμασσητοῖσι χρῆσθαι· ἀπὸ φλέγματος δὲ καὶ ταῦτα γίνεται. Ἢν δὲ ἡ σταφυλὴ κατακρεμασθῇ καὶ πνίγῃ (ἔνιοι δὲ τοῦτο καλέουσι γαργαρεῶνα) παραχρῆμα μὲν τοῖσιν [15] ἀναγαργαλίκτοισι χρῆσθαι, σκευάζων, ὡς γέγραπται ἐν τοῖσι φαρμάκοισιν. Ἢν δὲ πρὸς ταῦτα μὴ ἰσχνὴ γένηται, ὄπισθεν ξυρήσαντα τὴν κεφαλὴν, σικύας προσβάλλειν δύο, καὶ τοῦ αἵματος ἀφαιρέειν ὡς πλεῖστον, καὶ ἀνασπᾶσαι ὀπίσω τὸ ῥεῦμα τοῦ φλέγματος· [16] ἢν δὲ μὴ τούτοισι καθίσηται, σχάσαντα μαχαιρίῳ, τὸ ὕδωρ ἐξαγαγεῖν. Σχάζειν δὲ, ὅταν τὸ ἄκρον ὑπέρυθρον γίνεται· ἢν δὲ μὴ τοιοῦτον γενόμενον τμηθῇ, φλεγμαίνειν θέλει, καὶ ἔστιν ὅτε ἐξάπινον ἔπνιξε. Γίνεται δὲ καὶ τοῦτο ὑπὸ φλέγματος, ὅταν ἐκ τῆς κεφαλῆς [17] θαλφθείσης, ἀθρόον καταῤῥυῇ. Ὅσα δὲ περὶ ὀδόντας γίνεται ἀλγήματα, ἢν μὲν βεβρωμένος ᾖ, καὶ κινέεται, ἐξαιρέειν· ἢν δὲ μὴ βέβρωται, [18] μηδὲ κινέηται, ὀδύνην δὲ παρέχει, καύσαντα ἀποξηρῆναι· ὠφελέει δὲ καὶ τὰ διαμασσήματα. Αἱ δὲ ὀδύναι γίνονται, ὅταν φλέγμα ὑπέλθῃ ὑπὸ τὰς ῥίζας τῶν ὀδόντων. [19] Ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν ἀπὸ φλέγματος, οἱ δὲ ἀπὸ σιτίων, ἢν φύσει ἀσθενέες ἔωσι, καὶ κοιλίην ἔχοντες, καὶ πεπηγότες ἐν τοῖσιν οὔλοισι

VARIÆ LECTIONES.

12 φαρμάκων mendose vulgati Codd. pro quo MS. Cod. φάρμακον.

13 ἀπὸ τῆς κεφαλῆς MS. cod. ubi ἀπὸ pro ἐκ legitur.

14 MS. cod. φλεγμαίνῃ, ἀναγαργαρίστοις χρῆσθαι scribit, quam lectionem notat Imp. Sambuc. sed ἀναγαργαλίκτοισι legit ille, quemadmodum infra habetur pro ἀναγαργαρίζειν. Deinde in MS cod. legitur: ταῦτα ὑπὸ φλέγματος· ἢν δὲ τὰ οὖλα, ἢ τῶν ὑπὸ τὴν γλῶσσαν τί φλεγμαίνῃ διαμασσητοῖσι χρῆσθαι.

15 MS. Cod. ἀναγαργαρίστοισι scribit, quam lectionem amplectitur Lindenus.

16 Sic multo melius MS. Cod. quæ lectio Lindeno probatur; quædam exempl. vero: ἢν δὲ μὴ δὲ τούτοισι scribunt. Paulo post ἐξιέναι MS. Cod. eamque lectionem notant Imp. Sambuc. & Fevr. sed videtur esse quædam explicatio τοῦ ἐξαγαγεῖν.

17 Sic ex MS. cod. scripsimus, pro vulgato θαλφείσης.

18 ἢν μὴ κινέεται, aut non movetur, MS. Cod. & Imp. Samb.

19 MS. Cod. ἐσθίονται δὲ οἱ μὲν ὑπὸ φλέγματος· οἱ δὲ ὑπὸ σιτίων, habet, pro ἐσθίονται δὲ καὶ βιβρώσκονται, οἱ μὲν ἀπὸ φλέγματος, οἱ δὲ ἀπὸ σιτίων.

λοισι κακῶς. Ἢν δὲ ἐν τῇ ῥινὶ πόλυπος ἐγγένηται, οἷον [20] πρῆσμα, πνέεταί τε 4 καὶ ἀπογκέει ἐκ τοῦ μυκτῆρος εἰς τὸ πλάγιον. Ἐξαιρέεται δὲ βρόχῳ διελκόμενος ἐς τὸ σόμα ἐκ τῆς ῥινός· οἱ δὲ καὶ φαρμάκοισιν ἐκσήπονται. Φύεται δὲ ὑπὸ φλέγματος. Ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς φύονται νουσήματα, πλὴν ὀφθαλμῶν· [21] ταῦτα δὲ ἰδίως γεγράψεται.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῶν κατὰ κοιλίαν νοσημάτων ὀξέων, τῶν ἐν χειμῶνι ἰσχυράτατων, τῆς πλευρίτιδος, καὶ τῆς περιπνευμονίας, καὶ τοῦ καύσου, καὶ τῆς φρενίτιδος· καὶ ἄλλων κουφοτέρων, τῶν κατὰ χειμῶνα ἐς ὀξέα μεταβαλλομένων· καὶ περὶ τῆς αὐτῶν ἁπάντων μεταβολῆς, καὶ αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

ΠΕρὶ δὲ τῶν κατὰ κοιλίην νουσημάτων, ἐνθυμέεσθαι χρὴ τάδε. Πλευρῖτις, περιπνευμονίη, καῦσος, φρενῖτις· αὗται καλέονται ὀξεῖαι, καὶ γίνονται μὲν μάλισα καὶ ἰσχυρότατα τοῦ χειμῶνος, γίνονται δὲ, καὶ τοῦ θέρεος, ἧσσον δὲ, καὶ μαλακώτεραι. Ἢν δὲ παρατύγχάνῃς, [22] ταῦτα ἂν καὶ ποιέων καὶ ξυμβουλεύων τυγχάνῃς μάλισα. Πλευρῖτις. Πυρετὸς ἴσχει, καὶ τοῦ πλευροῦ ὀδύνη, καὶ ὀρθοπνοίη, καὶ βὴξ, καὶ τὸ σίαλον κατ᾽ ἀρχὰς μὲν ὑπόχολον πτύει· ἐπειδὰν δὲ πεμπταῖος γένηται ἢ ἑκταῖος, καὶ ὑπόπυον. Τούτῳ τοῦ μὲν πλευροῦ τῆς ὀδύνης διδόναι, ὅ, τι ἀποςήσει ἀπὸ τοῦ πλευροῦ τό, τε φλέγμα καὶ τὴν χολήν· ἡ γὰρ ὀδύνη οὕτως ἂν εἴη μαλακωτάτη· [23] τὴν δὲ κοιλίην θεραπεύειν ὑπάγοντι καὶ ψύχοντι κλύσματι. Οὕτω γὰρ τῇ νούσῳ τῇ ξυμπάσῃ συμφορώτατα. Προσφέρειν δὲ ποτόν τε καὶ ῥόφημα, [24] καὶ τὰ πόματα διδόναι ὀξύτερα, ὡς τὸ σίαλον ἀνακαθαίρηται ἀπὸ τοῦ πλευροῦ. Ὅταν δὲ καθαίρεσθαι ἄρξηται τὸ πῦον, θερμαίνοντα ξυμφέρει τὸ πλευρὸν ἔξωθεν, πεπαίνειν [25] τὰ πρὸς τὸ πλεύρον· πρόσθεν δὲ οὐ ξυμφέρει, ξηραίνεται γάρ. Γίνεται δὲ ἡ νοῦσος αὕτη, μάλισα μὲν [26] ἐκ ποσίων, ὅταν τις ὑγράζοντος τοῦ σώματος, ἢ μεθύων, ἢ νήφων ῥιγώσῃ· γίνεται δὲ καὶ ἄλλως. Κρίνεται δὲ ἡ νοῦσος, ἡ μὲν βραχυτάτη, ἑβδόμη· ἡ δὲ μακροτάτη, τετάρτῃ καὶ δεκάτῃ·

fixi sint. Si polypus in nare innascatur, velut flatulentus tumor, ex naso in obliquum respirans difflatur, ac intumescit. Eximitur autem laqueo ad os ex naso pertractus: quidam etiam medicamentis tabefaciunt. A pituita autem nascitur. Atque hi quidem morbi sunt, qui a capite ortum ducunt, præter oculorum (morbos) de quibus seorsim scribetur.

CAPUT III.

De morbis ventris acutis, hieme vehementissimis, pleuritide, peripneumonia, febre ardente, phrenitide; ac aliis levioribus hieme in acutos transeuntibus; eorumque omnium mutatione, causis, signis, & curatione.

AT vero in ventris morbis hæc animadvertenda sunt. Pleuritis, peripneumonia, febris ardens, & phrenitis: hi (morbi) acuti vocantur; & maximi quidem & vehementissimi hieme oriuntur; oriuntur quoque per æstatem, sed minus, & leviores. Quod si tibi forte contigerint, hæc faciens & consulens, maxime voti compos fies. Pleuritis. Febris detinet, lateralis dolor, erecta cervice spiratio, tussis, & sputum per initia quidem subbiliosum expuit; postquam autem quintum aut sextum diem attigerit, etiam suppurulentum. Huic ad lateris dolorem, quod pituitam & bilem a latere deducat, dandum est; dolor enim sic levissimus fuerit: ventrem vero subducente & refrigerante clystere curare oportet. Sic enim universo morbo maxime confert. Exhibendus etiam potus, & sorbitio, & potiones acidiores propinandæ, quo sputum de latere repurgetur. Quum vero pus repurgari cœperit, latus extrinsecus calefaciendo, quæ circa latus sunt, maturare conducit; prius autem non confert, propterea quod resiccetur. Oritur autem hic morbus ex potibus maxime, quum quis humecto corpore, aut temulentus, aut sobrius riguerit; fit etiam aliter. Judicatur autem hic morbus, brevissimus quidem septimo die, longissimus autem decimo quarto; quo

Variæ Lectiones.

20 Vulgati codd. πρῆγμα hoc in loco legunt. Sed ex MS. Cod. πρῆσμα scripsimus, quod Gal. in Exegesi exponitur, ἐμφύσημα, *inflatio*. Plura Foës. in Oecon. voce Ἀγρηθῶσιν. Præterea pro πνέεται, in MS. Cod. legitur: πνίγεται, *suffocatur*; ast Foësius τείνεται legendum esse existimat.

21 Pro ταῦτα δὲ ἰδίως γεγράψεται, in MS. Cod. legitur ταῦτα δὲ χωρὶς γεγράψεται.

22 ταῦτα δ᾽ ἂν καὶ ποιῶν καὶ συμβουλεύων τυγχάνοις MS. Cod. Deinde πυρετὸς ἔχει scribit MS. Cod. ubi ἔχει, pro ἴσχει habetur.

23 τὴν δὲ κοιλίην ὑπάγειν θεραπεύοντα, καὶ ψύχοντα κλύσματι scribitur in MS. Cod.

24 καὶ τὰ πόματα διδόναι δὲ ὀξύτερον, *& potiones; acidiores vero propinandæ*, MS. Cod.

25 MS. Cod. τὰ πρὸς τῷ πλευρῷ habet, pro τὰ πρὸς τὸν πλεύρον.

26 ἐκ ποσίων MS. cod. quæ lectio probatur, eamque adhibuit Lind. pro ἐκ πόσιος.

quo quidem si pus a latere per sputum rejectum & repurgatum fuerit, sanus evadit: si vero minime exputum fuerit, purulentus fit, & morbus longior. Judicari autem in morbis est, quum morbi augescunt, aut exolescunt, aut in alium morbum transeunt, aut desinunt. Peripneumonia. Febris detinet, & tussis, & primum quidem pituitam crassam & puram excreat; sexto vero ac septimo die aliquantulum biliosam, & sublividam; octavo autem & nono, pure permixtam. Huic si dorsi aut laterum dolor oboriatur, exhibeto quod in pleuritide ad lateris dolorem in medicamentorum tractatione scriptum est. Potibus autem & sorbitionibus, alvi etiam subductione ac refrigeratione, iisdem, quibus in pleuritide, curatio facienda est: ut autem sputum & pus ex pulmonibus sursum educatur, exhibenda sunt in potu medicamenta, quibus pulmo humectatur, & pus per superiora repurgatur. Hic autem morbus oritur, quum pituita ex capite confertim ad pulmonem defluxerit: interdum vero, quum ex pleuritide in peripneumoniam, & febrem ardentem transitus fit. Judicatur autem brevissimus quidem decimoquarto die, longissimus vero duodevigesimo. Hunc pauci effugiunt, & ex hoc morbo suppurati evadunt; nisi pulmo judicatoriis diebus purgatus fuerit. Quum phrenitis prehenderit, primum levis febris detinet, & dolor circa hypochondria, magis autem dextra ad hepar: quum autem quartus aut quintus dies accesserit, tum febris vehementior, dolores uti & fiunt, colorque aliquantulum biliosus efficitur, & mentis læsio. Huic ad dolorem (eadem) quæ in pleuritide exhibenda sunt, & ubi dolor detinet, tepefacientia admovenda: sed & alvus curanda, eademque reliqua excepto potu facienda. Potu quovis alio, præterquam vino utendum; aut acetum, & mel, & aqua exhibenda. Vinum autem mente læsa, neque in hoc morbo, neque in quibusvis aliis confert. In hoc autem morbo etiam caput multa calida lavare conducit: emollito enim corpore, sudor magis quoque oritur, & alvus & urina secedit, ipseque sui magis compos evadit. Hic morbus oritur a bile commota, ubi ad viscera,

καὶ, ἢν μὲν ἐν ταύτῃ πτυσθῇ καὶ καθαρθῇ τὸ πῦον ἀπὸ τοῦ πλευροῦ, ὑγιὴς γίνεται· ἢν δὲ μὴ πτυσθῇ, ἔμπυος γίνεται, καὶ ἡ νοῦσος μακρή.

5 " Κρίνεσθαι δέ ἐστιν ἐν τῇσι νούσοισιν, ὅταν αὔξωνται αἱ νοῦσοι, ἢ μαραίνωνται, ἢ μεταπίπτωσιν ἐς ἕτερον νούσημα, ἢ τελευτῶσιν. Περιπλευμονίη. Πυρετὸς ἴσχει, καὶ βήξ, καὶ ἀποχρέμπτεται, τὸ μὲν πρῶτον φλέγμα παχὺ [27] καὶ καθαρόν· τῇ ἕκτῃ δὲ καὶ ἑβδόμῃ ὑπόχολον καὶ ὑποπέλιον· ὀγδόῃ δὲ καὶ ἐννάτῃ ὕποπυον. Τούτῳ ἢν μὲν ὀδύνη ἐγγένηται ἢ τοῦ νώτου ἢ τῶν πλευρέων, διδόναι ὅπερ ἐν τῇ πλευρίτιδι, τοῦ πλευροῦ τῆς ὀδύνης, ἐν τῇ φαρμακίτιδι γέγραπται. Ποτοῖσι δὲ καὶ ῥοφήμασι, καὶ τῆς κοιλίης ἐς τὴν ὑποχώρησιν καὶ ψύξιν, [28] κατὰ ταῦτα θεραπεύειν τῇ πλευρίτιδι· ὅκως δὲ τὸ σίαλον ἐκ τοῦ πλεύμονος [29] ἀνακαθᾶραι καὶ τὸ πῦον, διδόναι φάρμακα ποτά, οἷσιν ὁ πλεύμων ὑγραίνεται καὶ καθαίρεται τὸ πῦον ἄνω. Ἡ δὲ νοῦσος αὕτη γίνεται, ὅταν ἐκ τῆς κεφαλῆς φλέγμα ἀθρόον ῥυῇ ἐς τὸν πλεύμονα· ἔστι δ' ὅτε καὶ ἐκ πλευρίτιδος μεθίεται ἐς περιπλευμονίην [30] καὶ νοῦσον. Κρίνεται δὲ ἐν ἡμέρῃσιν, ἡ μὲν βραχυτάτη, ἐν τεσσαρεσκαίδεκα· ἡ δὲ μακροτάτη, ἐν δυοῖν δεούσαις εἴκοσι. Διαφεύγουσι δὲ ταύτην ὀλίγοι· γίνονται δὲ καὶ ἔμπυοι ἐκ ταύτης τῆς νούσου· ἢν μὴ ἐν τῇσι κυρίῃσιν ὁ πλεύμων καθαρθῇ. Φρενῖτις ὅταν λάβῃ, πυρετὸς ἴσχει βληχρὸς τὸ πρῶτον, καὶ ὀδύνη πρὸς τὰ ὑποχόνδρια, [31] μᾶλλον δὲ πρὸς τὰ δεξιά, ἐς τὸ ἧπαρ· ὅταν δὲ τεταρταῖος γένηται καὶ πεμπταῖος, ὅ, τε πυρετὸς ἰσχυρότερος γίνεται, καὶ αἱ ὀδύναι, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τοῦ νοῦ παρακοπή. Τούτῳ τῆς μὲν ὀδύνης, ἅπερ ἐν τῇ πλευρίτιδι διδόναι, καὶ χλιαίνειν, [32] ἵν' ἡ ὀδύνη ἔχῃ· καὶ τὴν κοιλίην δὲ θεραπεύειν, καὶ τἄλλα ποιέειν τὰ αὐτά, πλὴν τοῦ ποτοῦ. Ποτῷ δὲ χρῆσθαι τῶν ἄλλων ὅτῳ ἂν ἐθέλῃς, πλὴν οἴνου, ἢ ὄξος καὶ μέλι καὶ ὕδωρ διδόναι. Οἶνος δὲ οὐ ξυμ-

6 φέρει τοῦ νοῦ [33] παρακοπέντος, " οὔτε ἐν ταύτῃ τῇ νούσῳ, [34] οὔτ' ἐν τῇσιν ἄλλῃσι. Λούειν δὲ πολλῷ καὶ [35] θερμῷ κατὰ τῆς κεφαλῆς ἐν ταύτῃ τῇ νούσῳ ξυμφέρει· μαλασσομένου γὰρ τοῦ σώματος, καὶ ἱδρὼς μᾶλλον γίνεται, καὶ ἡ κοιλίη καὶ τὸ οὖρον διαχωρέει, καὶ αὐτὸς ἑαυτοῦ ἐγκρατέστερος γίνεται. Ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα πρὸς τὰ σπλάγχνα, 181
καὶ

Variæ Lectiones.

27 MS. cod. καὶ καθαρόν· ἕκτη δὲ καὶ ἑβδόμη scribit, omisso articulo τῇ ante ἕκτῃ.

28 καὶ ταῦτα Imp. Sambuci Cod. sed Fevr. legit: καὶ κατὰ ταὐτά.

29 Pro ἀνακαθᾶραι, in MS. Cod. scribitur ἀνακαθαίρηται. Deinde in MS. Cod. habetur: οἷσιν ὁ πλεύμων καθαίρεται, καὶ ὑγραίνεται τὸ πῦον ἄνω, *quibus pulmo purgatur, & pus per superiora humectatur.*

30 καὶ καῦσον, pro quo MS. cod. scribit καὶ ἐκ καύσου. Paulo post δυοῖν δεούσαιν idem legit.

31 μᾶλλον δὲ ἐς τὰ δεξιά, πρὸς τὸ ἧπαρ, Imp. Sambuci & Fevr.

32 Pro ἵν' ἡ ὀδύνη, MS. cod. ἣν ὀδύνη. Postea pro τἄλλα ποιέειν τὰ αὐτά, πλὴν, Imp. Sambuci & Fevr. scribunt: καὶ τ' ἄλλα τοῖσι ταυτοῖσι ποιέειν, πλὴν κ. τ. λ. MS. Cod. vero hunc locum sic habet: καὶ τ' ἄλλα τοῖσιν αὐτοῖσι· πλὴν τοῦ πότου. Ποτῷ δὲ χρῆσθαι πλὴν οἴνου τῶν ἄλλων ὅτῳ ἂν θελήσῃς, ὄξος καὶ μέλι.

33 παρακέκλοντος MS. cod. scribit pro παρακοπέντος.

34 Vulgati codd. οὔτε ἐν ἑτέρῃσιν ἄλλῃσι legunt, pro quibus MS. cod. οὔτ' ἐν τῇσιν ἄλλῃσι, quæ lectio optima est, & nos sequimur.

35 Sic MS. cod. pro vulgatis θερμῷ καὶ κατὰ τὴν κεφαλήν.

καὶ τὰς φρένας προσίζῃ· [36] ἡ δὲ νοῦσος κρίνεται, ἡ μὲν βραχυτάτη, ἑβδομαίη, ἡ δὲ μακροτάτη, ἑνδεκαταίη· διαφεύγουσι δὲ καὶ ταύτην ὀλίγοι·
7 μεθίσταται δὲ καὶ [37] αὐτὴ ἐς περιπλευμονίην· καὶ, ἢν μεταστῇ, ὀλίγοι διαφεύγουσιν. Καῦσος δὲ ὅταν ἔχῃ, πυρετὸς ἴσχει, καὶ δίψα ἰσχυρὴ, καὶ ἡ γλῶσσα τρηχείη, καὶ μέλαινα γίνεται, [38] ὑπὸ θερμότητος τοῦ πνεύματος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τὰ ὑπιόντα χολώδεα· καὶ τὰ μὲν ἔξω ψυχρὸς γίνεται· [39] τὰ δ᾽ εἴσω λίαν θερμός.
8 Τούτῳ ξυμφέρει ψύγματα προσφέρειν, καὶ πρὸς τὴν κοιλίην, καὶ ἔξωθεν πρὸς τὸ σῶμα, [40] φυλασσόμενος μὴ φρίξῃ· καὶ τά τε πόματα καὶ τὰ ῥοφήματα διδόναι πυκνὰ, καὶ κατ᾽ ὀλίγον, ὡς ψυχρότατα. Τὴν δὲ κοιλίην θεραπεύειν· [41] κἢν μὲν μὴ ὑποχωρέῃ τὰ ἐνεόντα, κλύσαι· [42] ψύχειν δὲ κλύσμασιν ὡς ψυχροτάτοισιν, ἢ ὁσημέραι, ἢ διὰ τρίτης. Ἡ δὲ νοῦσος αὕτη γίνεται ὑπὸ χολῆς, ὅταν κινηθεῖσα ἐντὸς τοῦ σώματος καταστηρίξῃ. Φιλέει δὲ καὶ ἐς περιπλευμονίην μεθίστασθαι· [43] κρίνεται δὲ ἡ μὲν βραχυτάτη ἐννάτῃ· ἡ δὲ μακροτάτη, τεσσαρεσκαιδεκάτῃ. [44] Καὶ, ἢν μὲν μεταστῇ ἐς περιπλευμονίην, ὀλίγοι διαφεύγουσιν· ἢν δὲ μὴ μεταστῇ, διαφεύγουσι πολλοί. Αὗται μὲν οὖν ὀξεῖαι καλέονται, καὶ δεῖ ταύτας οὕτω θεραπεύειν. Ὁκόσοι δὲ ἄλλοι τοῦ χειμῶνος πυρετοὶ γίνονται, εἴτε ἐξ οἴνου, εἴτε ἐκ κόπου, [45] εἴτε ἐξ ἄλλου τινὸς, φυλάσσεσθαι χρή· μεθίστανται γὰρ ἐνίοτε ἐς τὰς ὀξείας νούσους· ἡ δὲ μετάστασις αὐτῶν τοιαύτη γίνεται. [46] Ὅταν τῶν δύο κεκινημένων τοῦ φλέγματός τε καὶ τῆς χολῆς, μὴ τὰ ξυμφέροντα προσφέρηται τῷ σώματι, συστρεφόμενα αὐτὰ πρὸς ἑωϋτὰ, τό, τε φλέγμα καὶ ἡ χολὴ, προσπίπτει τοῦ σώματος [47] ὅπου ἂν τύχῃ· καὶ γίνεται ἢ πλευρῖτις, ἢ φρενῖτις, ἢ περιπλευμονίη. Φυλάσσεσθαι οὖν χρὴ τοὺς πυρετοὺς τοὺς ἐν τῷ χειμῶνι· ἡ δὲ φυλακὴ αὐτῶν ἔσω ἡσυχίη, καὶ ἰσχνασίη, καὶ τῆς κοιλίης κένωσις· ῥοφήμασι δὲ καὶ πόμασι διάγειν, ἕως ἂν ὁ πυρετὸς μειωθῇ. Τῶν νούσων σχεδόν τι μάλιστα αἱ ὀξεῖαι καὶ ἀποκτείνουσι καὶ ἐπιπονώταταί εἰσι, καὶ δεῖ πρὸς αὐτὰς φυλακῆς τε πλείστης, καὶ

& septum transversum resederit: judicatur autem morbus brevissimus die septimo; longissimus vero undecimo: at hunc & pauci effugiunt;
7 ipseque in pulmonis inflammationem transit; &, si transierit, pauci effugiunt. Quum febris ardens detinet, febris & sitis vehemens afficit, lingua aspera & nigra, spiritus calore redditur, color aliquantulum biliosus fit, & dejectiones biliosæ: atque ægro exteriora frigida sunt; interiora vero admodum calent.
8 Huic refrigerantia & ad alvum, & exteriorem corporis partem admovere convenit, cavendo ne inhorrescat: potiones quoque, & sorbitiones crebræ, & paulatim, quam frigidissimæ exhibendæ. Alvus vero curanda; &, si quidem, quæ in ea continentur, non secedant, subluenda; per infusa vero quam frigidissima, vel quotidie, vel tertio quoque die refrigeranda. Hic autem morbus oritur ex bile commota, quum in aliquam interiorem corporis partem incubuerit. Consuevit etiam in pulmonis inflammationem transire: judicatur autem, brevissimus quidem nono die; longissimus vero decimoquarto. Et, si quidem in pulmonis inflammationem transierit, pauci effugiunt; si vero non transierit, multi evadunt. Atque hi quidem acuti (morbi) vocantur, eosque sic curare decet. Quæcunque vero aliæ febres hieme, sive ex vino, sive ex lassitudine, sive ex alia quavis re oriuntur, diligenter observandæ sunt: interdum enim in acutos morbos transeunt; earumque transitus est ejusmodi. Commotis duobus (humoribus,) tum bile, tum pituita, ubi quæ conferunt corpori, minime exhibentur; ipsi in sese collecti, tum bilis, tum pituita, in eam corporis partem, quamcunque fors obtulerit, incidunt: fitque aut pleuritis, aut phrenitis, aut peripneumonia. Febres igitur hieme cavendæ sunt: fit autem earum præservatio quies, extenuatio, & ventris evacuatio: sorbitionibus autem & potionibus immorandum, donec febris imminuta fuerit. Ex morbis acuti prope maxime & interficiunt, & maximos labores afferunt, atque tum præservatione, tum accu-

VARIÆ LECTIONES.

36 *κρίνεται δ᾽ ἡ μὲν βραχυτάτη* MS. cod. scribit, pro *ἡ δὲ νοῦσος κρίνεται, ἡ μὲν βραχυτάτη.* Sed Imp. Sambuci, *τραχυτάτη*, *asperrimus* scilicet morbus, scribit, vitiose tamen.

37 Pro *αὕτη*, MS. cod. legit *αὐτή*· & paulo post *διέφυγον* habet Cod. pro *διαφεύγουσιν.*

38 Codd. vulgati legunt: *τοῦ πνεύματος ὑπό γε θερμότητος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τὰ πτύαλα χολώδεα.* pro quibus emendavimus ex MS. cod. *ὑπὸ θερμότητος τοῦ πνεύματος, καὶ τὸ χρῶμα ὑπόχολον γίνεται, καὶ τὰ ὑπιόντα χολώδεα,* hancque lectionem probamus cum Lind. Imp. Samb. Servin. & Fevr.

39 *τὰ δ᾽ ἔσω λίαν θερμὸς* codd. omnes, sed MS. cod. scribit: *τὰ δ᾽ εἴσω θερμὸς, interiora vero calent*, omisso *λίαν*, *admodum.*

40 *φυλασσόμενον μὴ φρίξῃ· καὶ τὰ πόματα* MS. cod.

41 Pro *κἢν μὲν*, MS. cod. habet *ἢν μὲν*, *siquidem.*

42 *ψύχειν δὲ κλύσμασιν* MS. cod. inserto *δὲ*, pro particula *τε.*

43 *κρίνεται δὲ ἡ μὲν βραχυτάτη ἐννάτῃ, ἢ δὲ μακροτάτη τεσσαρεσκαιδεκάτῃ, judicatur autem, brevissimus quidem nono; longissimus vero decimo quarto*, quæ lectio vulgata verior est, omisso *ἢ δεκάτῃ*, *aut decimo:* siquidem decimus dies non judicat; sed *undecimus*, *ἑνδέκατος.*

44 *καὶ, ἢν μὲν μεταστῇ* MS. cod. quæ lectio melior vulgata, quæ *καὶ, ἢν μὲν καταστῇ* habet; sed *μεταστῇ*, ut infra scribendum.

45 *εἴτε ἐξ ἄλλου τινὸς*, in MS. cod. *ἐξ* omittitur.

46 *ὁκόταν κεκινημένων φλέγματός τε καὶ χολῆς*, MS. cod. omissis *τῶν δύο.* Deinde in eodem *προσφέρῃ* legitur, pro *προσφέρηται.*

47 *ἢ ἂν τύχῃ* eodem sensu Imp. Samb. & Fevr. Paulo post *ἐν τῷ χειμῶνι· ἡ δὲ φυλακὴ ἔσω*, MS. cod.

accuratissima curatione indigent. Et a medente quidem nullum malum inferri debet, (satis enim sunt quæ ab ipsis morbis adsunt) sed bonum quodque pro viribus conciliari. Quod, si probe quidem curante Medico, morbi magnitudine superetur æger, hæc Medici culpa non est: si vero, cum recte non curet, neque morbum cognoscat, a morbo superetur, Medici (culpa est.)

CAPUT IV.

De æstivis morbis, doloribus, ac febribus, febre ardente, tertiana, quartana, eorumque symptomatis, caussis, signis, crisibus, & curatione.

ÆState hæc contingunt. Febris vehemens detinet & sitis, quidam bilem vomunt, quibusdam etiam per inferiora secedit. His quodcunque tibi idoneum esse videbitur, potui & sorbitioni exhibeto. Quod si bilis aut pituita circa os ventriculi considеat, aqua frigida aut mulsa epota vomendum; &, si venter infra non dejiciat, clystere vel glande utendum. Morbus hic ex bile oritur: liberantur autem maxime septimo vel nono die. Quod si febre detinente, neque per inferiora, neque per superiora purgentur: dolor autem insit toto corpore; tertio aut quarto die levi medicamento, aut potione per inferiora purgandum; parandæque sorbitiones ex milio aut farina, iisdemque potionibus curandum. Hi vero affectus etiam ex bile contingunt. Si vero partes exteriores admodum incensæ non fuerint, sed interiores, linguaque aspera & nigra reddatur, & pedes, summæque manus frigidæ sint: huic medicamentum quidem ne dederis; sed curationem per refrigerantia & ventri & reliquo corpori adhibita facito. Hæc febris ardens nominatur: judicatur autem maxime die undecimo & decimoquarto. Quod si febris prehendat & dimittat, corporis autem gravitas detineat, hunc, donec quidem febris detinuerit, sorbitionibus, ac potionibus curato: quum vero minime detinuerit, etiam cibos dato: sed quam citissime purgato medicamento, sive sursum sive deorsum tibi eo opus esse videatur. Si vero febris quidem non detineat, os tamen amarum habeat, & corpus gravetur, cibumque aversetur,

9 θεραπείης ἀκριβεστάτης. Καὶ ἀπὸ τοῦ θερα-
πεύοντος κακὸν μὲν μηδὲν προσγίνεσθαι, ἀλλ'
ἀρκέειν τὰ ἀπ' αὐτῶν τῶν νουσημάτων ὑπάρ-
χοντα· [48] ἀγαθὸν δὲ ὅ, τι ἂν οἷός τε ᾖ. Καὶ,
ἢν μὲν ὀρθῶς θεραπεύοντος τοῦ ἰητροῦ, ὑπὸ
μεγάθεος τῆς νούσου κρατέηται ὁ κάμνων,
[49] οὐχὶ κ) αὕτη ἡ ἁμαρτία τοῦ ἰητροῦ ἐστιν·
ἢν δὲ μὴ θεραπεύοντος ὀρθῶς, μηδὲ γινώσκον-
τος, ὑπὸ τῆς νούσου κρατέηται, τοῦ ἰητροῦ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν θερινῶν νοσημάτων, καὶ ἀλγημάτων, καὶ πυρετῶν, τοῦ καύσου, καὶ τοῦ τριταίου, καὶ τοῦ τεταρταίου, καὶ τῶν αὐτῶν συμπτωμάτων, καὶ αἰτίων, καὶ σημείων, καὶ κρίσεων, καὶ θεραπείας.

ΤΟῦ δὲ θέρεος τάδε [50] γίνονται. Πυρε-
τὸς ἴσχει ἰσχυρὸς, καὶ δίψα, καὶ ἐ-
μέουσιν ἔνιοι χολὴν, ἐνίοισι δὲ καὶ κάτω δια-
χωρέει. Τούτοισι δὲ πίνειν διδόναι καὶ ῥο-
φεῖν, ὅ, τι ἂν σοι δοκέῃ ἐπιτήδειον εἶναι.
Ἢν δὲ προσίσηται πρὸς τὴν καρδίην χολὴ ἢ
φλέγμα, ἐπιπίνοντες ὕδωρ ψυχρὸν, ἢ με-
λίκρητον, ἐμέειν· ἢν δὲ ἡ γαστὴρ μὴ ὑπο-
χωρέῃ, κλύσματι χρῆσθαι, ἢ βαλάνῳ. Ἡ
δὲ νοῦσος γίνεται ὑπὸ χολῆς· ἀπαλλάσσον-
ται δὲ μάλιστα ἑβδομαῖοι, ἢ ἐνναταῖοι. Ἢν
δὲ, τοῦ πυρετοῦ ἔχοντος, μὴ καθαίρωνται, μή-
τε κάτω, μήτε ἄνω· πόνος δὲ ἐνῇ καθ' ἅπαν
τὸ σῶμα, ὅταν ᾖ τριταῖος, ἢ τεταρταῖος,
[51] φαρμάκῳ ὑποκαθῆραι ἐλαφρῷ κάτω, ἢ
πόματι· [52] ποιέειν δὲ ῥόφημα ἀπὸ κέγχρου,
ἢ ἀλήτου, καὶ πόμασι τοῖσιν αὐτοῖσι θε-
ραπεύειν. Πάσχουσι δὲ καὶ ταῦτα ὑπὸ χο-
λῆς. Ἢν δὲ τὰ μὲν ἔξω μὴ πυρετώδης
ᾖ σφόδρα, τὰ δ' εἴσω· καὶ ἡ γλῶσσα τρη-
10 χείη καὶ μέλαινα γίνεται, καὶ οἱ πόδες
καὶ αἱ χεῖρες ἄκραι ψυχραί· τούτῳ φάρ-
μακον μὲν μὴ διδόναι· θεραπεύειν δὲ προσ-
φέρων ψύγματα, καὶ πρὸς τὴν κοιλίην,
καὶ πρὸς τὸ ἄλλο σῶμα. Καλέεται δὲ ὁ
11 πυρετὸς καυσώδης οὗτος· κρίνεται δὲ
μάλιστα [53] ἑνδεκαταῖος καὶ τεσσαρεσκαι-
δεκαταῖος. Ἢν δὲ τὸ πῦρ λαμβάνῃ καὶ
μεθίῃ, τοῦ δὲ σώματος βάρος αὐτὸν ἔχῃ,
τοῦτον, ἕως μὲν ἂν τὸ πῦρ ἔχῃ, ῥοφή-
μασι καὶ πόμασι θεραπεύειν· ὅταν δὲ
μὴ ἔχῃ, διδόναι καὶ σιτία· καθῆραι δὲ
ὡς τάχιστα φαρμάκῳ, ἤν τε ἄνω δοκέῃ
12 σοι δεῖσθαι, ἤν τε κάτω. Ἢν δὲ πυ-
ρετὸς μὲν μὴ ἔχῃ, τὸ δὲ στόμα πικρὸν ἔ-
χῃ, καὶ τὸ σῶμα βαρύνηται, καὶ ἀσιτέῃ,
φάρ-

VARIÆ LECTIONES.

48 MS. Cod. ἀγαθὸν δὴ, ὅ, τι οἷός τε ἂν ᾖ, scribit, & pro ὑπὸ μεγέθεος, ex eodem scripsimus ὑπὸ μεγάθεος.

49 MS. cod. scribit: οὐχὶ τοῦ ἰητροῦ αὕτη ἡ ἁμαρτίη ἐστίν· ἐὰν δὲ μὴ θεραπεύοντος ὀρθῶς, ἢ μὴ κ. τ. λ.

50 γίνεται scribit Imp. Samb. pro γίνονται, & paulo post καὶ ῥοφῆν habet MS. Cod. pro καὶ ῥοφεῖν.

51 ἢ φαρμάκῳ, vel medicamento MS. Cod. qui paulo post πώματι, pro πόματι scribit, & hoc ubique.

52 Hæc ita leguntur in MS. Cod. ἀπὸ δὲ κέγχρου ποιέειν, ἢ τοῦ ἀλήτου ῥόφημα.

53 Sic MS. Cod. eamque lectionem probat Foësius, vulgati codd. legunt δεκαταῖος, decimo, scilicet die.

φάρμακον διδόναι. Πάσχει δὲ ταῦτα ὑπὸ χολῆς, ὅταν εἰς τὰς φλέβας καὶ τὰ ἄρθρα καταςηρίξῃ. Ὁκόσαι δὲ ἄλλαι ὀδύναι ἐν τῷ θέρει κατὰ κοιλίην γίνονται, ὁκόσαι μὲν πρὸς τὰ ὑποχόνδρια καὶ τὴν καρδίην, μελίκρητον ὑδαρὲς ποιέων, ὅσον τρεῖς κοτύλας, ὄξος παραχέας, δὸς πιεῖν χλιαρόν· καὶ ἐπισχὼν ὀλίγον χρόνον, [54] θαλφθεὶς πυρὶ καὶ ἱματίοισιν, ἐμεέτω. Ἢν δὲ ἀπεμέσαντι αὖθις προσίςηται, καὶ πνίγῃ, αὖθις ἔμετον ποιεέσθω· ἢ λούσας αὐτὸν πολλῷ καὶ θερμῷ, ὑποκλύσαι, καὶ χλιάσματα προςιθέναι, ἐὰν ἡ ὀδύνη ἔχῃ· πάσχουσι δὲ ταῦτα μάλιςα ὑπὸ τοῦ φλέγματος, ὅταν κινηθὲν προσπέσῃ πρὸς τὴν καρδίην. Διδόναι δὲ τοῖσι τὰ τοιαῦτα ἀλγήματα ἀλγέουσι, καὶ τῶν φαρμάκων, [55] ἃ γέγραπται παύοντα τὴν τοιαύτην νοῦσον ἐν
182 τῇ φαρμακίτιδι. Ἢν δὲ μεθίςηται ἡ ὀδύνη ἄλλοτε ἄλλῃ τῆς κοιλίης, λούειν πολλῷ καὶ θερμῷ, ἢν ᾖ ἀπύρετος, καὶ πίνειν διδόναι τῆς ὀδύνης εἵνεκα, ἃ ἐν τῇ πλευρίτιδι γέγραπται, ἢ τῶν ἄλλων ὅ, τι ἄν σοι δοκέῃ. Ἢν δὲ μὴ ἀπαλλάσσηται τῆς ὀδύνης, ὑποκαθῆραι φαρμάκῳ κάτω· σιτίων δὲ ἀπέχεσθαι, ἕως ἂν ἡ ὀδύνη ἔχῃ. Τὰ δὲ τοιαῦτα ἀλγήματα [56] ὅσα οὕτω πλανᾶται, ὑπὸ χολῆς γίνεται· ὅσαι δὲ κάτωθεν τοῦ ὀμφαλοῦ ὀδύναι γίνονται, ὑποκλύσαι μαλακῷ κλύσματι· [57] ἢν δὲ μὴ παύωνται, φάρμακον δοῦναι κάτω. [58] Ὁκόσαι δὲ ὀδύναι ἐξαπίνης γίνονται ἐν τῷ σώματι ἄνευ πυρετοῦ, ξυμφέρει λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιαίνειν. Τὸ γὰρ φλέγμα καὶ ἡ χολὴ, ξυνεςηκότα μὲν, ἰσχυρά γέ ἐςιν, καὶ κρατέει καθ' ὁκοῖον ἂν τοῦ σώματος ςῇ, καὶ πόνον τε καὶ ὀδύνην ἰσχυρὴν παρέχει· διακεχυμένα δὲ ἀσθενέςερά ἐςι καθ' ὃ ἂν εὔδηλα ᾖ τοῦ σώματος. Τὰ νουσήματα ὅσα τοῦ θέρεος γίνονται, εἴωθε γίνεσθαι οὕτως. Ὅταν τὸ σῶμα ὑπὸ τοῦ ἡλίου θαλφθῇ, ὑγραίνεται· ὑγραινόμενον δὲ, νοσέει, ἢ πᾶν, [59] ἢ ἐς ὅ, τι μέρος ἂν καταςηρίξῃ τὸ φλέγμα καὶ ἡ χολή. Ἢν μὲν οὖν τὶς αὐτὰ ἀρχόμενα θεραπεύῃ, οὔτε μακρὰ γίνεται, οὔτε ἐπικίνδυνα· [60] ἢν δὲ μὴ θεραπεύῃ, ἢ κακῶς θεραπεύῃ, φιλέει καὶ μακρότερα γίνεσθαι, [61] πολλάκις δὲ καὶ κτείνει· καὶ τριταῖοι δὲ καὶ τεταρταῖοι πυρετοὶ ἐκ τῶν τοιούτων γίνεσθαι πεφύκασιν. Αὕτη ἡ κατάςασις τῶν νουσημάτων, μάλιςα μὲν τοῦ θέρεος γίνεται· [62] ἐνίοισι δὲ καὶ τοῦ χειμῶνος.

medicamentum exhibendum. Hæc autem a bile contingunt, quum ad venas & articulos decubuerit. At quicunque alii dolores per æstatem circa ventrem contingunt, si quidem ad hypochondria & os ventriculi (feruntur,) aquam mulsam aquosam paratam ad heminas tres, aceto affuso tepidam propinato; & ubi modico tempore eam continuerit, & igne & vestibus calefactus fuerit, vomat. Quod si a vomitu rursus urgeant & suffocent, rursus vomitum cieto; aut multa calida loto alvum subluito, & tepefactoria, si dolor detinuerit, admoveto: hæc autem præcipue ex pituita contingunt, quum commota ad os ventriculi irruperit. Qui vero hujusmodi doloribus vexantur, his etiam ea medicamenta exhibenda, quæ ad hujusmodi morbum sedandum in medicamentorum tractatione scripta sunt. At si dolor alias ad aliam ventris partem transierit, multa calida lavandum, si sit citra febrem, & ob dolorem ea potui exhibenda, quæ in pleuritide scripta sunt, aut aliud quodcunque tibi visum fuerit. Quod si dolore non liberetur, medicamento per inferiora purgandum: cibis vero, quoad dolor tenuerit, abstineat. Hujusmodi autem dolores, qui sic errant, a bile oriuntur: quicunque vero dolores infra umbilicum grassantur, in his alvus est emollienti clystere subluenda; si vero non sedentur, medicamentum deorsum purgans exhibendum. Qui vero dolores derepente citra febrem corpori accidunt, in his multa calida lavare ac tepefacere confert. Pituita namque & bilis, coacta quidem, vehementia sunt, & prævalent, quacunque corporis parte constiterint, gravemque tum laborem, tum dolorem afferunt: diffusa vero, quacunque corporis parte se prodant, imbecilliora sunt. At vero morbi, qui per æstatem contingunt, sic oriri solent. Quum corpus a sole incaluerit, humectatur; humectatum vero, ægrotat, aut totum, aut ea parte, in quam pituita & bilis decubuerint. Eos igitur siquis per initia curet, neque longi, neque periculosi redduntur; si vero non curet, aut male curet, & longiores esse consueverunt, & plerumque interficiunt: quinetiam ex talibus tertianæ & quartanæ febres oriri solent. Hæc morborum constitutio potissimum quidem per æstatem; nonnullis etiam per hiemem, contingit.

Variæ Lectiones.

54 θαλφθεὶς MS. cod. pro ξυνθαλφθείς. Deinde Imp. Samb. ἢν δὲ ἐπεμέσαντι legit. & pro sequenti πνίγῃ, MS. Cod. habet πνίγηται.

55 MS. Cod. ἃ γέγραπται τῆς ὀδύνης παύοντα ἐν τῇ φαρμακίτιδι. Paulo post τῆς κοιλίης, καὶ ἀπύρετος ᾖ, λούειν πολλῷ καὶ θερμῷ vulgat. Codd. nos MS. Cod. lectionem secuti sumus.

56 ὅσα πλανᾶται MS. cod. οὕτω omisso. Deinde in Cod. legitur ὑποκλύσαι μαλακῷ, pro ὑποκλύσαι μαλακῷ κλύσματι.

57 Æmil. Portus: ἢν δὲ μὴ παύονται scribit, subintelligendum αἱ ὀδύναι, dolores, si vero παύηται retinetur, subintelligendum κακὸν, malum, vel ἡ ὀδύνη dolor.

58 ὁκόσαι ὀδύναι MS. cod. omisso δέ.

59 Publicata exempl. ἢ ἐς ὃ μέρος ἂν καταςηρίξῃ scribunt, pro quibus ex MS. cod. reposuimus: ἢ ἐς ὅ, τι μέρος ἂν καταςηρίξῃ, quæ lectio in Imp. Samb. adscribitur.

60 ἢν δὴ, μὴ θεραπευθῇ, ἢ κακῶς θεραπευθῇ MS. codex. postea φιλέει μακρότερα Imp. Sambuci καὶ omisso.

61 Pro hisce, MS. cod. scribit: καὶ ἔςιν ὅτε καὶ κτείνει, & pro τῶν τοιούτων, Cod. & Imp. Samb. καὶ τῶν αὐτῶν legunt.

62 MS. Cod. scribit: γίνεται δὲ ἐν ποῖσι καὶ τοῦ χειμῶνος.

Quum febris tertiana detinuerit, si quidem impurgatus esse tibi videatur, quarto die medicamentum purgans exhibeto: at si medicamento opus esse tibi non videatur, in potu ea medicamenta danda sunt, quibus febris aut transferatur, aut desinat: exhibenda autem, quemadmodum in medicamentis scriptum est. Et detinente febre quidem, sorbitione, & potu nutriendum; tempore autem intermedio, cibis alvum subducentibus. Detinet autem plerumque non longo tempore; nisi vero curetur, in quartanam transire & diuturna esse solet. Si autem quartana prehenderit, siquidem impurgatus fuerit, primum caput purgandum; & tribus aut quatuor interjectis diebus, sub ipsam accessionem medicamentum sursum purgans exhibendum; rursus aliquo intervallo interjecto, aliud medicamentum deorsum purgans in ipsa accessione dandum. Quod si per hæc non sedetur, rursus intermissis aliquot diebus, multa calida loto, medicamenta, quæ scripta sunt, exhibenda. Potionibus autem & sorbitionibus, reliquaque victus ratione, velut in tertiana, utendum. Hæc autem febris plurimos quidem longo tempore invadit, quosdam vero etiam brevi: & oritur quidem tum tertiana, tum quartana ex bile & pituita; cur autem tertiana & quartana, alibi a me scriptum est. Harum autem febrium medicamenta hanc habent facultatem, ut his epotis corpus in consueta caliditate & frigiditate juxta locum consistat, neque præter naturam incalescat, neque refrigeretur: exhibenda vero, quemadmodum in medicamentorum tractatu scriptum est.

Τριταῖος δὲ πυρετὸς ὅταν ἔχῃ, ἢν μέν σοι δοκέῃ ἀκάθαρτος εἶναι, τῇ τετάρτῃ φάρμακον δοῦναι· ἢν δὲ μή σοι δοκέῃ φαρμάκου δεῖσθαι, διδόναι φάρμακα ποτὰ, [63] οἷσιν ἢ μεταςήσεται ὁ πυρετὸς, ἢ ἀπολείψει· διδόναι δὲ, ὥσπερ γέγραπλαι ἐν τοῖσι φαρμάκοισι. Καὶ τῇ μὲν λήψει, ῥοφήματι καὶ ποτῷ διαιτᾷν· ταῖς δὲ διὰ μέσου, σιτίοισι διαχωρητικοῖσι. [64] Καὶ λαμβάνει δ' ὡς ἐπὶ τὸ πουλὺ, οὐκ ἐπὶ πλεῖςον· ἢν δὲ μὴ θεραπεύηται, ἐθέλει μεθίςασθαι ἐς τεταρταῖον, καὶ γίνεσθαι πουλυχρόνιος. [65] Ἢν δὲ τεταρταῖος λαμβάνῃ, ἢν μὲν ἀκάθαρτος ᾖ, καθαίρειν πρῶτον μὲν τὴν κεφαλήν· καὶ, διαλείπων τρεῖς ἢ τέσσαρας ἡμέρας, [66] φάρμακον διδόναι ἄνω κατ' αὐτὴν τὴν λῆψιν· διαλιπὼν δὲ, κάτω δοῦναι ἕτερον ἐν αὐτῇ τῇ λήψει. Ἢν δὲ πρὸς ταῦτα μὴ παύηται, διαλιπὼν πάλιν, λούσας πολλῷ καὶ θερμῷ, δοῦναι τῶν φαρμάκων, ἃ γέγραπλαι. [67] Ποτοῖσι δὲ, καὶ ῥοφήμασι, καὶ τῇ ἄλλῃ διαίτῃ χρῆσθαι, ὥσπερ ἐπὶ τοῦ τριταίου. Λαμβάνει δὲ οὗτος ὁ πυρετὸς, τοὺς μὲν πλείςους πουλὺν χρόνον· τοὺς δὲ καὶ ὀλίγον· [68] καὶ γίνεται μὲν, ὅ, τε τριταῖος καὶ ὅ, τε τεταρταῖος ὑπὸ χολῆς καὶ φλέγματος· [69] διότι δὲ τριταῖος καὶ τεταρταῖος, ἑτέρωθί μοι γέγραπλαι. Δύναμιν δὲ ἔχει τῶν πυρετῶν τὰ φάρμακα τούτων, ὥςε πινόμενα τὸ σῶμα κατὰ χώρην εἶναι ἐν τῇ εἰωθυίῃ θερμότητί τε καὶ ψυχρότητι, καὶ μήτε θερμαίνεσθαι παρὰ φύσιν, μήτε ψύχεσθαι· διδόναι δὲ, ὡς ἐν τῇ φαρμακίτιδι γέγραπλαι.

CAPUT V.

De pituita alba, & liene magno, duro, & suppurato, eorumque affectuum causis, in hydropem mutatione, symptomatis, & curatione.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τοῦ φλέγματος λευκοῦ, καὶ τοῦ σπληνὸς μεγάλου, καὶ σκληροῦ, καὶ πυϊσκομένου, καὶ τῶν τούτων τῶν παθῶν αἰτίων, καὶ τῆς ἐς τὸν ὕδρωπα μεταςάσεως, καὶ τῶν συμπλωμάτων, καὶ τῆς θεραπείας.

Quum pituita alba detinuerit, totum corpus tumore albo intumescit; eodemque die alia parte melius; alia deterius habere sibi videtur, tumorque alias alia corporis parte & major & minor est. Huic medicamenta deorsum purgantia exhibenda, quibus aqua, aut pituita purgatur: in victus autem ratione utendum cibis & potibus,

Φλέγμα λευκὸν ὅταν ἔχῃ, τὸ σῶμα οἰδέει πᾶν λευκῷ οἰδήματι, καὶ τῆς αὐτῆς ἡμέρης· [70] τότε μὲν δοκέει ῥάων εἶναι· τότε δὲ φλαυρότερος, καὶ τὸ οἴδημα ἄλλοτε ἄλλῃ τοῦ σώματος μέζον τε καὶ ἔλασσον γίνεται. Τούτῳ φάρμακα διδόναι κάτω, ὑφ' ὧν ὕδωρ ἢ φλέγμα καθαίρεται· διαιτᾷν δὲ σιτίοισι καὶ ποτοῖσι, καὶ

VARIÆ LECTIONES.

63 MS. cod. οἷσι μεταςήσεται, omisso ἤ.
64 In MS. cod. καὶ præponitur λαμβάνει.
65 Ἢν τεταρταῖος, enclitica δὲ omissa MS. cod.
66 MS. cod. legit: δοῦναι ἄνω αὐτῇ τῇ λήψει· ἢν δὲ μὴ πρὸς ταῦτα παύηται διαλείπων· λούσας πολλῷ καὶ θερμῷ, δ. τ. φ. cæteris omissis. Præterea in Cod. πάλιν, rursus, omittitur.
67 Sic MS. cod. quæ lectio Lindeno probatur, pro ποτήμασι vulgato.
68 καὶ γίνεται μὲν ὁ τριταῖος, καὶ ὁ τεταρταῖος MS. Cod.
69 διότι δὲ ὁ τριταῖος, καὶ ὁ τεταρταῖος vulgati Codd. sed utroque in loco articulum ὁ omisimus; quod sane melius videtur.
70 Sic MS. cod. quam lectionem prætulit Lindenus, pro τὸ μὲν δοκέει ῥάων εἶναι· τὸ δὲ φλαυρ.

ϗ πόνοισιν, ὑφ᾽ ὧν ξηρότατος ἔσαι, ϗ ἰσχνότατος. Ἡ δὲ νοῦσος αὕτη γίνεται ἀπὸ φλέγματος, ὅταν τις ἐκ πυρετῶν πολυχρονίων, φλεγματώδης ὢν, ἀκάθαρτος γένηται, τρέπηταί τε τὸ φλέγμα αὐτοῦ ἀνὰ τὰς σάρκας.
13 Καὶ λευκότερον μὲν οὐδὲν τοῦτο τοῦ ἄλλου ἢ φλέγματος, ὁ δὲ χρὼς φαίνεται λευκότερος· τὸ γὰρ αἷμα ὑπὸ πλήθους τοῦ φλέγματος ὑδαρέστερον γίνεται, ϗ οὐκ ἔνι ὁμοίως ἐν αὐτῷ τὸ εὔχροον· ϗ διὰ τοῦτο λευκότεροί τε φαίνονται, ϗ καλέεται ἡ νοῦσος, φλέγμα λευκόν. Ἢν μὲν οὖν θεραπευθῇ ἀρχομένης τῆς νούσου, ὑγιὴς γίνεται· [71] ἢν δὲ μὴ, ἐς ὕδρωπα μεθίσαται ἡ νοῦσος, ϗ διέφθειρε τὸν ἄνθρωπον. Ὁκόσοι δὲ σπλῆνα ἔχουσι μέγαν, ὅσοι μὲν εἰσὶ χολώδεες, κακόχροοί τε γίνονται, ϗ καχελκέες, ϗ δυσώδεες ἐκ τοῦ στόματος, ϗ λεπτοὶ, ϗ ὁ σπλὴν σκληρὸς, ϗ αἰεὶ παραπλήσιος τὸ μέγεθος, ϗ τὰ σιτία οὐ διαχωρέει· ὁκόσοι δὲ
14 φλεγματίαι, ταῦτά τε ἧσσον πάσχουσι· ϗ ὁ σπλὴν ἄλλοτε μέζων γίνεται, ἄλλοτε δὲ ἐλάσσων. Τούτοισι ξυμφέρει, ἢν μὲν ἀκάθαρτοι [72] φαίνωνται, καθαίρειν ϗ τὴν κεφαλὴν ϗ τὸ ἄλλο σῶμα· ἢν δὲ μὴ δέωνται φαρμακείης, διαιτᾶν· [73] ὅσοι μὲν φλεγματώδεες, ξηραίνοντα τὸ σῶμα ϗ ἰσχναίνοντα σιτίοισι ϗ ποτοῖσι, ϗ ἐμέτοισι, ϗ γυμνασίοισιν ὡς πλείστοισι, ϗ περιπάτοισι· ϗ τοῦ ἦρος ἐλλεβόρῳ καθαίρειν ἄνω· ὁκόσοι δὲ χολώδεες, ξυμφέρει διϋγραίνοντα τῇ διαίτῃ ὑπάγειν τὴν κοιλίην, ϗ τὴν κύστιν, ϗ τὴν φλέβα τὴν σπληνῖτιν ἀ-
183 φιέναι πυκνά· ϗ τοῖσι διουρητικοῖσι φαρμάκοισι χρῆσθαι, [74] ἃ γέγραπται τὸν σπλῆνα μαλθάσσοντα, ϗ καθαίρειν ἔτεος ὥρῃ ϗ τοῦτο χολήν. Ἔνιοι δὲ τῶν σπληνιώντων, ὑπὸ μὲν τῶν φαρμάκων πίνοντες οὐκ ὠφελέονται, οὐδ᾽
15 ὑπὸ τῆς ἄλλης θεραπείης οὐδὲν ἰσχνότερος γίνεται αὐτῶν ὁ σπλὴν, ἀλλὰ κρατέεται τὰ προσφερόμενα ὑπὸ τοῦ μεγέθεος τῆς νούσου· προϊόντος δὲ τοῦ χρόνου· ἐνίοισι μὲν ἐς ὕδρωπα περιΐσταται ἡ νοῦσος, ϗ διεφθάρησαν· ἐνίοισι δὲ καὶ [75] ἐκπύσκεται, καὶ καυθέντες ὑγιέες γίνονται· ἐνίοισι δὲ, καὶ ξυγκαταγηράσκει, σκληρότερος ἐὼν καὶ μέγας. Τὸ δὲ νούσημα γίνεται, ὅταν ἐκ πυρετῶν καὶ κακοθεραπείης, χολὴ ἢ φλέγμα, [76] ἢ ἀμφότερα ἐς τὸν σπλῆνα κατασηρίξῃ· καὶ πολυχρόνιον μέν ἐστι τὸ πάθος· θανατῶδες δὲ οὔ.
16 Τῶν δὲ φαρμάκων, ὅσα δίδοται τοῦ σπληνὸς, τὰ μὲν διὰ τῆς κύστιος καθαίρει, καὶ ποιέει λαπαρώτερον· τὰ δὲ καθαίρει μὲν, οὔτε διὰ τῆς κύστιος οὐδὲν, ὅ, τι καὶ [77] φανερὸν, οὔτ᾽ ἄλλῃ οὐδαμῇ· λαπάσσει δὲ τὸν σπλῆνα.

ac laboribus, ex quibus ſicciſſimus, & maxime gracilis evadat. Morbus hic a pituita oritur, quum quis ex diuturnis febribus, pituita abundans, minime purgatus fuerit, & in ejus carnes pituita ſe recipiat.
13 Et hæc quidem licet alia pituita nihilo albidior ſit, cutis tamen color candidior apparet: ſanguis enim pituitæ copia aquoſior redditur, nec æque in eo bonus color ineſt; proptereaque candidiores apparent, morbusque pituita alba vocatur. Si igitur curatus initio morbi fuerit, convaleſcit; ſin minus, in hydropem morbus tranſit, & hominem perimit. Quicumque magnum habent lienem, qui quidem bilioſi ſunt, male colorati evadunt, pravis ulceribus ſcatent, ore graveolent, tenuesque ſunt, lien durus eſt, ſemperque æqualis magnitudinis, cibique non ſecedunt: qui vero pituitoſi ſunt, hæc
14 aut minus patiuntur, & lien alias major, alias minor redditur. His confert, ſi quidem minime purgati videantur, & caput & reliquum corpus purgare: quod ſi purgatione non egeant, victus ea ratio inſtituenda; ita ut pituitoſis quidem corpus exiccet, & extenuet, cibis, potionibus, vomitionibus, & exercitationibus quam plurimis, ac deambulationibus: quinetiam vere per veratrum ſurſum purgandum; bilioſis vero confert victus ratione humectante alvum & veſicam ſubducere, & e vena ſplenica crebro ſanguinem mittere; & medicamentis urinam cientibus uti, quæ lienem mollire ſcripta ſunt, & pro anni tempore bilem purgare. Ex lienoſis autem nonnulli medicamentis epotis minime juvan-
15 tur, & ex reliqua curatione nihilo gracilior etiam lien redditur, ſed quæ admoventur, a morbi magnitudine ſuperantur: progreſſu vero temporis quibusdam morbus in hydropem degenerat, & perempti ſunt; quibusdam vero purulentus fit, & uſti conſaneſcunt; quibusdam etiam durior & magnus ad ſenectutem usque perſeverat. Oritur autem morbus, quum ex febribus & vitioſa curatione, bilis aut pituita, aut utraque ad lienem decubuerint: & diuturnus quidem affectus eſt; minime tamen lethalis.
16 Ex medicamentis autem, quæ ad lienem exhibentur, alia quidem per veſicam purgant, & molliorem efficiunt; alia vero purgant quidem, neque per veſicam quicquam, quod evidens ſit, neque per aliam uſpiam partem; lienem tamen emolliunt.

VARIÆ LECTIONES.

71 ἢν δὲ μὴ θεραπευθῇ, ἐς ὕδρωπα, *ſin minus curetur in aquam inter cutem* morbus tranſit, MS. Cod. inſerto θεραπευθῇ.

72 φαίνωνται, καθαίρειν τὴν κεφαλὴν ϗ τὸ ἄλλο σῶμα· ἢν δὲ μὴ δέωνται MS. cod. quem ſequimur, pro vulgatis: φαίνονται, καθαίρειν ϗ τὴν κεφαλὴν, ϗ τὸ ἄλλο σῶμα· ἢν δὲ μὴ δέονται.

73 ὅσοι μὲν φλεγματώδεες MS. Cod. pro τοῖσι μὲν φλεγματώδεες.

74 ἃ γέγραπται τὸν σπλῆνα μαλθάσσοντα MS. Cod. pro ἃ γέγραπται μαλθάσσειν τὸν σπλῆνα, priorem lectionem prætulimus, eamque probat Lind.

75 Pro vulgato πύσκεται, MS. cod. ἐκπύσκεται, hancque lectionem prætulimus cum Imp. Samb. & Fevr. Deinde pro σκληρὸς, Imp. Sambuci & Fevr. σκληρότερος habent, quam lectionem probamus.

76 ἢ ϗ ἀμφότερα, in MS. cod. ϗ omittitur, quod melius. Paulo poſt τῶν φαρμάκων ὅσα δίδοται σ. τ. λ. MS. Cod.

77 φανερώτερον publicata exemplaria. MS. Cod. vero φανερὸν, quod probamus.

CAPUT VI.

De volvulo, & hydrope, & utriusque causis, prognosi, & curatione; & hydropis chirurgia.

QUum volvulus corripuerit, venter durus redditur, nihilque dejicit, dolorque totam inferiorem alvum detinet, & febris, & sitis; interdum etiam præ dolore bilem (æger) vomit. Hunc & intus & extra humectare oportet; & multa calida lavare; eaque bibere, quæ & alvum moveant, & urinam deducant; & (alvum) subluere, si admittat. Quod si clysterem non admittat, fistula propendulo utriculi petiolo alligata & inflata, multus flatus immittendus: quumque intestinum & venter a flatu elevata fuerint, exempta fistula, statim clyster injiciendus. Quem si admiserit, alvus dejiciet & convalescet: si vero ne ita quidem clysterem receperit, septimo potissimum die moritur. Oritur autem ejusmodi morbus, quum stercore acervatim combusto in intestino, pituita circa hoc colligitur; intestinumque, his nimirum confertim induratis, intumescit, nullumque ex his medicamentis, quæ per superiora bibuntur, recipit; sed vomitione rejicit: neque admota per inferiora infusa recipit; est autem morbus acutus & periculosus. Hydrops autem plerumque oritur, quum quis ex morbo longo non purgatus, diuturno tempore moratur: carnes namque corrumpuntur, & liquantur, & in aquam vertuntur. Sed & fit hydrops a liene, ubi ægrotarit; & ab hepate, & alba pituita, & a dysenteria & lienteria: & si quidem hydrops ex purgationis defectu oboriatur, venter aqua impletur; pedes & tibiæ attolluntur; humeri vero, claviculæ, pectus, & femora contabescunt. Hunc, si (curandum) initio acceperis, priusquam aqua supra modum excreverit, medicamenta propina, quibus aqua, aut pituita per inferiora purgetur: bilis vero minime movenda. Victus ratio instituenda in cibis & potibus, laboribus & deambulationibus, a quibus gracilis & siccus reddatur, & carnes robustissimæ. Hic vero morbus cum alias lethalis est, tum si venter jam aqua repletus fuerit. At quum a liene, aut hepate, aut alba pituita, aut dysenteria in hydropem transierit, per eadem quidem

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τοῦ εἰλεοῦ καὶ τοῦ ὑδέρου, καὶ τῶν ἀμφοτέρων αἰτίων καὶ σημείων, καὶ τῆς προγνώσεως, καὶ θεραπείας· καὶ τῆς ἐν τῷ ὕδρωπι χειρουργίας.

ΕΙλεὸς ὅταν λάβῃ, ἡ γαςὴρ σκληρὴ γίνεται, καὶ διαχωρέει οὐδὲν, καὶ ὀδύνη κάτω πᾶσαν τὴν κοιλίην ἔχει, καὶ πυρετὸς, καὶ δίψα· ἐνίοτε δὲ ὑπὸ πόνου ἐμέει καὶ χολήν. Τοῦτον χρὴ διϋγραίνειν [78] καὶ εἴσωθεν, καὶ ἔξωθεν, καὶ λούειν πολλῷ καὶ θερμῷ· καὶ πίνειν ὅσα τήν τε κοιλίην κινέει, καὶ τὸ οὖρον ὑπάγει· καὶ ὑποκλύζειν, ἢν δέχηται. Ἢν 17 δὲ μὴ δέχηται τὸ κλύσμα, αὐλίσκον προσδήσας πρὸς τὸν ποδεῶνα ἀσκίου καὶ φυσήσας, ἐνιέναι τὴν φῦσαν πολλήν· καὶ, ἐπειδὰν ἀρθῇ τὸ ἔντερον ὑπὸ τῆς φύσης, καὶ ἡ γαςὴρ, ἐξελὼν τὸν αὐλίσκον, ἐνιέναι παραχρῆμα κλύσμα. Καὶ, ἢν δέξηται, ὑποχωρήσει, καὶ ὑγιὴς ἔςαι· ἢν δὲ μηδ᾽ οὕτω δέξηται τὸ κλύσμα, ἀποθνήσκει μάλιςα ἑβδομαῖος. [79] Ἡ δὲ τοιαύτη νοῦσος γίνεται, ὅταν τῆς κόπρου ξυγκαυθῇ ἀθρόον ἐν τῷ ἐντέρῳ, περὶ τοῦτο περιΐςαται φλέγμα· καὶ τὸ ἔντερον, ἅτε τούτων ἀθρόων ἐνεσκληκότων, περιοιδέει, καὶ οὔτε τῶν ἄνωθεν [80] πινομένων φαρμάκων δέχεται, ἀλλ᾽ ἀνεμέει· οὔτε τῶν κάτωθεν προσφερομένων κλυσμάτων δέχεται· ἔςι δὲ τὸ νούσημα ὀξὺ καὶ ἐπικίνδυνον. Ὕδερος δὲ γίνεται τὰ μὲν πλεῖςα, ὅταν τις ἐκ νούσου μακρῆς ἀκάθαρτος διαφέρεται πουλὺν χρόνον· φθείρονται γὰρ αἱ σάρκες, καὶ τήκονται, καὶ γίνονται ὕδωρ. Γίνεται δὲ ὕδρωψ καὶ ἀπὸ τοῦ σπληνὸς, ὅταν νοσήσῃ, καὶ ἀπὸ τοῦ ἥπατος, καὶ ἀπὸ τοῦ λευκοῦ φλέγματος, καὶ ἀπὸ δυσεντερίης, καὶ λειεντερίης· καὶ, ἢν μὲν ἐξ ἀκαθαρσίης γένηται ὕδρωψ, ἡ μὲν γαςὴρ ὕδατος πίμπλαται· οἱ δὲ πόδες, καὶ αἱ κνῆμαι ἐπαίρονται· οἱ δὲ ὦμοι, καὶ αἱ κληΐδες, καὶ τὰ ςήθεα, καὶ οἱ μηροὶ τήκονται. Τοῦτον, ἢν ἀρχόμενον 18 λάβῃς πρὸ τοῦ [81] ὑπέρυδρον γενέσθαι, φάρμακα πιπίσκειν κάτω, ὑφ᾽ ὧν ὕδωρ ἢ 19 φλέγμα καθαίρεται· [82] χολὴν δὲ μὴ κινέειν. Σιτίοισι δὲ καὶ ποτοῖσι καὶ πόνοισι καὶ περιπάτοισι διαιτᾷν, ὑφ᾽ ὧν ἰσχνὸς καὶ ξηρὸς ἔςαι, [83] καὶ αἱ σάρκες ἰσχυρόταται. Ἡ δὲ νοῦσος θανατώδης, ἄλλως τε καὶ, ἢν φθῇ, ἡ γαςὴρ μεςωθεῖσα ὕδατος. Ὅταν δὲ ἀπὸ σπληνὸς, ἢ ἥπατος, ἢ λευκοῦ φλέγματος, ἢ δυσεντερίης ἐς ὕδρωπα μεταςῇ, θεραπεύειν μὲν τοῖ-

VARIÆ LECTIONES.

78 MS. cod. καὶ ἔξωθεν, καὶ εἴσωθεν, καὶ λούειν πολλῷ.

79 Ἡ δὲ τοιαύτη νοῦσος γίνεται, in MS. Cod. abest τοιαύτη, *ejusmodi*.

80 πινομένων φάρμακον publicati Codd. sed nos ex MS. Cod. πινομένων φαρμάκων scripsimus; quæ lectio melior.

81 Lind. & Cod. MS. legunt πρὶν τοῦ ὑπέρυθρον, *priusquam subcruentum:* Sed ex hoc loco ὑπέρυδρον exponit Galenus in Exegesi: ἄγαν πλήρη τοῦ παρακεχυμένου ὕδατος, aqua suffusum & nimis redundantem.

82 Sic MS. Cod. inserta negativa, quam lectionem secuti sunt interpretes.

83 Sic MS. cod. pro καὶ αἱ σάρκες ὡς ἰσχυρόταται.

τοῖσιν αὐτοῖσι ξυμφέρει, διαφεύγουσι δὲ οὐ μάλα· τῶν γὰρ νουσημάτων ὅ, τι ἂν ἕτερον ἐφ᾽ ἑτέρῳ γένηται, ὡς τὰ πολλὰ ἀποκτείνει. Ὅταν γὰρ ἀσθενεῖ τῷ σώματι ὄντι ὑπὸ τῆς παρούσης νούσου, ἑτέρη νοῦσος ἐπιγένηται, [84] προαπόλλυται ὑπὸ ἀσθενείης, πρὶν ἢ τὴν ἑτέρην νοῦσον, τὴν ὑστέρην γενομένην, τελευτῆσαι. Τὸ δὴ ὕδωρ γίνεται οὕτως. Ἐπειδὰν 20 αἱ σάρκες ὑπὸ φλέγματος, καὶ χρόνου, καὶ νούσου, καὶ ἀκαθαρσίης, καὶ κακοθεραπείης, καὶ πυρετῶν διαφθαρῶσι, τήκονται, καὶ γίνονται ὕδωρ· καὶ ἡ μὲν κοιλίη [85] οὐ μεταδιδοῖ ὕδωρ ἐς ἑωϋτήν· κύκλῳ δὲ περὶ αὐτὴν γίνεται. [86] Ἢν μὲν οὖν ὑπὸ τῶν φαρμάκων, καὶ τῆς ἄλλης διαίτης ὠφελέηται, καὶ ἡ γαστὴρ λαπάσσηται αὐτοῦ· ἢν δὲ μὴ, ταμὼν ἀφεῖναι τοῦ ὕδατος· [87] τάμνεται, δὲ ἢ παρὰ τὸν ὀμφαλὸν, 21 ἢ ὄπισθεν κατὰ τὴν λαγόνα. Διαφεύγουσι δὲ καὶ ἐντεῦθεν ὀλίγοι.

curare confert, neque tamen admodum evadunt: in morbis enim, qui alter alteri succedit, plerumque interficit. Quum enim corpori a præsenti morbo debilitato, alter morbus accesserit, præ imbecillitate prius perit, quam alter, qui posterior accessit, morbus desinat. Aqua sane sic gignitur. Quum carnes pituita, tempore, morbo, purgationis penuria, prava curatione, & febribus corruptæ fuerint, liquescunt & in aquam vertuntur; neque in se quidem venter aquam distribuit: sed in ejus ambitu ipsa consistit. Si igitur a medicamentis, ac reliqua victus ratione auxilium percipiat, ejusque venter evacuetur, satis est: sin minus, sectione facta aquam educito: fit autem sectio vel juxta umbilicum, vel retro juxta ilia. Unde vero pauci etiam evadunt.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν τῆς δυσεντερίας, καὶ λειεντερίας, καὶ διαῤῥοίας, καὶ τεινεσμοῦ, καὶ χολέρας αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

Δυσεντερίη ὅταν ἔχῃ, ὀδύνη ἔχει κατὰ πᾶσαν τὴν κοιλίην, καὶ στρόφος, καὶ διαχωρέει χολήν τε καὶ φλέγμα, καὶ αἷμα ξυγκεκαυμένον. Τούτου καθήρας τὴν κεφαλὴν, φάρμακον πῖσαι ἄνω, ὅ, τι φλέγμα καθαίρει· καὶ τὴν κοιλίην γάλακτι ἑφθῷ διανίψας, τὸ ἄλλο σῶμα θεραπεύειν. Καὶ, ἢν μὲν ἄπυρος ᾖ, τὴν μὲν κοιλίην λιπαροῖσι, καὶ πίοσι, καὶ γλυκέσι, καὶ ὑγροῖσιν [88] ὑπάγειν αἰεὶ τὰ ἐνεόντα· καὶ λούειν πολλῷ καὶ θερμῷ τὰ κάτω τοῦ ὀμφαλοῦ, ἢν ὀδύνη ἔχῃ· τὰ δὲ πόματα, καὶ τὰ ῥοφήματα καὶ τὰ σιτία προσφέρειν, κατὰ τὰ γεγραμμένα ἐν τῇ Φαρμακίτιδι. Η δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα κατασηρίξῃ ἐς τὰς φλέβας καὶ τὴν κοιλίην· νοσέει μὲν τὸ αἷμα, καὶ διαχωρέει ἐφθαρμένον· [89] νοσέει δὲ τὸ ἔντερον, καὶ ξύεται καὶ ἑλκοῦται. Γίνεται δὲ αὕτη ἡ νοῦσος, καὶ μακρὴ, καὶ πουλύπονος, καὶ θανατώδης· καὶ, 184 ἢν μὲν ἔτι τοῦ σώματος ἰσχύοντος θεραπεύηται, ἐλπὶς διαφυγεῖν· ἢν δὲ ἤδη ἐκτετηκότος, καὶ τῆς κοιλίης παντάπασιν ἡλκωμένης, [90] ζωῆς οὐδεμία ἐλπίς. Λειεντερίη. Τὰ 22 σιτία διαχωρέει ἄσηπτα, ὑγρά· [91] ὀδύνη δὲ, οὐκ ἔνι· λεπτύνεται δὲ καὶ τὸ σῶμα. Τοῦτον θεραπεύειν τοῖσιν αὐτοῖσιν, οἷον ὑπὸ δυσεντερίης ἐχομένους· ἡ δὲ νοῦσος γίνεται,

CAPUT VII.

De dysenteriæ, lienteriæ, diarrhœæ, tenesmi, choleræ caussis, signis, & curatione.

Quum dysenteria detinuerit, dolor totum ventrem occupat, & tormina, bilem, pituitamque, & sanguinem adustum per alvum dejicit. Hujus purgato capite, medicamentum, quod sursum pituitam purget, propinato; & alvo lacte cocto abluta, reliquum corpus curato. Et si quidem febris expers fuerit, ex alvo quidem unguinosis, pinguibus, dulcibus, ac liquidis, quæ insunt semper educito; & si dolor detineat, partes sub umbilico calida multa lavato; potiones, sorbitiones & cibos, prout in medicamentorum tractatione scriptum est, adhibeto. Oritur hic morbus, postquam bilis & pituita in venas & alvum decubuerint: ægrotat quidem sanguis, & corruptus secedit; ægrotat autem intestinum, & raditur, ac exulceratur. Longus autem hic morbus redditur, laboriosus, & lethalis: ac, si quidem robusto adhuc corpore curetur, effugiendi spes est; si vero jam colliquato, ventreque penitus exulcerato, vitæ nulla spes est. Lienteria. Cibi dejiciuntur incorrupti, liquidi; dolor non adest; corpus autem extenuatur. Hunc iisdem, velut dysenteria detentos, curato: hic morbus oritur, quum

VARIÆ LECTIONES.

84 ἀπόλλυται, Imp. Sambuci, pro προαπόλλυται. Postea in MS. Cod. legitur: ἀπὸ ἀσθενείης, πρὶν τὴν νοῦσον τὴν ὑστέρην γενομένην.

85 οὐ διαδιδοῖ τὸ ὕδωρ MS. cod. & Imp. Sambuci legunt pro οὐ μεταδιδοῖ ὕδωρ.

86 Sic MS. Cod. pro vulgatis: καὶ ἢν μέν.

87 MS. Cod. legit τάμνεται quod sequimur pro τέμνεται.

88 ὑπάγειν αἰεὶ τὰ ἐνεόντα, in MS. Cod. omittitur αἰεὶ. Deinde pro λούειν πολλῷ καὶ θερμῷ τὰ κάτω, in eodem legitur: λούειν θερμῷ τὰ κάτω.

89 νοσέει δὲ καὶ τὸ ἔντερον vulgati Codd. in MS. Cod. καὶ omittitur.

90 ζωῆς οὐδεμία ἐλπὶς, *vita nulla spes est*, publicata exempl. in MS. cod. ζωῆς, *vita*, non legitur.

91 In MS. Cod. scribitur: ὀδύνη δὲ οὐ κινέει, *dolor vero non agitat*, quæ lectio notatur in MS. Servini. Paulo post: ἐν τοῖσιν αὐτοῖσιν, τοῖς ὑπὸ δυσεντερίης ἐχομένοις, habent vulgata exemplaria: nos MS. Cod. lectionem utpote meliorem secuti sumus, eamque notat Imp. Sambuci.

quum ex capite, & superiore ventre in inferiorem ventrem pituitæ defluxus inciderit; quum autem id fit, cibi ab eo refrigerantur & humectantur, eorumque incorruptorum celer fit secessus; & corpus liquescit, quum simul cibi non idoneo tempore in ventriculo coquantur, & simul a ventriculo calido præter naturam incalescat. At quum diarrhœa detinet longa; primum quidem, quæ ingeruntur, liquida per alvum secedunt: deinde vero pituita. Et probe quidem vescitur; verum a copiosa alvi dejectione debilis ac gracilis redditur. Hunc, veratro potui exhibito, & capite pituita purgato, supra reficcabis; & lacte cocto alvum eluito: deinde reliqua curato per cibos & potiones, quibus venter, & totum corpus exiccetur. Morbus ab iisdem oritur, a quibus lienteria. Hi morbi, dysenteria, lienteria, ac diarrhœa, sunt congeneres; eosque sic curare oportet, ut defluxionem quidem a capite & superiore ventre intercipias, aut avertas; morbi namque natura inde manat, neque est, qui qua in re sententiam tuam coarguat. At fere & reliquos morbos sic considerare oportet, unde unicuique natura sit: quod, quum ita consideraveris, morborumque principium deprehenderis, minime aberraveris. Quum tenesmus prehenderit, sanguis niger, & mucus secedunt, dolorque in inferiore alvo oritur, ac maxime ubi ad secessum devenerit. Huic alvum proluere, lenire, ac tepefacere convenit; quæque intus sunt subducere, & calida, excepto capite, lavare. Hic autem morbus plures cibos insumere consuevit: quum enim evacuatur venter, a sanguine ac muco transeuntibus, & ad intestinum illabentibus, tormina fiunt: intus autem manentibus cibis, minorem intestino mordacitatem inferunt. Ac fit quidem ex iisdem, a quibus & dysenteria; verum imbecillior, & brevis, minimeque lethalis. Quum autem ex vino, aut ab epulis cholera prehenderit, aut diarrhœa: diarrhœæ quidem jejunium confert; &, si sitis detineat, vinum dulce exhibendum,

ὅταν ἐκ τῆς κεφαλῆς, ϗ τῆς ἄνω κοιλίης καταῤῥόος γένηται τοῦ φλέγματος ἐς τὴν κάτω κοιλίην· ὅταν δὲ τοῦτο, τὰ σιτία ὑπ' αὐτοῦ ψύχεται ϗ ὑγραίνεται, ϗ ἡ ἄφοδος αὐτῶν ἀσήπτων [92] ταχείη γίνεται· ϗ τὸ σῶμα τήκεται, ἅμα μὲν οὐ πεσσομένων τῶν σιτίων ἐν τῇ κοιλίῃ χρόνον ἱκανόν· ἅμα δὲ ὑπὸ τῆς
23 κοιλίης θερμῆς ἐούσης παρὰ φύσιν θερμαινόμενον. [93] Διάῤῥοια δὲ μακρὴ ὅταν ἔχῃ, διαχωρέει πρῶτον μὲν τὰ εἰσιόντα ὑγρά· ἔπειτα [94] δὲ φλέγμα. Καὶ ἐσθίει μὲν ἐπιεικῶς· ὑπὸ δὲ τῆς [95] πολλῆς διαχωρήσιος ἀσθενὴς ϗ λεπτὸς γίνεται. Τοῦτον ἄνω ἀποξηραίνειν, ἐλλέβορον πιπίσκων, ϗ τὴν κεφαλὴν καθαίρων, φλέγμα· [96] καὶ τὴν κοιλίην διανίψαι γάλακτι ἑφθῷ· ἔπειτα τἄλλα σιτίοισι ϗ ποτοῖσι θεραπεύειν, ὑφ' ὧν ξηρανεῖται ἥτε κοιλίη ϗ τὸ σῶμα πᾶν. Ἡ δὲ νοῦσος ἀπὸ τῶν αὐτῶν
24 γίνεται, [97] ἀφ' ὧν ϗ ἡ λειεντερίη. Αὗται αἱ νοῦσοι, ἥτε δυσεντερίη, ϗ ἡ λειεντερίη, ϗ διάῤῥοια, παραπλήσιαί εἰσι· ϗ δεῖ αὐτὰς οὕτως ἰῆσθαι· τὸν μὲν καταῤῥόον ἀπολαμβάνειν τὸν ἀπὸ τῆς κεφαλῆς ϗ τῆς ἄνω κοιλίης, ἢ ἀποτρέπειν· τοῦ γὰρ νουσήματος ἡ φύσις ἐντεῦθεν γίνεται, καὶ οὐδείς οὐδέν σου μέμψεται τὴν διάνοιαν. Σχεδὸν δὲ καὶ τἄλλα νουσήματα ὧδε δεῖ σκοπεῖν, ὁκόθεν ἑκάστῳ ἡ φύσις γίνεται· καὶ οὕτω σκοπῶν, καὶ λαμβάνων τὴν ἀρχὴν τῶν νουσημάτων, ἥκιστ' ἂν ἁμαρτάνοις. Τεινεσμὸς ὅταν λάβῃ, [98] διαχωρέει αἷμα μέλαν, καὶ μύξα, καὶ πόνος ἐν τῇ κάτω κοιλίῃ γίνεται, καὶ μάλιστα ὅταν εἰς ἄφοδον ἴζῃ. Τοῦτον ξυμφέρει τὴν κοιλίην διϋγραίνειν, καὶ λιπαί-
25 νειν, καὶ [99] ἀλεαίνειν· καὶ ὑπάγειν τὰ ἐνεόντα, καὶ λούειν θερμῷ πλὴν τῆς κεφα-
26 λῆς. Φιλέει δὲ ἡ νοῦσος αὕτη τὰ σιτία πλείω [100] τελέειν· οἱ γὰρ στρόφοι, κενουμένης τῆς κοιλίης ὑπὸ τοῦ αἵματος διεξιόντος, καὶ τῆς μύξης, καὶ προσπιπτόντων πρὸς τὸ ἔντερον, γίνονται· ἐνεόντων δὲ τῶν σιτίων, ἧσσον δῆξιν παρέχει τῷ ἐντέρῳ. Καὶ γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ὧν καὶ ἡ δυσεντερίη· ἀσθενεστέρη δὲ, καὶ ὀλιγοχρονίη, καὶ οὐ θανατώδης. Ὅταν δὲ ἐξ οἴνου [101] ἢ ὑπ' εὐωχίης χολέρη λάβῃ, ἢ διάῤῥοια· τῇ μὲν διαῤῥοίῃ ξυμφέρει διανηστεύειν, καὶ, ἢν δίψος ἔχῃ, οἶνον διδόναι γλυκὺν,

ἢ

Variæ Lectiones.

92 ἐν ταχείη γίνεται MS. Cod. inserto ἐν. Paulo post παρὰ φύσιν θερμαινόμενον, legisse videtur Calvus.
93 Διάῤῥοια δὲ ἡ μακρὴ ὅταν ἔχῃ, vulgati Codd. nos autem articulum cum MS. Cod. omisimus, id quod melius.
94 Sic MS. Cod. quæ lectio Lindeno probatur inserto δέ.
95 πολλῆς διαχωρήσιος legunt publicata exemplaria; in MS. Cod. vero πολλῆς omittitur: verum requiri videtur, id quod ex sequentibus patet; siquidem longo alvi fluxu & frequenti detenti valde extenuantur. Paulo post ὑποξηραίνειν ex Vet. Cod. legit Mercur. pro ἀποξηραίνειν. Deinde pro τοῦτον ἄνω, MS. Cod. habet: τούτου τὰ ἄνω.
96 Διανίψαι δὲ ϗ τὴν κοιλίην, MS. cod. scribit ϗ τὴν κοιλίην διανίψαι, alvumque lacte eluito, quam lectionem sequimur. Deinde in eodem dicitur: ἔπειτα τάτε ἄλλα.
97 ἀφ' ὧν ϗ ἡ λειεντερίη Imp. Sambuci: & paulo post in MS. Cod. ϗ διάῤῥοια, alvique fluxus, non leguntur, deinde παραπλήσιαί εἰσι, pro παραπλήσιαί τε, in Cod. legitur.
98 In MS. Cod. legitur: διαχωρέει αἷμα μέλαν, ϗ μύξα sanguis niger, & mucus secedunt, id quod hæmorrhoidariis accidere solet. Hancque lectionem sequimur inserto μέλαν niger, scilicet sanguis.
99 Vulgati codd. λεαίνειν legunt, quam lectionem retinuit Foësius. Verum nos ἀλεαίνειν, ex MS. Cod. scripsimus, quæ lectio optima, & respondet τῷ, tepefacere in versione: nam λεαίνειν est levigare, quod ad rem non facit.
100 Hic variant exemplaria. Imp. Corn. θέλειν, expetere habet MS. Cod. ποιέειν. Postea pro οἱ γὰρ στρόφοι, Mercur. in margine notat ὅταν γὰρ στρόφοι.
101 ἢ ὑπ' εὐωχίης· in MS. Cod. ἢ εὐωχίῃ, aut epulis legitur.

" [102] ἢ στέμφυλα γλυκέα· ἐς ἑσπέρην δὲ 27
διδόναι ταῦτα, ἃ καὶ τοῖσιν ὑπὸ φαρμά-
κου κεκαθαρμένοισιν. [103] Ἢν δὲ μὴ παύη-
ται, ἐθέλῃς δὲ παῦσαι, ἔμετον ἀπὸ σιτίου
ἢ φακίου ποιῆσαι· καὶ παραχρῆμα ἀνα-
σπᾶται ἄνω ἡ κάτω ἄφοδος· καὶ, ἢν δια-
κλύσῃς χυλῷ φακῶν ἢ ἐρεβίνθων, καὶ οὕ-
τως ἧσσον [104] παύσεται. Τῇ δὲ χολέρῃ
ξυμφέρει, ἢν μὲν ὀδύνη ἔχῃ, διδόναι ἃ
γέγραπται ἐν τοῖσι φαρμάκοισι παύοντα
τὴν ὀδύνην· τὴν δὲ κοιλίην θεραπεύειν
τήν τε ἄνω καὶ τὴν κάτω, διυγραίνοντα
πόμασι, καὶ μαλάσσοντα τὸ σῶμα λου-
τροῖσι θερμοῖσι, πλὴν τῆς κεφαλῆς· καὶ
ὅ, τε ἔμετος οὕτως [105] εὐπρεπέστερος γί-
νεται, καὶ, ἢν ἐσίῃ τι ὑγρὸν, " τὰ προ- 28
σεστηκότα ἄνω ἀπεμέεται, καὶ, ἡ κάτω
ὑποχώρησις μᾶλλον διαχωρέει· " [106] ἢν 29
δὲ κενώσῃς, ἐμέεται βιαίως, καὶ ὑπο-
χωρέει βιαιότερον· ἐς ἑσπέρην δὲ διδόναι
καὶ τούτῳ, [107] ὅσαπερ τῷ φαρμακοπο-
τέοντι. Γίνεται δὲ καὶ ταῦτα τὰ
ἀλγήματα, ὅσα ἐκ ποσίων γίνεται, ἢ
ἐξ εὐωχίης, [108] ὅταν τὰ σιτία καὶ τὰ
ποτὰ πλέον τοῦ εἰωθότος ἐς τὴν κοιλίην
εἰσέλθῃ, καὶ τὰ ἔξωθεν εἰωθότα ὑπερ-
θερμαίνειν τὸ σῶμα, κινέῃ χολὴν καὶ
φλέγμα.

aut uvarum dulcium retrimenta : sub vesperam autem ea danda, quæ a medicamento purgatis dantur. Quod si non sedetur, sedare autem velis, vomitum post cibum, aut lenticulæ decoctum, excitato; confestimque per inferiora secessus sursum revellitur; ac si lentium aut cicerum cremore elueris, sic quoque quodammodo sedabitur. At choleræ confert, si quidem dolor detineat, ea dare, quæ in medicamentis dolorem sedare scripta sunt: venter autem tum superior, tum inferior, potionibus humectantibus curandus, corpusque excepto capite, balneis calidis emollientibus; sicque proclivior vomitus contingit, & siquid humidi subierit, quæ molesta sunt, sursum revomuntur, & per inferiora secessus magis prodit: quod si vacuaveris, violenter evomuntur, & violentius secedunt: sub vesperam autem etiam huic dato, quæ ei, qui medicamento purgante usus est, exhibentur. At hi dolores, qui ex vini potionibus, aut epulis contingunt, oriuntur etiam, quum cibi & potus solito copiosiores in ventriculum subierint, quæque foris corpus supra modum calefacere solent, bilem & pituitam agitarint.

SECTIO II.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τῶν τῆς στραγγουρίας, καὶ ἰσχιάδος, καὶ ἀρθρίτιδος, καὶ ποδάγρας αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

Στραγγουρίης τρόποι μὲν πολλοὶ καὶ παντοῖοι. Ξυμφέρει δὲ, ἔξωθεν μὲν τὸ σῶμα μαλάσσειν λουτροῖσι θερμοῖσιν· ἔσωθεν δὲ διυγραίνειν, τὴν μὲν κοιλίην σιτίοισιν, ὑφ' ὧν εὔροος ἔσται· τὴν δὲ κύστιν ποτοῖσιν, ὑφ' ὧν τὸ οὖρον ὡς πλεῖστον [109] διαχεῖται· διδόναι δὲ καὶ τῶν διουρητικῶν φαρμάκων, ἃ γέγραπται ἐν τῇ Φαρμακίτιδι, παύοντα τῆς ὀδύνης. Ἡ δὲ νοῦσος ὑπὸ τοῦ φλέγματος γίνεται, καὶ, ὅταν μὲν

CAPUT VIII.

De stranguriæ, ischiadis, arthritidis, & podagræ causis, signis, & curatione.

Stranguriæ multi quidem & varii sunt modi. Confert vero, foris quidem corpus balneis calidis emollire; intus vero humectare, alvum quidem cibis, quibus fluida reddatur; vesicam vero potionibus, a quibus urinæ quamplurimum profluit: ex medicamentis autem urinam cientibus, ea danda sunt, quæ in medicamentorum tractatu dolorem sedare scripta sunt. Hic morbus vero a pituita oritur, & quum quidem

VARIÆ LECTIONES.

102 Στέμφυλα Galeno Libr. II. de aliment. sunt uvarum torculari expressarum solida retrimenta, quæ & ceteris τρύγα vocari, & Atticis βρύτια idem scribit. Quin & στεμφύλου nomen vult a quibusdam attribui uvarum radici ex sarmentis enascenti: & στέμφυλα Atticis dici olivarum partes solidas, cum oleum fuerit expressum. Fraces in olivis, ut flores in uvarum reliquiis vocantur. Præterea Athenæus Libr. II. στέμφυλα τὰς τετριμμένας ἐλαίας Atticis dici scribit, βρύτεα vero, quæ ab aliis vocantur στέμφυλα, quæ Galeno βρύτια appellat. Quibus adductis hic locus Hippocratis accipiendus nobis videtur de uvarum dulcium reliquiis adhuc succulentis, neque in plenum expressis, quæ suctu & ore contentæ sitim sedant. Interpretes autem uvarum dulcium passarum retrimenta, earumque decoctum intelligunt, quod sitim mitigat, & alvi, orisque ventriculi morsum hebetat: & aliquid ἐπικεραστικὸν habent, ut scribit Galen. Libr. I. de Aliment. facultatibus.

103 ἢν δὲ μὴ παυσῆται MS. Cod. & Imper. Sambuci, quod idem est.

104 πεπαύσεται Imper. Sambuci legit eadem significatione. Paulo post pro διυγραίνοντα, MS. Cod. ὑγραίνοντα.

105 Pro εὐπετέστερος, *facilior*, MS. Cod. & Imp. Sambuci, Fevr. Servin. legunt εὐπρεπέστερος, *opportunior*, scilicet vomitus contingit. Paulo post καὶ τὰ προσεστηκότα legunt exempl. Vatic. Publicata vero καὶ omittunt.

106 ἢν δὲ κενώσῃ vulgati codd. MS. Cod. vero ἢν δὲ κενώσῃς, *quod si vacuaveris* scribit, quam lectionem probamus cum Cornar. & Foësio.

107 MS. Cod. legit: ὅσα περ φαρμακοποτῇ· γίνεται δὲ ταῦτα.

108 καὶ ὅταν τὰ σιτία καὶ τὰ ποτὰ πλείω MS. Cod. & Imper. Sambuci.

109 δίεισι MS. Cod. Imp. Sambuci & Fevr. pro διαχεῖται scribunt; sed glossema esse videtur.

vesica resiccata, aut refrigerata, aut vacuata fuerit, dolorem affert; quum vero humida & plena, aut etiam distenta est, minus. Hic autem morbus senioribus quidem longior fit: junioribus vero, brevior; neutris tamen lethalis. Quum ischias fit, dolor coxæ connexionem invadit, & extremam natem, & clunem; tandem vero per totum etiam crus dolor deerrat. Huic confert, quum dolor detinuerit, balneis, tepefactoriis, ac fomentis emollire ad quamcunque cruris partem dolor forte decubuerit, alvumque subducere: quum autem levatus dolor fuerit, medicamentum infra purgans exhibere, & post hæc lac asininum coctum potare: ad dolorem autem dentur, quæ scripta sunt in medicamentorum tractatione. Oritur hic morbus, quum bilis & pituita ad venam sanguifluam decubuerit, aut ex alio morbo, aut alias, quicquid sanguinis a pituita & bile coactum, ægrotarit: istud enim toto crure per venam sanguifluam vagatur; & ubicunque constiterit: ibi etiam dolor maxime manifestus & molestus contingit: non tamen lethalis. Si vero in unum aliquem locum decubuerit dolor, & constiterit, neque medicamentis expellatur, urito quocunque loco dolor forte consederit; sed eum lino crudo inurito. Arthritis morbus quum detinet, corporis articulos ignis & dolor invadit: prehendit etiam acutus, & ad alium atque alium etiam articulum vehementiores & leviores dolores decumbunt. Huic, qua parte dolor detinet, refrigerantia admovere confert, & quæ in ventre sunt, per clysteres & glandem subducere; & quicquid tibi profuturum videbitur, sorbendum & bibendum exhibere. Quum vero dolor remiserit, medicamentum deorsum purgans propinato; & post hoc serum coctum, aut lac asininum potui exhibeto. Hic morbus ex bile & pituita oritur, quum agitata ad articulos decubuerint; & brevis quidem & acutus est: sed minime lethalis; junioribusque magis, quam senioribus contingere solet. Podagra vero ejusmodi omnium, qui circa articulos oboriuntur, (affectuum)

ἡ κύστις ξηρανθῇ, ἢ ψυχθῇ, ἢ κενωθῇ, ὀδύνην παρέχει· [110] ὅταν δὲ ὑγρή τέ ἐστι, καὶ πλήρης, ἢ καὶ κεχυμένη, ἧσσον. Ἡ δὲ νοῦσος τοῖσι μὲν παλαιοτέροισι, μακροτέρη γίνεται· τοῖσι δὲ νεωτέροισι, βραχυτέρη· θανατώδης δὲ οὐδετέροισιν. Ἰσχιὰς δὲ ὅταν γένηται, ὀδύνη λαμβάνει ἐς τὴν πρόσφυσιν τοῦ ἰσχίου, καὶ ἐς ἄκρον τὸ πυγαῖον, [111] καὶ τὸν γλουτόν· τέλος δὲ καὶ διὰ παντὸς τοῦ σκέλεος πλανᾶται ἡ ὀδύνη. [112] Τούτῳ συμφέρει, ὅταν ἡ ὀδύνη ἔχῃ, μαλάσσειν, καθ᾽ ὁκοῖον ἂν τυγχάνῃ τοῦ σκέλεος στηρίζουσα ἡ ὀδύνη, [113] λουτροῖσι καὶ χλιάσμασι καὶ πυρίῃσι, καὶ τὴν κοιλίην ὑπάγειν· ὅταν δὲ λωφήσῃ ἡ ὀδύνη, φάρμακον δοῦναι κάτω, καὶ μετὰ ταῦτα πιεῖν γάλα ὄνου ἑφθόν· διδόναι δὲ τῆς ὀδύνης, ἃ γέγραπται [114] ἐν τοῖσι φαρμάκοισιν. Ἡ δὲ νοῦσος γίνεται, ἐπειδὰν χολὴ καὶ φλέγμα ἐς τὴν αἱμόῤῥοον φλέβα καταστηρίξῃ, ἢ ἐξ ἑτέρης νούσου, [115] ἢ ἄλλως, ὁκόσον ἂν τοῦ αἵματος ὑπὸ φλέγματος, καὶ τῆς χολῆς νουσήσῃ ξυνεστηκός· τοῦτο γὰρ πλανᾶται ἀνὰ τὸ σκέλος διὰ τῆς φλεβὸς τῆς αἱμοῤῥόου· [116] καὶ ὅκου ἂν στῇ, κατὰ τοῦτο καὶ ἡ ὀδύνη ἔνδηλος γίνεται μάλιστα καὶ ἐπίπονος· θανατώδης δὲ οὔ. Εἰ δὲ ἐς ἕν τι χωρίον καταστηρίξῃ ἡ ὀδύνη, καὶ στῇ, καὶ τοῖσι φαρμάκοισι μὴ ἐξελαύνηται, [117] καῦσαι καθ᾽ ὁκοῖον ἂν τόπον τυγχάνῃ ἐοῦσα ἡ ὀδύνη· καίειν δὲ τῷ ὠμολίνῳ. Ἀρθρῖτις νοῦσος ὅταν ἔχῃ, λαμβάνει πῦρ καὶ ὀδύνη τὰ ἄρθρα τοῦ σώματος· λαμβάνει δὲ καὶ ὀξείη, καὶ ἐς ἄλλο τε καὶ ἄλλο τῶν ἄρθρων, ὀξύτεραί τε καὶ μαλακώτεραι καταστηρίζουσιν αἱ ὀδύναι. [118] Τούτῳ ξυμφέρει προσφέρειν, ᾗ ἂν ἡ ὀδύνη ἔχει, ψύγματα, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα κλύσμασιν ἢ βαλάνῳ, καὶ ῥοφᾷν διδόναι καὶ πιεῖν, ὅ, τι ἂν δοκέῃ σοι ξυνοῖσον. Ὅταν δὲ ἡ ὀδύνη [119] ἀνῇ, φάρμακον κάτω πῖσαι· καὶ μετὰ τοῦτον πίνειν ὀῤῥὸν ἑφθὸν, ἢ ὄνου γάλα. Ἡ δὲ νοῦσος γίνεται ὑπὸ χολῆς καὶ φλέγματος· ὅταν κινηθέντα εἰς τὰ ἄρθρα καταστηρίξῃ· καὶ ὀλιγοχρονίη μὲν γίνεται, καὶ ὀξείη· θανατώδης δὲ οὔ· νεωτέροισι δὲ εἴωθε μᾶλλον [120] ἢ γεραιτέροισι γίνεσθαι. Ποδάγρη δὲ βιαιότατον μὲν τῶν τοιούτων ἁπάντων, ὁκόσα περὶ τὰ ἄρθρα, καὶ

VARIÆ LECTIONES.

110 ὅταν δὲ ὑγρή τε καὶ πλήρης ᾖ· καὶ κεχυμένη, scribitur in MS. Cod.

111 Γλουτὸς exponitur Hesychio & Suidæ τὸ τῆς κοτύλης σφαίρωμα, & heic protuberantem in summa femoris parte carnem indicat, quæ in femoris superiori cervice exterius apparet, & admodum gibbosa est, sedentibusque pulvini vicem præstat, ac ἀποφύσιν externam femoris vestit. Constat autem in coxario morbo extremas ad nates, & summam illam femoris musculosam carnem magnum dolorem urgere.

112 MS. Cod. scribit: τοῦτον θεραπεύειν λουτροῖσι, καὶ χλιάσμασι· καὶ πυρίῃ, cæteris omissis.

113 ἐν λουτροῖσι, Imp. Sambuci ἐν delet, atque nos delevimus.

114 παρὰ τοῖσι φαρμάκοισιν vulgati codd. ἐν τοῖσι φαρμάκοισιν MS. Cod. quæ lectio probatur.

115 ἢ καὶ ἄλλως, inserta particula καὶ MS. Cod. Paulo post καὶ τῆς χολῆς νουσήσῃ Cod. quæ lectio probatur, inserto articulo τῆς, quod sequitur Lind.

116 MS. Cod. καὶ ὅκου ἂν στῇ, ἡ ὀδύνη κατὰ τοῦτο ἔνδηλος μάλιστα γίνεται· ἡ δὲ νοῦσος μακρὴ γίνεται, καὶ ἐπίπονος.

117 καῦσαι καθ᾽ ὁκοῖον ἂν τόπον MS. Cod. quam lectionem recepimus, addito τόπον.

118 In MS. Cod. legitur: τούτῳ ξυμφέρει προσφέρειν· ὁκόταν ἡ ὀδύνη ἔχῃ, ψύγματα, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα κλυσμῷ, ἢ βαλάνῳ, καὶ ῥόφειν ἐπιδιδόναι.

119 Sic Imperial. Sambuci; quod probamus cum Lindeno pro vulgato ἐνῇ affuerit: Sinibaldus vero ἔνη vetus scilicet dolor, legendum putat. Hipp. Antiphanes pag. mihi 218. sed prior lectio magis Medicæ rationi, & veritati convenit.

120 ἢ γέρουσι γίγνεσθαι· ποδάγρη δὲ βιαιότατον, quæ lectio probatur inserto δέ. Foës. pro βιαιότατον, legit βιαιότερον, violentior.

καὶ πουλυχρονιώτατον, καὶ δυσαπαλλακτότατον. Καὶ ἔςι μὲν ἡ νοῦσος αὔτη, τοῦ αἵματος ἐφθαρμένου, τοῦ ἐν τοῖσι φλεβίοισιν, ὑπὸ χολῆς καὶ φλέγματος· ὅσῳ δὲ ἐν λεπτοτάτοισιν ᾖ [121] φλεβίοισι, καὶ ἐν ἀνάγκῃ πεφυκόσι πλείςῃ τοῦ σώματος, καὶ ἐν νεύροισι καὶ ὀςέοισι πολλοῖσί τε καὶ πυκνοῖσι, τοσούτῳ δὴ παραμονιμώτατόν τέ ἐςι τὸ νούσημα, καὶ δυσαπαλλακτότατον. Ξυμφέρει δὲ καὶ ταύτῃ τὰ αὐτὰ, ἃ καὶ τῇ ἀρθρίτιδι, καὶ μακρὴ μὲν, καὶ αὔτη ἡ νοῦσος καὶ ἐπίπονος· θανατώδης δὲ οὔ. Ἢν δὲ τοῖσι [122] δακτύλοισι τοῖσι μεγάλοισιν ἡ ὀδύνη καταλείπηται, καῦσαι τὰς φλέβας τοῦ δακτύλου ὑπὲρ τοῦ κονδύλου ὀλίγον· καίειν δὲ ὠμολίνῳ.

violentissimus quidem est; ac diuturnissimus, quique ægerrime solvitur. Et est hic quidem morbus sanguinis in venis a bile & pituita corrupti: quanto autem in tenuioribus fuerit venulis, ac in plurima corporis necessitate constitutis, & in nervis, & ossibus multis ac densis, tanto sane permanentior morbus est, ac ægrius

31

profligatur. Huic autem eadem, quæ & arthritidi, conferunt, & longus quidem etiam hic morbus est & molestus; minime tamen lethalis. Quod si in pollicibus dolor relinquatur, venas in pollice paululum supra articuli nodum inurito: ustio autem per linum crudum fiat.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς τοῦ ἰκτέρου καὶ τῆς φυμάτων αἰτίων καὶ τῆς θεραπείας· καὶ περὶ τῶν αἰσχρῶν παθῶν, τῆς λέπρας, καὶ τοῦ κνησμοῦ, καὶ τῆς ψώρας, καὶ τῶν λειχήνων, καὶ τοῦ ἀλφοῦ, καὶ τῆς ἀλωπεκίας· καὶ τοῦ κηρίου, καὶ τῶν χοιράδων, καὶ φυγέθλων, καὶ δοθιήνων, καὶ ἀνθράκων.

[123] ΤΟν δὲ ἴκτερον ὧδε χρὴ θεραπεύειν. Ἔξωθεν μὲν τὸ σῶμα μαλθάσσειν λουτροῖσι θερμοῖσι· τὴν δὲ κοιλίην διυγραίνειν, καὶ τὴν κύςιν, καὶ τῶν διουρητικῶν διδόναι, ἃ προγέγραπται. Ἢν δὲ ἰσχυρὸς ᾖ, καθήρας τὴν κεφαλὴν, φάρμακόν τι πίσαι κάτω, ὃ χολὴν καθαίρει· ἔπειτα δὲ τοῖσι διουρητικοῖσι χρῆσθαι. Ἡ δὲ νοῦσος γίνεται, ὅταν χολὴ κινηθεῖσα ὑπὸ τὸ δέρμα τράπηται. Ταῦτα δὲ ἐπιςάμενος ἀνὴρ ἰδιώτης, οὐκ ἂν ὁμοίως ἐμπίπτοι εἰς ἀνήκεςα νουσήματα· [124] καὶ γὰρ νουσήματα εἴωθεν ἀπὸ μικρῶν προφασίων μεγάλα καὶ πολυχρόνια γίνεσθαι. Καὶ, ὅσα μὲν σιτίων ἢ ποτῶν ἐχόμενά ἐςιν, ἢ ῥοφημάτων, ἢ φαρμάκων, ὅσα ὀδύνης εἵνεκα δίδοται, ἀκίνδυνά ἐςιν [125] ἅπαντα προσφέρειν ἀεὶ, ἐὰν κατὰ τὰ γεγραμμένα προσφέρῃς· ὅσα δὲ καθαίρει τῶν φαρμάκων, χολὴν ἢ φλέγμα, ἐν τούτοισιν οἱ κίνδυνοι γίνονται· καὶ αἱ αἰτίαι τοῖσι θεραπεύουσι· φυλάσσεσθαι οὖν χρὴ ταῦτα μάλιςα. Καὶ ταῦτα

CAPUT IX.

De icteri, & tuberculorum causis & curatione; & de fœdis affectibus, lepra, prurigine, scabie, impetigine, vitiligine, alopecia; favo, panis, furunculis, & carbunculis.

ICterus autem ita curandus est. Corpus quidem balneis calidis foris emolliendum; alvus vero & vesica humectanda, & ex urinam cientibus danda, quæ ante scripta sunt. Quod si vehemens fuerit, capite purgato, medicamentum, quod bilem per inferiora purget, propinato; postea vero urinam ducentibus utendum. Hic autem morbus oritur, quum bilis commota sub cutem fusa fuerit. Hæc autem si vir privatus noverit, haud similiter in incurabiles morbos inciderit: solent enim morbi ex parvis causis, magni ac diuturni fieri. Et, quæ quidem ad cibos aut potiones spectant, vel sorbitiones, vel medicamenta, quæcunque doloris gratia exhibentur, ea omnia semper sine periculo exhibentur, si, prout præscripta sunt, exhibueris: quæ vero medicamenta bilem aut pituitam purgant, in his pericula incidunt, & culpæ medentibus imputantur: hæc igitur maxime evitare oportet. Atque ii quidem

VARIÆ LECTIONES.

121 Post φλεβίοισι, in Imper. Sambuci adscribitur τοσούτῳ, hancque lectionem notat Fevr.

122 δακτύλοισι τοῖσι μεγάλοισιν ἡ ὀδύνη καταλείπηται MS. Cod. quam lectionem probamus, pro δακτύλοισιν ἡ ὀδύνη ἐγκαταλείπηται vulgatis, ubi notandum Æmil. Port. ἐγκαταλείπηται emendare. Postea καίειν δὲ ὠμολίνῳ, *ustio autem per linum crudum fiat*. Modum vero inurendi cum non doceat Hipp. Martianus patat sic fieri posse: accipiatur linum crudum, & arcte conglobatum, reducatur in formam pyramidis, cujus basis latior in angustum coarctetur. Magnitudinem seu latitudinem basis indicabit, locus inurendus: non ignorato, ustionem aliquanto latiorem fieri, quam sit basis pyramidis. Hæc igitur in summitate accensa, loco inurendo apponatur, ibique resideat, donec tota materia absumpta sit; nam ignis serpendo, ad cutim perveniens ustionem facit; & quod mirum videtur, fere insensibiliter, & sine dolore. Extincto igne porrum elixum imponebat Hippocrates, donec, quod exustum est, decidat. Quanti vero has habeant orientalis plagæ populi, & quibus casibus utantur, manifestavit Prosper Alpinus Libr. de Medicina Ægyptiorum.

123 MS. Cod. ἴκτερον δὲ ὧδε scribit; & paulo post ἃ γέγραπται idem legit.

124 καὶ γὰρ νουσήματα desunt hæc verba in MS. Cod. & paulo post καὶ φαρμάκων. Imp. Cornarii legit.

125 ἅπαντα· ἃ δεῖ προσφέρειν, ἐὰν κ. τ. λ. MS. Cod.

morbi sunt, qui circa ventrem oriuntur, suppuratis & tabidis, & muliebribus morbis exceptis: hi enim seorsim scribentur. Quæ tubercula nascuntur, omnia a pituita aut sanguine nascuntur. Quum autem a vulnere, aut casu collecta fuerint, hæc sane confert partim quidem cataplasmatis inducere, & medicamentis epotis discutere; partim vero cataplasmatis impositis maturare. Ex cataplasmatis autem discutiunt, quæcunque calida humectant, neque ad se trahunt: maturant autem, quæ calefaciendo contrahunt. Quum vero aliquod sectum, aut sponte ruptum fuerit, medicamento humorem repurgato; quum autem pus effluere desierit, velut ulcus curato. Lepra, pruritus, scabies, impetigines, vitiligo, & alopeciæ ex pituita oriuntur: sunt autem ista fœditas potius, quam morbi. Favus, strumæ, pani, furunculi, & carbunculus, a pituita creantur. In his, ut ea repurges, medicamentis ad hunc modum utendum. Quicunque biliosi quidem sunt, his ea exhibeto, quibus bilis repurgetur; pituitosis vero, a quibus pituita; melancholicis autem, a quibus bilis atra; hydropicis vero, a quibus aqua. Quæ medicamenta potui dantur, & non purgant neque bilem, neque pituitam, ea quum corpus subierint, facultatem suam exhibere oportet, aut refrigerando, aut calefaciendo, aut siccando, aut humectando, aut cogendo, aut diffundendo: quæ vero somnum conciliant, ea sanguini quietem per medicamentum præbere oportet.

CAPUT X.

Quæ apud ægrotum medico animadvertenda ac inquirenda sint; ac de idoneis vulnerato remediis diætetícis, ac pharmaceuticis.

QUum vero ad ægrotum accesseris, quænam patiatur, interrogare oportet, & quanam ex causa, & quot jam diebus, an etiam venter secedat, & quo victu vivat; imprimisque animadvertere, utrum morbus a bile, aut pituita, aut ab utrisque ortus sit: probeque id nosse, quod ab horum altero,

μὲν, ὅσα κατὰ κοιλίην γίνεται νουσήματα, 30
πλὴν περὶ ἐμπύων, καὶ φθινόντων, καὶ τῶν γυναικείων· ταῦτα γὰρ χωρὶς γεγράψεται. [126] Φύματα, ὅσα φύεται, πάντα ὑπὸ φλέ-
32 γματος, ἢ αἵματος φύεται. " [127] Ὅταν δὲ ὑπὸ τρώματος ἢ πλώματος ἀθροισθῇ, [128] ξυμφέρει δὴ τούτων, τὰ μὲν καταπλάσσοντα, καὶ φάρμακα πιπίσκοντα διαχεῖν· τὰ δὲ καταπλάσσοντα πεπαίνειν. Διαχέει μὲν τῶν καταπλασμάτων, ὅσα [129] θερμὰ ὄντα ὑγραίνει, καὶ μὴ σπᾷ ἐς ἑωυτά· πεπαίνει δὲ, ὅσα θερμαίνοντα ξυνάγει. Ὅ- 35
ταν δέ τι τμηθῇ, ἢ αὐτόματον ῥαγῇ, φαρμάκῳ ἀνακαθαίρειν [130] τὸ ὑγρόν· ὅταν δὲ πυοῤῥοοῦντα παύσηται, ὡς ἕλκος ἰῆσθαι.
33 " Λέπρη, καὶ [131] κνησμὸς, καὶ ψώρη, καὶ λειχῆνες, καὶ ἄλφος, καὶ ἀλώπεκες, [132] ὑπὸ φλέγματος γίνονται· ἔστι δὲ τὰ τοιαῦτα, αἶσχος μᾶλλον, ἢ νουσήματα. Κηρίον, καὶ χοιράδες, καὶ [133] φύγεθλα, καὶ δοθιῆνες, καὶ [134] ἄνθραξ, ὑπὸ φλέγματος φύεται. Τούτοισι τοῖσι φαρμάκοισιν, ἀποκαθαίροντα, ὧδε χρῆσθαι. Ὅσοι μὲν χολώδεές εἰσι, δι- 40
δόναι, [135] τὰ, ὑφ᾽ ὧν χολὴ καθαίρεται· ὅσοι δὲ φλεγματώδεες, τὰ, ὑφ᾽ ὧν φλέγμα· [136] ὅσοι δὲ μελαγχολῶσι, τὰ ὑφ᾽ ὧν μέλαινα χολή· τοῖσι δὲ ὑδρωπιῶσι, τὰ ὑφ᾽ ὧν ὕδωρ. Ὅσα δὲ δίδοται φάρμακα ποτὰ,
34 " [137] καὶ μὴ καθαίρει μήτε χολὴν, μήτε φλέγμα, ὅταν ἐς τὸ σῶμα εἰσέλθῃ, τὴν δύναμιν αὐτὰ παρέχεσθαι δεῖ, ἢ ψύχοντα, ἢ θερμαίνοντα, ἢ ξηραίνοντα, ἢ ὑγραίνοντα, ἢ ξυνάγοντα, ἢ διαχέοντα· ὅσα δὲ ὕπνον ποιέει, [138] ἀτρεμείην δεῖ τῷ αἵματι παρέχειν τὸ φάρμακον.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Τίνα παρὰ τῷ νοσοῦντι τὸν ἰατρὸν ἐνθυμεῖσθαι καὶ ἐπανερωτᾶν χρή· καὶ περὶ τῶν ἐπιτηδείων τοῖς τρωματίαις βοηθημάτων, διαιτητικῶν τε καὶ φαρμακευτικῶν.

ΟΤαν δὲ ἐπὶ νοσέοντα ἀφίκῃ, [139] ἐπανερω- 45
τᾶν χρὴ, ἃ πάσχει, καὶ ἐξ ὅτου, καὶ ποσταῖος, καὶ τὴν κοιλίην εἰ διαχωρέει, καὶ δίαιταν ἥν τινα διαιτᾶται· καὶ ἐνθυμέεσθαι, πρῶτον μὲν τὸ νούσημα, πότερον ἀπὸ χολῆς ἢ φλέγματος γεγένηται, ἢ ἀμφότερα, καὶ τοῦτο εὖ εἰδέναι· [140] ὅτι ἀνάγκην ἔχει, ὥστε ὑπὸ τούτων τοῦ ἑτέρου, ἢ

VARIÆ LECTIONES.

126 MS. Cod. φύματα πάντα· ὅσα φύεται ὑπὸ φλέγματος.
127 εἰ γὰρ ὑπὸ φλέγματος, ὅτ᾽ ἂν ὑπὸ τρώματος MS. Cod.
128 ξυμφέρει δὲ MS. Cod. & Ald. exemplaria.
129 MS. Cod. habet θέρμα ἐόντα.
130 Pro τὸ ὑγρὸν, MS. Cod. habet τὸ πῦον.
131 Pro κνησμὸς, MS. Cod. legit κνισμὸς eodem sensu.
132 ὑπὸ φλέγματος γίνεται habet Imp. Sambuci. Deinde in MS. Cod. pro ἔστι δὲ τὰ τοιαῦτα, αἶσχος μᾶλλον, legitur ἔστι δὲ ταῦτα αἴσχεα μᾶλλον, quod concinnius videtur.
133 φύγεθλον, *panus* vertit Cels. Libr. V. cap. 8. Num. 19. φύγεθλον, autem est tumor non altus; sed latus, in quo quiddam pustulæ simile est. Gal. cap. 3. de artic. tit. 2. φύγεθλον, φῦμα ἄπεπτον, *tuberculum immaturum* dicitur.
134 Pro ἄνθραξ, in MS. Cod. legitur ἄνθρακες, *carbunculi*.
135 ὑφ᾽ ὧν MS. Cod. ut & paulo post, omisso τὰ, ubique.
136 ὅσοι δὲ μελαγχολῶσιν, ὑφ᾽ ὧν MS. Cod. pro vulgatis ὅσοι δὲ μελαγχολοῦσι, τὰ ὑφ᾽ ὧν.
137 Imp. Cornarii καθαίρει scribit, pro καθαίρειν.
138 ἀτρεμείην δεῖ τῷ σώματι MS. Cod. pro ἀτρεμίην δεῖ τῷ αἵματι.
139 Pro ἐπανερωτᾶν, MS. Cod. scribit ἐπανέρεσθαι. & paulo post pro πρῶτα, MS. Cod. & Imp. Sambuci legunt πρῶτον, quod probamus.
140 ὅτι ἀνάγκη, ὥστε ὑπὸ κ. τ. λ. MS. Cod. omisso ἔχει.

ἢ ἀμφοτέρων γίνεσθαι· ἔπειτα, πότερον ξηρασίης ἢ ὑγρασίης χρήζει· ἢ τὰ μὲν τοῦ σώματος ξηρασίης, τὰ δὲ ὑγρασίης: ἔπειτα
186 τὴν νοῦσον, εἴτε ἄνω δεῖ θεραπεύειν, εἴτε κάτω, εἴτε διὰ τῆς κύστιος· καὶ, εἴτε αὔξεται ἡ νοῦσος, εἴτε μαραίνεται, εἴτε λύεται, εἴτε μεταπίπτει εἰς ἑτέρην νοῦσον. Τοὺς τρωματίας λιμοκτονέειν, καὶ ἐκ τῆς κοιλίης ὑπάγειν τὰ ἐνεόντα, ἢ ὑποκλύζοντα, ἢ φάρμακον κάτω [141] διδόντα, καὶ πίνειν ὕδωρ ἢ ὄξος, ἢ ῥοφεῖν. Τὰ φλεγμαίνοντα ψύχειν καταπλάσμασι· [142] τὰ δὲ τοιαῦτα καταπλάσματα εἶναι, ἢ τεῦτλα ἑφθὰ ἐν ὕδατι, ἢ σέλινον, ἢ ἐλαίης φύλλα, ἢ συκῆς φύλλα, ἢ βάτου, ἢ βαλάνου, ἢ ῥοιῆς γλυκείης: ἑφθοῖσι δὲ τούτοισι χρῆσθαι· ὠμοῖσι δὲ [143] ῥάμνου φύλλοισιν, ἢ ἄγνου, ἢ ἐλελισφάκου, ἢ τιθυμάλλου, ἢ γλήχωνα χλωρὴν, ἢ πράσα, ἢ σέλινα, ἢ κορίανον, ἢ ἰσάτιδος φύλλα. Ἢν δὲ μηδὲν [144] ἀπὸ τούτων ἔχῃς, μηδὲ ἄλλό τι μηδὲν, κατάπλασμα, ἄλφιτον φυρήσας ὕδατι ἢ οἴνῳ, καταπλάσαι. Τοσοῦτον δὲ χρόνον τὰ καταπλάσματα ὠφελέει, [145] ὁκόσον ἂν ψυχρότερα ᾖ, ἢ τὸ ἕλκος: ὅταν δὲ ᾖ θερμότερα, ἢ ὁμοίως θερμὰ, βλάπτει. Τὰ λιπαρὰ πρὸς τὰ φλεγμαίνοντα οὐ ξυμφέρει, οὐδὲ πρὸς τὰ ἀκάθαρτα, οὐδὲ πρὸς τὰ σηπόμενα· ἀλλὰ πρὸς μὲν τὰ φλεγμαίνοντα [146] ξυμφέρει τὰ ψυχρά· πρὸς δὲ τὰ ἀκάθαρτα, καὶ τὰ σηπόμενα, τὰ δριμέα, καὶ, ὅσα δῆξίν τινα παρεχόμενα, καθαίρει· ὅταν δὲ σαρκοφυῆσαι βούλῃ, τὰ λιπαρὰ καὶ τὰ θερμὰ μᾶλλον ξυμφέρει· πρὸς ταῦτα γὰρ ἡ σὰρξ θάλλει.

ΚΕΦΑΛΑΙΟΝ ΙΑʹ.

Ὅτι τὴν τῶν ὑγιαινόντων δίαιταν ἀλλοιοῦν χρὴ τοῖς νοσοῦσι· καὶ τὰ ῥοφήματα ἐν ταῖς νόσοις ἁπάσαις διδόναι· τίνα τὰ σιτία, καὶ τὰ ποτὰ τὰ διαχωρητικὰ, καὶ στάσιμα, καὶ ἀνακομιστικά· τίνα τοῖς φαρμακοποτοῦσί τε καὶ πυρέττουσι, καὶ ἀπυρέτοισι προσφέρειν δεῖ· τίνα τὰ ὑγραίνοντα καὶ τὰ ξηραίνοντα.

Ὁκόσοισιν ἄνθρωποι σιτίοισιν ἢ ποτοῖσιν ὑγιαίνοντες ἐς δίαιταν χρῶνται, ἐκ τούτων χρὴ τῶν παρεόντων χρῆσθαι πρὸς τοὺς νοσέοντας, σκευάζοντα θερμὰ καὶ ψυχρὰ, καὶ ὑγρὰ καὶ ξηρά· ἐκ μὲν ψυχρῶν θερμὰ,

aut utroque ut oriatur, necesse sit: deinde utrum siccitate vel humiditate indigeat; aut aliæ quidem corporis partes siccitate, aliæ vero humiditate: postea an morbus per superiora, an per inferiora curandus sit, vel per vesicam; & num morbus increscat, aut minuatur; num solvatur, vel in alium transeat. Vulneratos fame conficito, & ex alvo quæ insunt, aut per clysterem, aut dato medicamento, deorsum purgante subducito; aquam vel acetum potui exhibeto, aut sorbitiones dato. Inflammata cataplasmatis refrigeranda: sint autem hæc cataplasmata, aut betæ in aqua coctæ, aut apium, aut oleæ folia, aut fici folia, aut rubi, aut quercus, aut mali punicæ dulcis: atque his coctis utendum est; crudis vero rhamni foliis, aut viticis, aut salviæ, aut tithymalli, aut pulegium viride, aut porrum, aut apium, aut coriandrum, aut isatidis folia (admoveto.) Quod si horum nihil habeas, neque ullum aliud cataplasma, polentam aqua aut vino subactam ex cataplasmate imponito. Tamdiu autem cataplasmata hæc juvant, quamdiu ulcere frigidiora fuerint; quum vero fuerint calidiora, aut æque calida, nocent. Pinguia inflammatis minime conferunt, neque sordidis, neque putrescentibus: verum ad inflammata, frigida conferunt; ad sordida vero & putrescentia, acria, & quæ morsum quemdam excitando purgant: quum vero carnem generare voles, pinguia & calida magis conferunt; ab his enim caro succrescit.

CAPUT XI.

Sanorum victum ægrotis alterandum esse, & sorbitiones in omnibus morbis exhibendas; quæ esculenta & potulenta alvum subducant, & astringant, & vires recreent; quæ purgatis, febricitantibus, & febris expertibus exhibenda; quæ humectent, & exiccent.

Quibus cibis, aut potionibus in victu per sanitatem homines utuntur, ex his præsentibus ad ægrotos uti oportet, ita ut eos præpares calidos, frigidos, humidos, siccos; ex frigidis quidem calidos, &

Variæ Lectiones.

141 Pro διδόντα vulgato Imp. Samb. & Fevr. legunt διδόναι. Deinde post ἢ ῥοφεῖν, MS. Cod. Imp. Samb. & Fevr. addunt ὕδωρ.

142 τὰ δὲ τοιαῦτα καταπλάσματα, Imp. Sambuci τοιαῦτα tanquam ut superfluum delet, & abest in MS. Cod. Deinde in MS. Cod. dicitur ἢ συκῆς φύλλα, ἢ ἀκτῆς φύλλα, ἢ βάτου, ἢ ῥοιῆς, aut fici folia, aut sambuci folia, aut rubi, aut mali punica dulcis.

143 Pro ῥάμνου, MSS. Reg. ῥαφάνου, raphani habent.

144 In MS. Cod. ἀπὸ, & sequens τι absunt. & paulo post καταπλάσματα τάδε ὠφελέει scribunt vulgati Codd. sed in MS. Cod. legitur τὰ καταπλάσματα ὠφελέει, quod sequimur.

145 Pro ὁκόσον ἂν ψυχρότερα ᾖ vulgatis, MS. Cod. ἐφ' ὅσον ἂν χρόνον ψυχρότερα ᾖ.

146 MS. Cod. habet ψυχρὰ, πρὸς δὲ τὰ ἀκάθαρτα, καὶ σηπόμενα, δριμέα, καὶ ὅσα δῆξιν παρεχόμενα.

& calidos ex minime calidis, & ſiccos ex non ſiccis, & reliquos ad eundem modum. Neque vero de præſentium facultatibus dubitandum, neque abſentia inveſtiganda, quæ nullam ægro utilitatem afferre poſſunt. Quod ſi probe conſideraveris, præter hæc, pauca invenies, quibus apud ægrum utaris. Sorbitiones autem in omnibus morbis exhibendæ, aut ptiſana, aut milium, aut farina, aut alica. Ex his quæ ad alvi dejectionem exhibueris, tenuia, & cocta magis, dulcioraque dato, quam ſalſiora, aut calidiora: quæ vero ad robur, aut virium refectionem, craſſiora, & pinguiora, & moderate cocta. Potionibus autem utendum, ſi quidem alvum & veſicam ſubducere velis, vino dulci, aut aqua mulſa; ſi vero aſtringere, auſtero, albo, tenui, aquoſo; ſi roborare, auſtero, nigro: qui vinum injucunde bibunt, iis potiones præparatæ & in medicamentorum tractatione ſcriptæ exhibendæ. His, qui medicamentum biberunt, poſt purgationem exhibeto, febricitantibus quidem, aut lenticulam, aut milium tenue, aut ptiſanæ cremorem. Ptiſana autem danda quidem, & milium, ut quæ levia ſint: alica vero, velut omnium robuſtiſſima; & farina, velut his valentior. Lenticula autem odorata paranda, & pauca ſecundo loco exhibenda, ut quæ levis ſit ſorbitio, & ori ventriculi ſuperiori grata: admiſceatur autem aut ſal, aut mel, & cuminum & oleum: ad lenticulam vero aut pulegium herbam, aut aceti parum admiſceto. Febre vero carentibus panis puri medullam juſculo intritam dato, aut mazam, aut (piſcis) cocti (& ſale conditi) fruſtulum, aut oviculæ tenerrimæ carnem, aut gallinæ, aut catuli coctam: & febricitantibus, aut betam, aut cucurbitam, aut blitum, & poſt cibum vinum vinoſum, vetus, album, perquam dilutum propinato. Quibus lavari non confert, ii vino & oleo calido inungantur, & tertio quoque die detergeantur. Cum laborantis alvum cibis humectare velis, mazam & opſonia exhibeto; marinorum quidem piſcium fruſtula cocta ex intrito; oviculæ quam tenerrimæ carnes, aut hœdi, aut catuli, aut volucris coctas; & betam, aut blitum, aut rumicem, aut cucurbitam, ſi anni tempus tulerit: olera vero apium, & anethum, & ocimum, & vinum mellitum, vetus, album, aquoſum. Quum autem corpus ſiccare velis,

καὶ θερμὰ ἐκ μὴ θερμῶν, καὶ ξηρὰ ἐκ
μὴ ξηρῶν, καὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν
τρόπον. Ἀπορέειν δὲ οὐ χρὴ, οὐδὲ τοῖ-
σι παρέουσι μὲν μὴ δύνασθαι· τὰ ἀπόν-
τα δὲ ζητεῦντα μηδὲν ὠφελέειν τὸν κάμ-
νοντα οἷόν τε εἶναι. Εὑρήσεις δὲ, ἢν ὀρ-
θῶς σκοπέῃς, ἔξω τουτέων, [147] οἷσι πρὸς
τὸν νοσέοντα χρῶνται, ὀλίγα. Ῥοφή-
ματα δὲ ἐν τῇσι νούσοισιν ἁπάσῃσι δι-
δόναι, ἢ πτισάνην, ἢ κέγχρον, ἢ ἄλητον,
ἢ χόνδρον. Τούτων ὁκόσα μὲν δίδως εἰς
διαχώρησιν, λεπτὰ διδόναι, καὶ διεφθό-
τερα, καὶ γλυκύτερα, ἢ ἁλυκώτερα, ἢ
θερμότερα· ὁκόσα δὲ ἐς ἰσχὺν ἢ ἀνακο-
μιδὴν, παχύτερα, [148] καὶ λιπαρώτερα, καὶ
μετρίως ἑφθά. Ποτοῖσι δὲ χρῆσθαι, ἢν
μὲν ὑπάγειν ἐθέλῃς τὴν κοιλίην, καὶ τὴν
κύστιν, γλυκὺν οἶνον, ἢ μελίκρητον· ἢν δὲ
35 στύφειν, αὐστηρὸν, λευκὸν, λεπτὸν, ὑδαρέα·
[149] ἢν δὲ ἰσχύειν, αὐστηρὸν, μέλανα· ὁ-
36 κόσοι τὸν οἶνον πίνουσιν ἀνηλέως, τού-
τοισι διδόναι, ἃ γέγραπται ἐν τῇ Φαρμα-
κίτιδι ποτὰ σκευαζόμενα. Τοῖσι φαρμακο-
ποτέουσι διδόναι μετὰ τὴν κάθαρσιν, τοῖ-
σι μὲν πυρέσσουσιν, ἢ φακὸν, ἢ κέγχρον
λεπτὸν, ἢ πτισάνης χυλόν. Διδόναι δὲ πτι-
σάνην μὲν καὶ κέγχρον, ὡς κοῦφα ἐόντα·
χόνδρον δὲ, ὡς ἰσχυρότατον πάντων· καὶ
ἄλητον, [150] ὡς ἰσχυρότερον τούτων. Φα-
κὸν δὲ εὐώδεα σκευάσαι· καὶ ὀλίγον δεύ-
τερον διδόναι, ὡς καὶ κοῦφον [151] ὂν ῥόφη-
μα καὶ εὐκάρδιον ἄνω· παραμίσγειν δὲ
ἢ ἅλας, ἢ μέλι, καὶ κύμινον, καὶ ἔλαιον·
τῷ δὲ φακῷ παραμίσγειν ἢ χλόης γλή-
χωνος, καὶ ὄξους ὀλίγον. Τοῖσι δὲ [152] ἀ-
πυρέτοισιν, ἄρτου καθαροῦ τὸ ἔσωθεν ἐν-
37 τρίψας ἐν ζωμῷ, ἢ μάζαν καὶ τεμά-
χιον ἑφθὸν, ἢ κρέας οἰὸς ὡς νεωτάτης, ἢ
ὄρνιθος, ἢ σκύλακος ἑφθόν· καὶ τοῖσι
πυρέσσουσιν, ἢ τεῦτλον, ἢ κολοκύντην, ἢ
βλῆτον· καὶ μετὰ τὸ σιτίον, πίνειν οἶνον
[153] οἰνώδεα, παλαιὸν, λευκὸν, ὡς ὑδαρέα.
Οἷσι λούεσθαι μὴ ξυμφέρει, ἀλείφειν οἴ-
νῳ καὶ ἐλαίῳ θερμῷ, καὶ ἐκμάσσειν
διὰ τρίτης. Ὅταν κοιλίην ὑγραίνειν ἀπὸ
σιτίων ἀσθενέοντος ἐθέλῃς, διδόναι μάζαν
καὶ ὄψα· θαλασσίων μὲν [154] τεμάχια
ἑφθὰ ἐν ὑποτρίμματι· κρέα δὲ οἰὸς ὡς
νεωτάτης, ἢ ἐρίφου, ἢ σκύλακος, ἢ ὄρνι-
θος ἑφθά· καὶ τεῦτλα, ἢ βλῆτα, ἢ λά-
παθα, ἢ κολοκύντην, ἢν ὥρη ᾖ· λάχα-
να δὲ σέλινα, καὶ ἄνηθα, καὶ ὤκιμα,
38 καὶ τὸν οἶνον μελιχρὸν, παλαιὸν, λευ-
κὸν, ὑδαρέα. Ὅταν δὲ ξηραίνῃς τὸ σῶμα,
δι-

Variæ Lectiones.

147 Pro οἷσι, in MS. Cod. dicitur τοῖσι. Deinde legitur ῥοφήματα τάδ' ἐν τῇσι νούσοισι πάσῃσι διδόναι πτισάνην, κέγχρον, ἄλητον, χόνδρον. τούτων ὁκόσα μὲν πρὸς διαχώρησιν.

148 καὶ λιπαρώτερα MS. Cod. addito καὶ, quod probamus. Deinde pro ἐθέλῃς, MS. Cod. legit ἐθέλοις.

149 ἢν δὲ ἐς ἰσχὺν, αὐστηρὸν, κ. τ. λ. MS. Cod.

150 ὡς ἰσχυρότατον τουτέων. φακὸν δὲ ὡς εὐώδεα MS. Cod.

151 ὂν ῥόφημα, in MS. Cod. abeſt ὄν. Paulo poſt dicitur καὶ ἔλαιον τῷ φακῷ, ἢ χλόης γλήχωνος, καὶ ὄξος.

152 Sic MS. Cod. quod melius, pro ἀπύροισιν vulgato. Deinde pro τέμαχος, Imp. Sambuci habet τεμάχιον, quod probamus.

153 MS. Cod. εὐώδεα, vinum *odoroſum*, omiſſo ſequente ὡς. Mox ὅσοις λούεσθαι, *quibuscunque lavari* MS. Cod. habet.

154 Pro τεμάχια, MS. Cod. τεμάχη. Deinde κρέας pro κρέα vulgato legitur.

διδόναι ἄρτον, καὶ ὄψα ὀπτὰ καὶ ξηρὰ, καὶ θερμότερα· ταῦτα πάντα, καὶ κρεῶν τὰ μέλεα, ὅσα σαρκώδεα, ἰχθύων τοὺς πετραίους· λάχανα, πήγανον, ἢ θύμον, ἢ ὀρίγανον· τὸν δὲ οἶνον [155] μέλανα αὐςηρόν. Σκευάζειν δὲ τὰ ὄψα ἁλσὶ καὶ κυμίνῳ· καὶ τοῖσιν ἄλλοισιν ἀρτύμασιν ὡς ἐλαχίςοισι χρῆσθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Πῶς τοὺς ὑγιαζομένους ἀνακομίσαι χρὴ, καὶ ἐν ταῖς νόσοις τὴν συμφέρουσαν ξηρασίαν ἢ ὑγρασίαν ποιῆσαι· τοῖς κάμνουσι τὰ ποθούμενα παρέχειν, ἢν μὴ βλάπτῃ· κατ᾽ ὀλίγον τὰς τῆς διαίτης προσθέσεις τε καὶ ἀφαιρέσεις ποιεῖσθαι· τοῖς τὰ ἱκανὰ σιτία τελοῦσι, τὰ ῥοφήματα μὴ διδόναι· τὰ σιτία, καὶ τὰ φάρμακα τὰ ἐν τῇ τέχνῃ μανθάνειν. Τίς δίαιτα τοῖς ἀσθενοῦσιν ἐπιτηδεία.

Ὅταν δὲ ἀνακομίσαι ἐκ νόσου [156] ἐθέλῃς, διδόναι τὰ μὲν ἄλλα ταῦτα, ἃ καὶ ὅταν διυγραίνῃς τὴν κοιλίην· τὰ δὲ κρέα, ἀντὶ τῶν γαλαθηνῶν, ἰσχυρότερα, καὶ ἀντὶ τῶν κυνείων, ὀρνίθεια" καὶ [157] λάγεια, καὶ τού- 39
των ἔνια ὀπτὰ' καὶ τῶν κρεῶν, καὶ τῶν ἰχθύων, καὶ ἐσκευασμένα ὡς ἄριστα. Ὁκόσοισι τῶν νοσημάτων ξηρασίη ξυμφέρει, μονοσιτίη ξυμφέρει, καὶ τὰ σιτία, καὶ τὰ ποτὰ ἐλάσσω τελέειν" ἢ ὥςε πλήρη εἶναι· καὶ ταῦτα ἐκπο- 40
νέειν, καὶ περιπατεῖν, καὶ κοιμᾶσθαι ὡς ἐλάχιςα. Ὁκόσοισι [158] δ᾽ αὖ ὑγρασίη ξυμφέρει, μὴ ἀσιτέειν, καὶ τοῦ σιτίου, καὶ τοῦ ποτοῦ μὴ ἐνδεᾶ εἶναι, μηδὲ πονέειν, καὶ κοιμᾶσθαι ὁκόσα ἂν ἐθέλῃ." Ὁκόσων ἐπιθυμέουσιν οἱ 41
κάμνοντες ἢ σιτίων ἢ ὄψων ἢ ποτῶν, ὑπαρ-
187 χέτω ταῦτα,' [159] ἢν μὴ μέλλῃ τῷ σώματι βλάβος ἔσεσθαι. Ὁκόταν ἢ σιτίων ἢ ποτῶν προστιθέναι ἄρξῃ, ἢ ἀφαιρέειν, κατ᾽ ὀλίγον χρὴ, καὶ τὰς προσθέσιας ποιέεσθαι, καὶ τὰς ἀφαιρέσιας. Ὁκόσοι σιτία ἱκανὰ οἷοί τέ εἰσι τελέειν, ῥοφήματα μὴ διδόναι· ἀποκλείει γὰρ τοῦ σιτίου· ὁκόσοι δὲ μὴ οἷοί τε, τούτοισι διδόναι. Ἐὰν δέ τι διδόναι θέλῃς κομιδῆς ἕνεκα, διδόναι χόνδρον," ἢ πτισάνην πυ- 42
ρίνην· ταῦτα' γὰρ τῶν ῥοφημάτων τὰ ἰσχυρότερα· [160] διδόναι δὲ μετὰ δεῖπνον. Τὰ φάρμακα, ὅσα ποτὰ, καὶ ὅσα πρὸς τὰ τραύματα προσφέρεται, μανθάνειν" ἄξιον παρα- 43
παντός· οὐ γὰρ ἀπὸ γνώμης ταῦτα εὑρίσκουσιν οἱ ἄνθρωποι, ἀλλὰ μᾶλλον ἀπὸ

panem dato, & opsonia assa & sicca, eaque omnia calidiora, & carnium partes carnosas, pisces saxatiles; olera, rutam, aut thymum, aut origanum; vinum autem nigrum austerum. Opsonia vero sale & cumino condito, reliquis vero condimentis quam minimum utitor.

CAPUT XII.

Quomodo convalescentes reficiendi sint, & in morbis, quæ conferat, siccitas, aut humiditas, concilianda; ægris optata, si non noceant, exbibenda; paulatim victum addendum, aut detrahendum esse; copiosos cibos conficientibus, sorbitiones non exbibendas; alimenta & medicamenta, quæ in arte sunt, discenda. Quis victus imbecillis idoneus.

At quum ex morbo vires reficere volueris, alia quidem eadem, quæ dum alvum humectas, exhibeto; sed pro lactentibus carnes validiores, & pro catulinis, volucrium & leporinas; & ex his assas quasdam tum carnes, tum pisces, & quam optime præparatos. Quibuscunque morbis siccitas confert, semel in die cibum capere conducit, & cibos ac potus pauciores, quam ut repleantur; insumere, eosque laboribus & deambulatione conficere, & quam minimum dormire. At quibus humiditas confert, inedia non est ferenda, neque cibo aut potu indigere (debent,) neque laborare, at dormire quantum volent. Quoscunque cibos, aut opsonia, aut potiones, ægrotantes expetunt, ea suppetant, si nullum corpori nocumentum sit adfuturum. Quum cibos aut potiones addere vel detrahere cœperis, paulatim apponere, & detrahere oportet. Qui copiosos cibos conficere queunt, iis sorbitiones ne dederis, cibum enim excludunt; qui vero non possunt, his dato. Siquid vero dare volueris refectionis gratia, alicam & ptisanam triticeam dato; hæ namque sorbitiones valentiores sunt; post cœnam autem exhibendæ. Quæ potantur medicamenta, & quæ ad vulnera adhibentur, discere omnino par est: non enim hæc homines ex consilio, sed potius ex fortuna in-

Variæ Lectiones.

155 μέλανα, ἢ αὐςηρὸν, vinum *nigrum vel austerum* Imper. Sambuci & Fevr. habent, addito ἢ.
156 Pro ἐθέλῃς, MS. Cod. θέλῃς eodem significatu.
157 Pro λάγεια, Aldina exemplaria habent λάγαια. Deinde ἰχθύων ἐσκευασμένα MS. Cod. deleto καί.
158 Pro δ᾽ αὖ ὑγρασίη ξυμφέρει MS. Cod. legit δ᾽ ὑγρασίη, omissis αὖ, & ξυμφέρει.
159 ἢν μήτι μέλλῃ MS. Cod. addito τι.
160 καὶ διδόναι μετὰ δεῖπνον MS. Cod. Et paulo post in MS. Cod. legitur τρώματα προσφέρεται, μανθάνειν ἄξιον παραπαντὸς, pro vulgatis τρώματα προσφέρεται,' μανθάνειν χρὴ, ἄξιον γὰρ ἅπαντος, prior lectio nobis arrisit.

inveniunt; neque artifices magis, quam plebeji. Quæcunque vero in arte Medica intelligentia discuntur, & inveniuntur, aut de cibis, aut medicamentis, ea ab iis, qui dignoscere possunt, quæ in arte sunt, discere oportet, siquid discere velis. Imbecillis post sorbitiones cibum dato, & vinum vinosum superbibendum: ante cibos autem & potiones, vel sorbitiones, & postea, quodcunque tandem tibi videbitur. Et cibus & potus imbecillis offerendus, quum ad corpus & animum attenderis: sic enim maxime profeceris.

τύχης· οὐδέ τι οἱ χειροτέχναι μᾶλλον, ἢ οἱ ἰδιῶται. Ὅσα δὲ ἐν τῇ τέχνῃ τῇ ἰητρικῇ [161] γνώμῃ μανθάνεται καὶ εὑρίσκεται ἢ περὶ σιτίων ἢ περὶ φαρμάκων, παρὰ τῶν οἵων τε διαγινώσκειν τὰ ἐν τῇ τέχνῃ μανθάνειν χρὴ, ἤν τι θέλῃς μανθάνειν. Μετὰ τὰ ῥοφήματα διδόναι τὸ σιτίον τοῖσιν [162] ἀσθενέουσιν· ἐπιπίνειν δὲ οἶνον οἰνώδεα· πρὸ δὲ τῶν σιτίων καὶ ποτῶν ἢ ῥοφημάτων, [163] καὶ μετὰ ταῦτα, ὅ, τι ἂν σοι δοκέῃ. Τοῖσιν ἀσθενέουσιν, ἐσορῶν τὸ σῶμα καὶ τὴν ψυχὴν, προσφέρειν, καὶ τὸ σιτίον, καὶ τὸ ποτόν· [164] μάλιςα γὰρ ἂν οὕτως ὠφελέῃς.

CAPUT XIII.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ′.

Unde conjiciendæ sint cujusque cibi facultates; quæ cibaria levia, & quæ gravia; quæ cibaria & potulenta ad sanitatem, & quæ ad corporis robur optima; quæ ructus acidos, quæ tormina, & quæ flatus concitent; quæ dejectiones, & quæ urinas promoveant.

Πόθεν τὰς ἑκάςου σιτίου δυνάμεις τεκμαίρεσθαι χρή· τίνα σιτία κοῦφα, καὶ τίνα βαρέα· τίνα σιτία καὶ ποτὰ ἐς τὴν ὑγείαν, καὶ τίνα ἐς τὴν ἰσχὺν ἄριςα· καὶ τίνα τὰ τὴν ὀξυρεγμίαν, καὶ τὸν ςρόφον, καὶ φύσαν ποιοῦντα· καὶ τίνα τὰ διαχωρητικὰ, καὶ τὰ διουρητικά.

QUam ciborum quisque facultatem habeat, ex iis, qui manifestam facultatem exhibent, conjicere oportet: qui aut flatum, aut morsum, aut plenitudinem, aut ructum excitant, aut tormina, aut per alvum secedunt, aut non secedunt, idque manifesto efficiunt, ex his etiam alios considerare oportet: singula namque edulia, qua facultate tum juvent, tum lædant, habent: verum alia quidem, quæ efficiunt, apertissime efficiunt, alia vero obscurius. Cibos atque opsonia parare & dare infirmis oportet ejuscemodi, a quibus neque flatus fiat, neque ructus acidus, neque tormina, & quæ neque admodum per alvum secedunt, neque admodum exiccantur. Hæc autem sic fiunt: quæcumque quidem ventriculus superat, quæque corpus recipit, ea neque flatum, neque tormina excitant: at si ventriculus non superet, ab his & flatus, & tormina, cæteraque id genus contingunt. Cibariorum, opsoniorum, & potionum levissima sunt, quæ moderata, aut paulo supra modum in corpus ingesta, neque plenitudinem, neque tormina, neque flatum, neque horum quicquam excitant, & celerrime

[165] Τῶν σιτίων ἣν δύναμιν ἕκαςα ἔχει, τεκμαίρεσθαι χρὴ ἀπὸ τῶν φανερὰν τὴν δύναμιν [166] παρεχομένων· ὁκόσα ἢ φῦσαν, ἢ δῆξιν, ἢ πλησμονὴν, ἢ ἐρευγμὸν παρέχει, ἢ ςρόφον, ἢ διαχωρέει, ἢ μὴ διαχωρέει, καὶ φανερὰ ὅτι ταῦτα ἐργάζεται, καὶ ἀπὸ τούτων χρὴ τά τε ἄλλα σκοπεῖν· [167] ἔχει γὰρ ἕκαςα τῶν ἐδεσμάτων, διότι καὶ ὠφελέει καὶ βλάπτει· ἀλλὰ τ' ἄλλα, τὰ μὲν φανερώτατά ἐςιν ἐργαζόμενα ἃ ἐργάζεται, τά τε ἀμυδρότερα. Τὰ σιτία, καὶ τὰ ὄψα σκευάζειν, καὶ διδόναι τοῖσιν ἀσθενέουσιν, ὑφ' ὧν μήτε φῦσα ἔςαι, μήτε ὀξυρευγμὴ, μήτε ςρόφος, μήτε λίην διαχωρέει, μήτε λίην [168] ξηραίνεται. Ταῦτα δὲ γίνεται ὧδε· ὅσα μὲν ἡ κοιλίη κρατέει, καὶ τὸ σῶμα αὐτὰ ἀναδέχεται, ταῦτα μὲν οὔτε φῦσαν παρέχεται, οὔτε ςρόφον· ἢν δὲ μὴ ἡ κοιλίη κρατέῃ, ἀπὸ τούτων καὶ φῦσα, καὶ ςρόφος, καὶ τ' ἄλλα τὰ τοιαῦτα γίνεται. Κουφότατα τῶν σιτίων, καὶ τῶν ὄψων, καὶ τῶν
44 ποτῶν, ὅσα μέτρια ἐσιόντα [169] ἐς τὸ σῶμα, ἢ ὀλίγῳ πλείω τῶν μετρίων, μήτε πλήρωσιν παρέχει, μήτε ςρόφον, μήτε φῦσαν, μήτε ἄλλο τῶν τοιούτων μηδὲν, [170] καὶ πέσσεταί τε

VARIÆ LECTIONES.

161 γνώμῃ εὑρίσκεται· ἢ περὶ σιτίων, ἢ φαρμάκων, ἢ παρὰ τῶν οἵων, MS. Cod.

162 Pro ἀσθενέουσιν, MS. Cod. habet ἀσθενεστέροισιν. & paulo post οἶνον εὐώδεα, *vinum odorosum* MS. Cod. legit.

163 καὶ μετὰ ταῦτα desunt in MS. Cod.

piosam bilem evomit, quandoque etiam pi-
tuitam; plerumque vero etiam cibos, cum
comederit; quumque vomuerit, levior
esse videtur; deinde rursus parvo interjecto
tempore, in iisdem jacet doloribus. Hic
acutius quam quum sanus esset, loquitur;
&

VARIÆ LECTIONES.

107 ἀνιᾷ, per æstatem *vexat*, Calvus legisse videtur.

108 Sic MS. Reg. Imp. Samb. pro λίθος. Postea pro διϋγρος Varinus διίδρος legit, quam lectionem probat Martin. Quædam exempl. Galen. etiam διΐδρος aut διαιθρος scribunt. Nos vulgatam lectionem retinuimus, ut dilutus ac limpidus intelligatur, nimio humore perhumescens, distentus ac pellucens, de ventre aqua intercute impleto, ac intumescente.

109 Lindenus scribit αἵματος τε ϗ χολῆς μεστὸς γίνεται, quam lectionem probamus addito ϗ χολῆς, *& bile*. Paulo post πάχει legisse videtur Cornar. & ad ægrum refert. Verum omnia exemplaria πάσχουσι legunt, hancque lectionem retinuimus, id quod ad venas pituita serosa repletas referendum esse videtur; ut sit ea tabis species, quam καχεξίαν Cels. appellat, ubi malus est corporis habitus, & tandem hydropem arcersit.

& rigor & febris interquiescens, cum sudore invadit. Hunc, quum sic habuerit, cibis, sorbitionibus, potionibus, medicamentis, cæterisque omnibus, quibus priores, curato. Hic autem morbus maxime annos novem perdurat; deinde perfert, contabescens: pauci vero ex eo evadunt, gravis enim morbus est: verum si velis, sic ipsum curato. Primum quidem fomentum admoveto; eoque admoto, postridie aquæ mulsæ semicongium, pauco aceto affuso, potui exhibeto; idque unico haustu & spiritu bibere jubeto; deinde multis eum stragulis quam plurimo tempore convolvito; at si non perferat, sed vomere velit, evomat; si vero post aliquod tempus vomitus non accidat, aquæ tepidæ magno calice superepoto, penna irritatus vomat: quum autem evomuerit, ut bene habeat, hoc die quietem agat: quum vero cœnæ tempus fuerit, mazam paucam cœnet, & salsamentum, & porra pro opsonio habeat; his autem quam plurimis vescatur; vinumque dulce bibat. Reliquo vero tempore quotidie statim ab aurora multa calida lavetur; & a balneo, ne frigeat, cavendum, verum decumbens diutissime dormiat: quum autem a somno surrexerit, eo die viginti stadia ut minimum obambulet; reliquis autem diebus, alia quinque superaddita stadia ambulet, quotidie addens, donec ad centum stadia pervenerit. Alvum autem quotidie aliquantulum purgare oportet betæ & brassicæ succis; utrisque separatim coctis, ita ut utriusque congio percolato; deinde admixto adipis ovilli ex renibus minæ quadrante, & simul cocto, amborum coctionem dividas: quum autem bibiturus est, ad brassicæ quidem succum salem adjicias; ad betæ vero succum mel affundas: licet autem separatim utrumque bibere, aut melle ad alterum poculum affuso, bibere; ad alterum vero sale injecto: totum autem succum ebibere oportet. Et hæc quidem triginta diebus facere: secundo vero mense panem edat, & carnes suillas pingues coctas, aliud vero nihil: vinum autem album austerum bibat; & ante cœnam non minus quam triginta stadiorum iter conficiat, post cœnam vero, decem; neque frigeat, sed contegatur. Hæc si fecerit, facilius morbum feret. At tertio mense cyceonem florulentum bibat, & apii radices, & anethum, & rutam, & mentham, & coriandrum, & papaver tenerum, &

καὶ ῥῖγος καὶ πυρετὸς διαπαύων ἐπιλαμβάνει
ἱδρώδης. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, βρωτοῖ-
σι, καὶ ῥοφήμασι, καὶ ποτοῖσι, καὶ φαρμά-
κοισι, καὶ τοῖσιν ἄλλοισι πᾶσι μελετῆν, ὥ-
31 σπερ τοὺς πρόσθεν. " Η δὲ νοῦσος διαφέρει
μάλιστα ἐννέα ἔτεα· ἔπειτα διαφέρει φθει-
ρόμενος· παῦροι δὲ φυγγάνουσιν ἐξ αὐτῆς,
χαλεπὴ γὰρ ἡ νοῦσος· ἢν δὲ βούλῃ, ὧδε ἰῆ-
σθαι αὐτόν. Πρῶτα μὲν πυριῆσαι· καὶ, ὁ-
κόταν πυριηθῇ, τῇ ὑστεραίῃ δοῦναι αὐτῷ πιεῖν
μελίκρητον ἡμίχουν, καὶ ὄξος παραχέαι ὀ-
32 λίγον· " καὶ κέλευε [110] ἀπνευστὶ τοῦτο πιεῖν·
ἔπειτα τῶν ἱματίων ἀμφιέσαι αὐτὸν πολλὰ,
καὶ ὡς πλεῖστον χρόνον· ἢν δὲ μὴ ἀνέχηται,
ἀλλ' ἐξεμέσαι βούληται, ἐξεμεέτω· ἢν δὲ
μὴ ἔμετος ἔχῃ, χρόνου ἤδη γενομένου, ἐπι-
πιὼν ὕδατος χλιαροῦ μεγάλην κύλικα, ἐ-
μεέτω καταμαλτόμενος πτερῷ· ὁκόταν δὲ ἀ-
πεμέσῃ, ὥστε καλῶς ἔχειν, ἡσυχίην ἐχέτω
ταύτην τὴν ἡμέρην· ὁκόταν δὲ ὥρη δείπνου
ᾖ, δειπνεέτω μᾶζαν ὀλίγην, καὶ ὄψον ἐχέ-
τω τάριχος, καὶ πράσα· ταῦτα δὲ ἐσθιέ-
τω ὡς πλεῖστα· οἶνον δὲ πινέτω γλυκύν. Τὸν
δὲ λοιπὸν χρόνον· λουέσθω πᾶσαν ἡμέρην,
ἅμα ἕωθεν θερμῷ πολλῷ· καὶ μετὰ τὸ λου-
τρὸν φυλάσσειν χρὴ, ὡς μὴ ῥιγώσῃ, ἀλλὰ
κατακλιθεὶς εὑδέτω ὡς πλεῖστον χρόνον· ὁκό-
ταν δὲ ἀναστῇ εὕδων, περιελθέτω σταδίους εἴ-
κοσι τὸ βραχύτατον ταύτῃ τῇ ἡμέρῃ· τῇσι
δὲ ἄλλῃσιν ἡμέρῃσι πέντε σταδίους ἄλλους
ὑπερβάλλων βαδιζέτω, ἑκάστης ἡμέρης προ-
στιθεὶς, [111] ἕως ἂν ἀφίκηται εἰς τοὺς ἑκα-
τὸν σταδίους. Τὴν δὲ κοιλίην ὑποκαθαίρειν
δεῖ ἐκ τῆς ἡμέρης χυλοῖσι τεύτλων, καὶ ἀπὸ
κράμβης· χωρὶς ἑκάτερα ἑψήσας, ἀπηθῆ-
σαι χοέα ἑκατέρου· εἶτα ξυμμίξας, ἅμα
33 " συνεψεῖν τὸ στέαρ [112] οἰὸς τὸ ἀπὸ τῶν νε-
φρῶν, τεταρτημόριον μνᾶς, ἐν ἀμφοτέροι-
σιν ἑψεῖν διελών· ὁκόταν δὲ μέλλῃ πιέσθαι,
πρὸς μὲν τῆς κράμβης τὸν χυλὸν ἅλας πα-
ραβάλλειν· πρὸς δὲ τὸν τῶν τευτλίων μέλι
34 παραχέειν· " [113] ἐξὸν δὲ χωρὶς ἑκάτερον
πίνειν, ἢ μέλι παρεγχέας παρὰ τὴν ἑτέρην
κύλικα, πίνειν· παρὰ δὲ τὴν ἑτέρην, ἅλας·
ἐκπιεῖν δὲ χρὴ πάντα τὸν χυλόν. Ταῦτα
μὲν ποιέειν χρὴ τριήκοντα ἡμέρας· τῷ δὲ
δευτέρῳ μηνὶ ἐσθιέτω ἄρτον, καὶ κρέα πίονα
ὑὸς ἐφθὰ, ἄλλο δὲ μηδέν· οἶνον δὲ πινέτω
λευκὸν, αὐστηρόν· καὶ ὁδὸν ὁδοιπορεέτω, μὴ
ἐλάσσω σταδίων τριήκοντα πρὸ τοῦ δείπνου·
μετὰ δὲ τὸ δεῖπνον, δέκα· καὶ μὴ ῥιγούτω,
ἀλλ' ἐσκεπάσθω. Ταῦτα, ἢν ποιέῃ, ῥήϊον
οἴσει τὴν νοῦσον. Τῷ δὲ τρίτῳ μηνὶ,
35 " κυκεῶνα [114] ἀνθινὸν πινέτω, σελίνου ῥί-
ζας, καὶ ἄνηθον, καὶ πήγανον, καὶ μίνθην,
καὶ κορίανον, καὶ μήκωνας ἁπαλὰς, καὶ
ὠκι-

VARIÆ LECTIONES.

110 ἀπνευστὶ, idem est ac ἀμυστὶ, quod Galeno exponitur ἀθρόως, *totum simul, unico spiritu, confertim.*

111 ἕως pro ἄχρις Imp. Sambuc. & Fevr. quod sequimur cum Lindeno.

112 Hic οἰὸς Imp. Cornar. & Vatic. MS. addunt, quam lectionem cum Chart. secuti sumus, addito οἰὸς *ovilli*, scilicet adipis admixto.

113 ἢν δὲ χωρὶς MS. Reg. & Aldina exemplaria scribunt.

114 ἀνθινὸν omnia exemplaria publicata scribunt. Foes. vero ἀνθινὸν οἶνον apud Galenum legendum putat pro ἀνθινόν.

ὤκιμον, καὶ φακὸν, καὶ ῥοιῆς γλυκείης, καὶ οἰνώδεος χυλόν· [115] εἶναι δὲ χρὴ τὰς γλυκείας, διπλασίας· εἶναι δὲ χρὴ καὶ τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον, καὶ οἴνου μέλανος ἡδέος αὐστηροῦ ἡμικοτύλιον, καὶ ὕδατος κοτύλης ἥμισυ· ″ 36 ἔπειτα ἄνθεα τρίψας λεῖα, διῆναι τούτῳ τῷ κεκρημένῳ, καὶ ἐγχέαι ἐς κύλικα· ἔπειτα ἐπιβαλεῖν ἄλευρα ὀρόβων, ὁκόσον ὀξύβαφον, καὶ ἄλφιτον ἴσον, καὶ τυροῦ παλαιοῦ αἰγείου ξέσας τὸ ἴσον τοῖσιν ὀρόβοισι· ″ 37 ταῦτα [116] ξυγκυκήσας ἐκπιέτω. Ἔπειτα, διαλιπὼν ὀλίγον χρόνον, ἀριστάτω ἄρτον, καὶ ὄψον ἐχέτω, τέμαχος νάρκης, ἢ ῥίνης, ἢ γαλεοῦ, ἢ βατίδος· καὶ κρέα ὑὸς ἐσθιέτω ἑφθὰ, καὶ παχυνέτω ἑωϋτὸν ἡσυχίην ἄγων ὡς μάλιστα· καὶ πυριῆν διὰ δεκάτης ἡμέρης [117] ἐς ἑωϋτὸν ἡσυχῇ. Τῷ δὲ τετάρτῳ μηνὶ, πυριῆν διὰ πέμπτης ἡμέρης ἀτρέμα· καὶ ἐσθιέτω ὄψον οὐ πλεῖστον, ὄψῳ δὲ χρεέσθω [118] τυροῖσι, καὶ κρέασιν ὀλίγοισιν οἰὸς ἑφθοῖσιν. Ὁδοιπορεέτω δὲ καὶ σταδίους, ὡς πρόσθεν εἴρηται· ἀρξάμενος δὲ τοῦ τετάρτου μηνὸς, τῇ πρώτῃ ἡμέρῃ ἀπὸ δέκα σταδίων βαδιζέτω, καὶ καθ' ἑκάστην προστιθέτω, μέχρις ἂν αὐτῷ ὀγδοήκοντα γένωνται στάδιοι· καὶ περιπατεέτω τῆς ἡμέρης ὀγδοήκοντα σταδίους· [119] πρὸ τοῦ δείπνου τριήκοντα, ″ 38 μετὰ τὸ δεῖπνον εἴκοσιν, ὄρθρου τριήκοντα. Τὸ δὲ λοιπὸν τοῦ χρόνου διαιτάσθω μάζαν καὶ ἄρτον, ἐσθίων ἀμφότερα· καὶ ὄψον ἐχέτω σελάχια· κρέα δὲ πάντα ἐσθιέτω, πλὴν βοείων καὶ χοιρείων· ἰχθύων δὲ τῶνδε ἀπεχέσθω, κεστρέος, καὶ ἐγχέλυος, καὶ μελανούρου. Ἐσθιέτω δὲ νάρκην, καὶ ῥίνην, καὶ βατίδα, καὶ γαλεὸν, καὶ τρυγόνα, καὶ βατράχους· τῶν δὲ ἄλλων μηδέν· ἢν δὲ δοκέῃ ἀσινέα εἶναι· καὶ κυκεῶνα, ἐπειδὰν [120] θέλῃ καθευδῆσαι, πινέτω ἀπὸ οἴνου μέλανος, ἡδέος, παλαιοῦ, δικότυλον κύλικα· καὶ μεθ' ἡμέρην, τῷ αὐτῷ οἴνῳ χρεέσθω ἐπὶ τῷ σιτίῳ. Καὶ ὁδοιπορεέτω τῆς ἡμέρης ἑκατὸν πεντήκοντα σταδίους, πρὸ τοῦ δείπνου ἐννενήκοντα, ″ 39 μετὰ τὸ δεῖπνον εἴκοσιν· ὄρθρου δὲ τεσσαράκοντα. Οὗτος, οὕτω θεραπευόμενος, γίνεται ἐν ἐνιαυτῷ ὑγιής.

ocimum, & lentem, & mali punici dulcis ac vinosi ſuccum: eſſe autem oportet dulcis duplum; eſſe vero oportet & utriusque ſucci ſimul, heminæ dimidium, ac vini nigri ſuavis, auſteri, heminæ dimidium, aquæ etiam, heminæ dimidium; deinde flores leviter tritos in hoc permixto diluere, & in calicem infundere; poſtea farinæ ervi acetabulum injicere, & polentæ tantundem, caſeique caprini veteris raſi parem ervo portionem: hæc commixta ebibat. Poſtea modico tempore interjecto prandeat panem, & opſonium habeat torpedinis fruſtulum, aut ſquatinæ, aut galei, aut raiæ; & carnes ſuillas coctas edat, & quam maxime quietem agens ſeſe ſaginet; ac decimo quoque die ſibi ipſe leviter fomentum adhibeat. Quarto autem menſe, quinto quoque die leviter foveatur; neque, quam plurimum opſonium edat, pro opſonio utatur caſeis, & paucis carnibus ovillis coctis. Stadia, velut ante dictum eſt, deambulet: incipiens autem primo quarti menſis die a decem ſtadiis, incedat, & quotidie addat, usque dum ſtadia octoginta conficiantur; & per diem octoginta ſtadia obambulet; ante cœnam triginta, poſt cœnam viginti, mane triginta. Reliquo tempore maza & pane victitet, utraque comedens: opſonio habeat piſces cartilagineos; carnes vero omnes, præter bubulam & porcinam, edat: piſcibus his abſtineat, mugile, anguilla, & melanuro. Torpedinem autem edat, ſquatinam, raiam, galeum, paſtinacam, & ranas; aliorum vero nullum; etiamſi innoxia eſſe videantur: cyceonem etiam bibat, quum dormire volet, vini nigri, ſuavis, veteris, duarum heminarum calicem bibat; & per diem eodem vino in cibo utatur. Et per diem centum quinquaginta ſtadiorum iter conficiat, ante cœnam nonaginta, poſt cœnam viginti, mane quadraginta. Hic, ſic curatus, intra annum convaleſcit.

Variæ Lectiones.

115 Lindenus legit εἶναι δὲ χρὴ τῆς γλυκείης διπλάσιον, τοῦ χυλοῦ ξυναμφοτέρων ἡμικοτύλιον. Paulo poſt ἄνθεα exponit Galen. in Exegeſi, οὐ μόνον ταῦτα τὰ εἰς στέφανον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα οὕτως ὀνομάζει, καὶ τὰ σπέρματα δὲ ὡσαύτως ἐνίοτε καλεῖν, *non ſolum flores hos ad coronas, ſed ad alia omnia ſic nominat, ac ſemina ſimiliter aliquando vocat*, ex quo loco conjectandum eſt hic pro ſeminibus accipi, cum in compoſitione florulenti cyceonis nulli adſint flores. Qua de re vid. Foëſ. Oecon. voce ἀνθεῖν. Paulo poſt pro κεκρημένῳ, Imp. Samb. ſcribit συγκεκρημένῳ.

116 ξυγκυκήσας cyceonis florulenti commixtionem & compoſitionem, notante Foëſio, ejusque nominis notationem reſpicere videtur. Euſtath. apud Homer. Iliad. λ. & annotat κύκησε eſſe verbum, a quo deducatur κυκεών· eſſe autem κύκησε ſine adjectione, idem quod κυκεῶνα ἐποίησε, hancque eſſe propriam hujus verbi ſignificationem. Erotianus quoque κυκᾶν exponit in Onomaſtico ταράττειν *miſcere* voce κυκεών.

117 ἑωϋτὸν omiſſo ἐς Martin. ſcribit. Paulo poſt οὐ πλεῖστον Imp. Samb. & Martin. quam lectionem ſequimur, pro vulgato ὡς πλεῖστον.

118 Sic ſcribit Gal. Libr. I. de Aliment. facult. Cap. 7. quam lectionem ſecuti ſunt interpretes quidam pro vulgato πυροῖσι *aſſis*, quod ſequitur Mart. Deinde οὗτος ὡς Imp. Sambuc. pro ὡς πρόσθεν, ſcribit. Paulo infra Linden. ſcribit, ἕως ἂν αὐτῷ ὀγδοήκοντα.

119 Calvus μετὰ τὸ δεῖπνον τριήκοντα, ὄρθρου πεντήκοντα legit. Imp. Corn. vero addit πρὸ τοῦ δείπνου ἐννενήκοντα, quam lectionem amplectimur.

120 Pro θέλῃ, Imp. Sambuc. & Fevr. ſcribunt μέλλῃ *quum dormiturus eſt*. Paulo poſt πρὸ τοῦ δείπνου ἐννενήκοντα Imp. Cornar. addit, quam lectionem adhibuerunt quidam interpretes, quos ſequimur.

CAPUT XIV.

De quarta tabe, seu de medullæ spinalis ariditate a venarum in medullam tendentium, aut viæ a cerebro in spinam, obstructione; aut ab actu venereo orta; ac de ejus signis & curatione.

MEdulla spinalis potissimum resiccatur, quum venulæ ad medullam tendentes obstructæ fuerint, quique a cerebro est aditus. Ob corporis autem vitium hisce afficitur, & ægrotat: resiccatur etiam maxime ab immoderata venere. Hæc igitur patitur. Dolor acutus ipsi in caput irruit, in cervicem, in lumbos, in lumborum musculos, & in crurum articulos: ita ut interdum flectere nequeat; stercus per alvum non secedit, sed sistitur; & urinæ difficultate laborat. Hic per morbi quidem exordia quietius degit: quanto autem tempus morbo producitur, tanto magis omnia dolent; & crura velut ab aqua intercute tument, ulcera ex lumbis erumpunt, & alia quidem sanescunt, alia vero enascuntur. Huic ita habenti, hippophais succo, aut grano cnidio caput purgato, primum probe admodum foto corpore: vesperi vero post purgationem, ptisanæ duas heminas melle affuso sorbeat; vinum autem album, molle bibat. Postridie lactis asinini decocti, melle affuso, heminas octo ebibendas ipsi dato: quod si asininum non habeas, bubuli aut caprini cocti tres semicongios, affuso melle: & pro anni tempore, lac bibat, per quinque ac quadraginta dies, cum lacte ervum assumens. Cibis autem & opsoniis, quam maxime alvum subducentibus utatur: vinum bibat album, molle, Mendesium. Quum autem crassissimus fuerit, ad ejus lumbos ab utraque vertebrarum parte, quatuor crustas inurito, & ad dorsum utraque ex parte quindecim, & in cervice inter tendones, duas. Si enim ustio probe

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Περὶ τῆς τετάρτης φθίσεως, ἢ περὶ τῆς τοῦ κατὰ τὴν ῥάχιν μυελοῦ αὐάνσεως, τῆς ἀπὸ τῶν φλεβίων, εἰς τὸν μυελὸν τεινόντων, ἢ τῆς ἐκ τοῦ ἐγκεφάλου εἰς τὴν ῥάχιν ἐφόδου ἐμφράξεως, ἢ ἀπὸ τῆς λαγνείης γινομένης· καὶ περὶ τῶν ταύτης σημείων καὶ τῆς θεραπείας.

[121] ΑΥαίνεται μυελὸς ὁ κατὰ τὴν ῥάχιν μάλιστα, ὁκόταν τὰ φλέβια ἀποφραχθῇ τὰ εἰς τὸν μυελὸν τείνοντα, καὶ ἡ ἐκ τοῦ ἐγκεφάλου ἔφοδος. Διὰ κάκωσιν δὲ τοῦ σώματος τάδε πάσχει, καὶ νοσέει· αὐαίνεται μάλιστα καὶ ἀπὸ λαγνείης. Τάδε οὖν πάσχει. Ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ ἐς τὴν κεφαλὴν, καὶ ἐς τὸν τράχηλον, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τοὺς μύας τῆς ὀσφύος, καὶ ἐς τὰ ἄρθρα τῶν σκελέων· ὥστε ἐνίοτε οὐ δύναται ξυγκάμπτειν· καὶ ἡ κόπρος οὐ διαχωρέει, ἀλλ' ἵσταται· καὶ δυσουρέεται. Οὗτος κατ' ἀρχὰς μὲν τῆς νούσου [122] ἡσυχαίτερον διάγει· ὁκόσῳ δ' ἂν ὁ χρόνος τῇ νούσῳ ἀπομηκύνηται, πονέει ἅπαντα μᾶλλον· καὶ τὰ
40 σκέλεα οἰδέει ὡς ἀπὸ ὑδέρου, καὶ ἕλκεα [123] ἐκφυνδάνει ἀπὸ τῆς ὀσφύος, καὶ τὰ μὲν ἄλλα ὑγιαίνεται, τὰ δὲ ἄλλα παραφύεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, καθῆραι τὴν
41 κεφαλὴν [124] τῷ ἱπποφαέως ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ, πυριήσας πρῶτον τὸ σῶμα εὖ μάλα· τῆς δὲ ἑσπέρης μετὰ τὴν κάθαρσιν, πτισάνης δύο τρυβλία ῥοφεέτω, μέλι παραχέας· οἶνον δὲ λευκὸν πινέτω, μαλθακόν. Τῇ δὲ ὑστεραίῃ, ὀνείου γάλακτος διδόναι αὐτῷ ἑφθοῦ, μέλι παραχέας, ὀκτὼ κοτύλας ἐκπιεῖν· ἢν δὲ μὴ ὄνειον ἔχῃς, βόειον ἢ αἴγειον ἑφθὸν, τρία ἡμιχόεα, παραχέας μέλι· καὶ
42 τὴν ὥρην γαλακτοποτεέτω [125] ἐν ὀροβίῳ καὶ γάλακτι, πέντε καὶ τεσσαράκοντα ἡμέρας. 196
Σιτίοισι δὲ καὶ ὄψοισι χρεέσθω, ὡς διαχωρητικωτάτοισιν· οἶνον δὲ πινέτω λευκὸν, μαλθακὸν, Μενδήσιον. Ὁκόταν δὲ παχύτατος ᾖ, καῦσαι αὐτοῦ ἐς τὴν ὀσφὺν ἑκατέρωθεν τῶν σπονδύλων, τέσσαρας ἐσχάρας, καὶ ἐς τὸ μετάφρενον δεκαπέντε ἑκατέρωθεν, καὶ ἐς τὸν αὐχένα δύο, μεταξὺ τῶν τενόντων. Ἢν γὰρ τυ-

VARIÆ LECTIONES.

121 ἢν μυελὸς ὁ κατὰ τὴν ῥάχιν αὐαίνηται, *si medulla spinalis exsiccatur* scribit Imp. Sambuci.

122 ἡσυχαίτερον, pro ἡσυχέστερον vulgato, Imper. Sambuc. & Fevr. quos sequimur.

123 ἐκφυνδάνει exponit Galen. in Exegesi ἐξορμᾷ *erumpunt*: verum mendose, quare ἐκφυνδάνει vel ἐκφλυνδάνει ex Hippocrate emendandus est hic locus apud Galen. vid. Foës. Oecon. voce ἐκφυνδάνει. Paulo post παραφύεται ex Imp. Samb. & Fevr. scripsimus, pro vulgato φύεται.

124 ἱπποφαὲς est frutex, quo utuntur fullones in concinnandis vestibus, ut scribit Dioscorid. Libr. IV. Cap. 162. Oribas. Collect. I. 11. Sunt qui lappaginem, seu lappulam interpretantur, ut Gaza apud Theophr. Libr. V. Cap. 5. quod quibusdam non arridet. Plin. Libr. XXI. Cap. 15. Hippophaes vel Hippophyes nominat, eamque herbam scribit debere accommodatam esse naturæ equorum, neque ex alia causa nomen accepisse. *Cæterum* ἱπποφέως dicitur, quasi quod pheon scanderet, eique inequitaret: duplex autem est ἱπποφαέως, alterum quod idem est ac majus φέως, ut ἱπποσέλινον, *majus apium*: alterum quod ἐπίθυμον phei, seu cuscuta, supra pheon nascens, eique scandens. Hujus Hippophei facultates alteri transcripsit ἱπποφέῳ Dioscorides. Verum quid esset ἐπίθυμον, ignoravit. Vide Salmasii de Homonymis hyles jatricæ Cap. LXI. Arabice dicitur, *sucb alkasar*, spina fullonis, κναφικὴ ἄκανθα. Aliis dicitur *spina purgatrix*.

125 ἐν ὀροβίνῳ *confectum ex ervo* putat legendum esse Martin. haud temere; Imp. Cornar. ἐν ὀῤῥῷ scribit, idque secutus est in versione.

τύχης καύσας, ὑγιέα ποιήσεις· ἡ δὲ νοῦσος χαλεπή.

tibi ceſſerit, ſanum reddes: eſt autem morbus gravis.

ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

Περὶ τῶν τεσσάρων νόσων τῶν ἀπὸ τῶν νεφρῶν, καὶ πρῶτον περὶ τῆς τῶν νεφρῶν λιθιάσεως, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπείας.

Αἱ τέσσαρες νοῦσοι αἱ ἀπὸ τῶν νεφρῶν γινόμεναι. Ἀπὸ τῆς πρώτης τάδε πάσχει. Ὀδύνη ὀξείη ἐμπίπτει εἰς τὸν νεφρὸν, καὶ ἐς τὴν ὀσφὺν, καὶ ἐς τὸν ὄρχιν τὸν κατὰ τὸν νεφρὸν, καὶ οὐρέει πυκινὰ, καὶ στύφει κατ' ὀλίγον τὸ οὖρον, καὶ ἅμα τῷ οὔρῳ προέρ- 43 χεται ψάμμος· καὶ, ὁκόταν ἐξίῃ διὰ τῆς οὐρήθρης ἡ ψάμμος, ὀδύνην παρέχει ἰσχυρὴν ἐν τῇ οὐρήθρῃ· ὁκόταν δὲ διεξουρήσῃ, ἡ ὀδύνη ἀνίησιν· ἔπειτα αὖθις ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κέεται· ὁκόταν δὲ οὐρέῃ, καὶ τὸν καυλὸν ὑπὸ τῆς ὀδύνης τρίβει. Πολλοὶ δὲ τῶν ἰητρῶν, οἱ μὴ συνιέντες τὴν νοῦσον, ὁκόταν ἴδωσι τὴν ψάμμον, δοκέουσι λιθιῆν τὴν κύστιν· καὶ ταύτην μὲν οὔ· τὸν δὲ νεφρὸν λιθιῇ. Αὕτη ἡ νοῦσος γίνεται ἀπὸ φλέγματος· ὁκόταν ὁ νεφρὸς ἐς ἑωϋτὸν ἀναλαβὼν φλέγμα, μὴ ἀφίῃ πάλιν, ἀλλ' αὐτοῦ ξυμπωρωθῇ, τοῦτο γίνεται λίθοι λεπτοὶ, οἷον ψάμμος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τῷ ὀπῷ τῆς σκαμμωνίης, ἢ αὐτῇ τῇ ῥίζῃ ([128] πυριῆσαι δὲ πρόσθεν ἅπαν τὸ σῶμα) ὑποκαθῆραι· τῇ δὲ ὑστεραίῃ τῷ ἀπὸ ἐρεβίνθων λευκῶν χυλῷ ὑποκαθῆραι δύο χοεῦσιν· ἅλας δὲ παρεμβαλὼν, διδόναι πίνειν. Μετὰ δὲ ταῦτα ποτοῖσι, καὶ βρωτοῖσι, καὶ λουτροῖσι μελετῆν, διδοὺς τὰ αὐτὰ, ἃ καὶ τῷ στραγγουριῶντι δίδοται φάρμακα. Ὁκόταν δὲ ἡ ὀδύνη πιέσῃ, λούειν πολλῷ καὶ θερμῷ, καὶ χλιάσματα προστιθέναι, ὅπῃ πονέει μάλιστα. Ὁκόταν δὲ ἀποιδήσῃ καὶ ἐξαρθῇ, ὑπὸ τοῦτον τὸν χρόνον τάμνειν κατὰ τὸν νεφρὸν, καὶ, ἐξελὼν τὸ πῦον, τὴν ψάμμον διουρητικοῖσιν ἰῆσθαι· ἢν μὲν γὰρ τμηθῇ, ἐλπὶς ἐκφυγεῖν· ἢν δὲ μὴ, ἡ νοῦσος τῷ ἀνθρώπῳ ξυναποθνήσκει.

CAPUT XV.

De quatuor renum affectibus, ac primum de renum calculo, ejusque cauſis, ſignis, & curatione.

Quatuor, qui a renibus oriuntur, morbi. A primo (æger) hæc patitur. Dolor acutus in renem, in lumbos, & in teſtem ad renis regionem incidit, frequenter urinam reddit, & paulatim urina ſupprimitur, & cum urina arena egreditur; &, ubi per urethram arena exit, vehementem in urethra dolorem parit: quum autem ipſam cum urina ejecerit, remittit dolor; deinde rurſus in iisdem jacet doloribus: quum vero urinam reddit, colem etiam præ dolore fricat. At plerique Medici ignorantes morbum, quum arenam videant, veſicam calculo laborare exiſtimant: hæc autem minime, ſed ren calculo laborat. Hic morbus a pituita naſcitur; quum ren receptam in ſe pituitam non rurſus dimiſerit, ſed illic in tofum concalluerit, fiunt ex ea calculi parvi, velut arena. Hunc, quum ſic habuerit, ſcammoniæ ſucco, aut radice ipſa (toti corpori adhibito prius fomento) per inferiora purgato; poſtridie vero ex cicerum alborum decocto, ſale injecto, ad duos congios potui exhibito; per inferiora purgato. Poſt hæc potionibus, eduliis, & balneis curato, iisdem datis medicamentis, quæ in urinæ ſtillicidio exhibentur. Quum autem dolor urget, multa calida lavato, & qua parte præcipue dolor eſt, fotus tepentes admoveto. Quum vero intumuerit & extuberarit, ſub hoc tempus juxta renem ſecato, & extracto pure, arenam medicamentis urinam cientibus curato: ſi enim ſectus fuerit, evadendi ſpes eſt; ſin minus, morbus homini commoritur.

ΚΕΦΑΛΑΙΟΝ Ιςʹ.

Περὶ τῆς δευτέρας νεφρίτιδος, ἢ ῥήξεως, τῆς ἀπὸ ταλαιπωρίας, ὁκόταν ῥαγῇ τὰ φλέβια τῶν νεφρῶν, γενομένης, καὶ τῶν ταύτης σημείων καὶ θεραπευτικῶν: ἐκ ταύτης τῆς νεφρίτιδος ἡ φθίσις ἡ νεφρῖτις.

Δευτέρη νοῦσος νεφρῶν. Αἱ μὲν ὀδύναι ἰσχυρῶς πιέζουσιν, ὡς ἐν τῇ πρόσθεν· γίνεται δὲ τὸ νούσημα ἀπὸ ταλαιπωρίης,

CAPUT XVI.

De ſecundo renum morbo, vel ruptione, a labore cum venarum renis ruptione, orto, ejusque ſignis, & curatione; ex hac nephritide tabes renalis.

Secundus renum morbus. Dolores quidem vehementer, ut in priore, urgent: oritur autem morbus a vehementi labore, quum

VARIÆ LECTIONES.

126 πυριάσας, pro πυριῆσαι vulgato, ſcribit Imperial. Cornar. deleto δὲ.

quum venulæ ad renem tendentes ruptæ fuerint; deinde quum ren ſanguine repletus fuerit. Quum his æger affectus fuerit, per initia morbi ſanguinem una cum urina reddit; deinde pus progreſſu temporis. Hic ſi corpore quieverit, citiſſime convaleſcit: ſiquid enim laborarit, dolores multo magis detinebunt. Quum igitur ren ſuppuratus fuerit, circa ſpinam intumeſcit. Hunc, quum ita habuerit, qua parte tumor eſt, altiſſima quidem ſectione ad renem ſecato: quod ſi quidem ſectionem aſſecutus fueris, confeſtim ſanum reddes: at ſi aberraveris, periculum eſt ulcus linamentoſum fieri. Si vero ulcus coaluerit, renis venter intro pus colligit. Et ſi quidem pus intro rumpatur, & ad inteſtinum rectum feratur, evadendi ſpes eſt: quod ſi alterum renem attigerit, periculum eſt, ne corruptione pereat. Medicamentis autem & iisdem omnibus, quibus & prior, curetur, eandemque victus rationem teneat. Hic autem morbus moleſtus eſt, ex eoque plures ad renum tabem devenerunt.

ὁκόταν ῥαγῇ τὰ φλέβια τὰ ἐς τὸν νεφρὸν τείνοντα· ἔπειτα [127] ἢν ὁ νεφρὸς αἵματος ἐμπλησθῇ. Οὗτος, ὁκόταν ταῦτα πάθῃ, ἐξουρέει, ἅμα τῷ οὔρῳ, αἷμα κατ' ἀρχὰς τοῦ νουσήματος· ἔπειτα πῦον, προϊόντος
44 τοῦ χρόνου. Οὗτος, ἢν ἡσυχίην ἔχῃ τῷ σώματι, τάχιστα ὑγιὴς ἔσται· ἢν γάρ τι πονήσῃ, αἱ ὀδύναι πολλῷ μᾶλλον ἕξουσιν.
45 Ὁκόταν γοῦν ἔμπυος ᾖ ὁ νεφρὸς, ἀποιδέει περὶ τὴν ῥάχιν. Τοῦτον, ὅταν οὕτως ἔχῃ, τάμνειν κατὰ τὸ ἀποιδέον, μάλιστα μὲν βαθείην τομὴν κατὰ τὸν νεφρόν· κἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις· ἢν δὲ ἁμάρτῃς, κίνδυνος ἕλκος ἐμμοτον γενέσθαι. Ἢν δὲ ξυμφυῇ τὸ ἕλκος, ἐκπυοῦται εἴσωθεν ἡ κοιλίη ἡ ἀπὸ τοῦ νεφροῦ. Κἢν μὲν ῥαγῇ εἴσωθεν, καὶ χωρήσῃ κατὰ τὸν ἀρχὸν τὰ πῦα, ἐλπὶς ἐκφυγέειν· ἢν δὲ ψαύσῃ τοῦ ἑτέρου νεφροῦ,
46 [128] κινδυνεύσῃ καταφθαρῆναι. Μελετῆν δὲ φαρμάκοισι καὶ τοῖσιν αὐτοῖσι πᾶσιν, οἷσι καὶ τὸν πρόσθεν, καὶ τὴν δίαιταν τὴν αὐτὴν ἐχέτω. Αὕτη δὲ ἡ νοῦσος χαλεπὴ, καὶ πολλοὶ ἐκ ταύτης τῆς νούσου ἐς φθίσιν νεφρίτιδα κατέστησαν.

CAPUT XVII.

De tertio renum morbo, vel ulcere, ejusque ſignis, & curatione.

TErtius renum morbus. Urina velut a bubulis carnibus aſſatis ſuccus, egreditur. Oritur autem morbus ab atra bile, quum bilis ad venulas ad renem tendentes, confluxerit; quumque conſtiterit, venas renemque exulcerat: ab exulceratione igitur tale quid cum urina elabitur. Dolores autem in lumbis, veſica, interfemineo, & in rene ipſo parumper detinent; deinde remittit dolor, rurſusque ex brevi intervallo acutus invadit, & in tenuem ventris partem nonnunquam dolor incidit. Huic, cum ita habuerit, ventrem epithymo, aut ſcammoniæ radice ſuppurgato; eadem, quæ urinæ difficultate laboranti, potui exhibeto; quumque dolor detinuerit, copioſa calida lavato, fomentis potiſſimum loco laboranti admotis; pro ſorbitione farinam coctam affuſo melle ſumat, reliquaque victus ratione quam maxime alvum ſubducente utatur; vinumque bibat

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Περὶ τῆς τρίτης τῶν νεφρῶν νόσου, ἢ τῆς ἑλκώσεως, καὶ τῶν ταύτης σημείων, καὶ θεραπευτικῶν.

ΤΡίτη νοῦσος νεφρῶν. Τὸ μὲν οὖρον προέρχεται, οἷον ἀπὸ κρεῶν βοείων ὀπτῶν χυλός. Γίνεται δὲ τὸ νούσημα ἀπὸ χολῆς μελαίνης, ὁκόταν χολὴ ἐς τὰ φλέβια [129] συῤῥῇ τὰ τείνοντα ἐς τὸν νεφρόν· καὶ, ὁκόταν στῇ, ἑλκοῖ τὰ φλέβια καὶ τὸν νεφρόν· ὑπὸ οὖν τῆς ἑλκώσιος, τοιοῦτον ὑποχωρέει ἅμα τῷ οὔρῳ. Αἱ δὲ ὀδύναι ἔχουσιν ἐν τῇ ὀσφύϊ, καὶ ἐν τῇ κύστει, καὶ ἐν τῷ περινέῳ, καὶ ἐν αὐτῷ τῷ νεφρῷ, ἐπ' ὀλίγον χρόνον· ἔπειτα ἀνῆκεν ὁ πόνος, καὶ αὖθις ἐπέλαβεν ὀξὺς δι' ὀλίγου, καὶ ἐς τὸ λεπτὸν τῆς γαστρὸς ἐστιν ὅτε ὀδύνη ἐμπίπτει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [130] ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ, ἢ τῆς σκαμμωνίης ῥίζῃ· πίνειν διδόναι τὰ αὐτὰ, ἃ καὶ τῷ στραγγουριῶντι· καὶ, ὁκόταν ἡ ὀδύνη ἔχῃ, [131] λούειν πολλῷ καὶ θερμῷ, χλιάσματα προστιθέντα πρὸς τὸ πονέον μάλιστα· καὶ ῥοφήματι χρεέσθω ἀλεύρῳ ἐφθῷ, [132] μέλι παραχέας, καὶ τῇ ἄλλῃ διαίτῃ χρεέσθω, ὡς διαχωρητικωτάτῃ· καὶ οἶνον πινέτω λευ-

VARIÆ LECTIONES.

127 Sic Imp. Samb. Fevr. inſerto ἢν, quod probamus.

128 Hic demum incipit MS. cod. qui pro κινδυνεύσῃ καταφθαρῆν· μελετῆν δὲ φαρμάκοισι καὶ τοῖσιν, ſcribit κινδυνεύσει καταφθαρῆναι· μελετῆν δὲ χρὴ φαρμάκοισι τοῖσιν omiſſa particula καί. Paulo poſt pro οἷσι καὶ τὸν κ. λ. ὡς καὶ τὸν ſcribitur in cod.

129 συῤῥύῃ MS. cod. pro συῤῥῇ, ſcribit.

130 ὑποκαθῆραι τὴν κοιλίην ἐπιθύμῳ, ἢ τῇ σκαμωνίῃ ῥίζῃ MS. cod.

131 In MS. cod. ſcribitur λούειν καὶ πολλῷ, καὶ χλιάσματα προστιθέναι.

132 MS. cod. habet μέλι παραχέαν.

λευκὸν [133] μενδαῖον μελίχρουν, ἢ ἄλλον λευκὸν τὸν ἥδιςον, καλῶς κεκρημένον ([134] αὕτη ἡ νοῦσος οὐ μάλα ἐκλείπει:) καὶ τὴν ὥρην ὀῤῥοποτεέτω κ̀ γαλακτοποτεέτω· ἐς κάθαρσιν μὲν τῷ ὀῤῥῷ· τὴν δὲ γαλακτοποσίην ποιεέσθω ἐν ὥρῃ, πέντε καὶ τεσσαράκοντα ἡμέρας. Ταῦτ' ἢν οὕτω ποιέῃς, [135] ἐπὶ τὸ κρέσσον διαθήσεις τὴν νοῦσον.

album Mendæum, melle permixtum, aut aliud album suavissimum, probe dilutum (hic morbus non fere deserit:) si anni tempestas ferat, serum bibat, & lac bibat; serum quidem ad purgationem; lactis autem potione tempestive utatur, quinque & quadraginta diebus. Hæc si ita feceris, morbum meliore statu constitues.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῆς τετάρτης νόσου τῶν νεφρῶν, ἢ περὶ τ̃ νεφρίτιδος τῆς ἐξ ἐμφράξεως κ̀ λαγνείας γενομένης, τῆς ἐκ μεταπλώσεως ἐμπυουμένης, καὶ τῶν αὐτῆς σημείων καὶ θεραπευτικῶν.

CAPUT XVIII.

De quarto renum morbo, seu nephritide ex obstructione & venere orta, quæ in suppuratum degenerat; ejusque signis, & curatione.

[136] ΤΕτάρτη νοῦσος νεφρῶν. Τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς καὶ φλέγματος, ἐν καιρῷ δὲ τοῦ θέρεος μάλιςα· γίνεται δὲ καὶ ἀπὸ λαγνείης ἡ νοῦσος. Οὗτος τάδε πάσχει· ὀδύναι πιέζουσιν αὐτὸν ἐς τὴν λαπάρην, κ̀ ἐς τὸν κενεῶνα, κ̀ ἐς τὴν ὀσφὺν, κ̀ ἐς τοὺς μῦας τῆς ὀσφύος, κ̀ πάσχει ὁκοῖα γυνὴ ὠδίνουσα· [137] καὶ οὐκ ἀνέχεται ἐπὶ τοῦ
197 ὑγιέος κατακεῖσθαι, ἀλλ' ἄγαν πονέει· κ̀ τοῦ κενεῶνος δοκέει κατακρεμᾶσθαι ὡς ἀποῤῥησσόμενα· ἐπὶ δὲ τὰ πρηνέα ἢν κατακέηται, [138] οὐκ ἀλγέει. Οἱ δὲ πόδες, κ̀ αἱ κνῆμαι αὐτέου αἰεὶ ψυχρά. Τὸ δὲ οὖρον [139] μόλις προέρχεται ὑπὸ τῆς φλεγμασίης κ̀ παχύτητος τοῦ οὔρου· κἢν μὲν ἐάσῃς αὐτὸ ὀλίγον χρόνον, καταθεὶς ἕως ἂν καταςῇ, ὄψει τὸ ὑφεςηκὸς [140] πᾶν παχὺ, οἷόν περ ἄλευρον· κἢν μὲν χολὴ ἐπικρατέῃ, ὑπόπυῤῥον αὐτὸ ὄψει· ἢν δὲ ἀπὸ φλέγματος ᾖ τὸ νούσημα, λευκὸν καὶ παχὺ ἔςαι. Καὶ τὸ μὲν πρῶτον ἐς ἐνιαυτὸν, [141] ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον, τοιαῦτα πάσχων διατελέει· [142] ἢν δὲ ἐπιμηκύνηται ἡ νοῦσος, πονέει τε μᾶλλον καὶ ἐμπυοῦται· καὶ, ὁκόταν ἔμπυος γενόμενος ἀποιδέῃ, ὅκου ἂν μάλιςα ἀποιδέῃ, τάμνειν ἐς τὸν νεφρὸν, καὶ ἀφιέναι τὰ πῦα· καὶ, ἢν μὲν τύχῃς ταμὼν, παραχρῆμα ὑγιέα ποιήσεις. Τοῦτον,

QUartus renum morbus. Morbus hic a bile & pituita æstatis potissimum tempore generatur; quin etiam ex venere morbus oritur. Hic æger hæc patitur: dolores eum ad hypochondrium, & ilia premunt, & ad lumbos, lumborumque musculos, & cruciatibus afficitur, quibus mulier in partu laborans; neque decubitum in sanam partem ferre potest, sed valde laborat; & de ilibus quædam velut abrupta suspensa esse videntur: at si pronus jaceat, non dolet. Ejus vero pedes & tibiæ semper frigent. Urina autem ob pi-
47 tuitæ copiam & crassitudinem suam vix egreditur: & siquidem depositam quoad
48 resederit, parumper siveris, totum sedimentum crassum velut farinam videbis: at si quidem bilis superaverit, ipsum subfulvum videbis: si vero ex pituita morbus fuerit, album & crassum erit. Ac primo quidem in annum, aut paulo longius, aut brevius tempus, talibus æger affectus perseverat: at si producatur morbus, tum magis laborat, tum suppurat: quumque purulentus factus intumuerit, qua præcipue parte intumuerit, ad renem secato, & pus emittito; &, si quidem sectio prospere cesserit, statim sanum reddes. Hunc,

quum

Variæ Lectiones.

133 Sic MS. cod. quod sequimur pro μένδαιον vulgato. De quo Atheneus libr. I. cap. 12. ita scribit:

Μενδαίῳ μὲν ἐνουρέουσι, κ̀ θεοὶ αὐτοὶ
Στρώμασιν ἐν μαλακοῖς. Id est:
Mendæum mingunt cælestia regna tenentes
Mollibus in stratis.

Hippocrates & Galenus sæpe de hoc vino mentionem faciunt, nomine οἰνώδης, *vinosum* scilicet vinum; quasi in supremo gradu robustum, potens, præsertim vetus, & quod vehementer calidum vetustissimum. Lindenus scribit μενδήσιον, a Mendesio Ægypti oppido.

134 In MS. cod. legitur αὕτη ἡ νοῦσος μάλιςα ἐκλείπει.

135 ῥήϊςα διαφεύξει Imp. Samb. quæ explicatio videtur, ut & Fevr.

136 MS. cod. scribit pro epigraphe ἄλλη νεφροῦ. Deinde in cod. legitur ἐν καιρῷ τοῦ δὲ θέρεος μάλιςα, omissis τετάρτη νοῦσος νεφρῶν: τὸ μὲν νούσημα γίνεται ἀπὸ χολῆς κ̀ φλέγματος, *quartus renum morbus: morbis hic a bile & pituita contingit.*

137 MS. cod. κ̀ οὐκ ἀνέχεται ἐπὶ τοῦ ὑγιέος κατακείμενος· ἃ γὰρ πονέει τοῦ κενεῶνος δοκέει ἀποκριμᾶσθαι.

138 οὐκ ἀλγέει, *non dolet*, legunt omnia exemplaria; verum Martinus istud οὐ rejicit, & affirmative scribit.

139 μόγις προέρχεται ὑπὸ τῆς θερμασίης, urina *præ ardore vix egreditur*, scribit MS. cod. quam lectionem secutus est Mart. qui φλεγμασίης hic pro *ardore* sumsit. Verum, quum hic agatur de nephritide ab obstructione renis facta, consentaneum est urinam paullo crassiorem reddi, & ita accipiendus est iste locus; quamvis prior lectio non destituatur fundamento.

140 ταχὺ *celeriter*, quidam codd. sed πᾶν παχὺ ex MS. cod. & membr. Vatic. scripsimus, quam lectionem secutus est Chart.

141 Pro ἢ ὀλίγῳ πλέονα, ἢ ὀλίγῳ ἐλάσσονα χρόνον, vulgatis, MS. cod. scribit: ἢ ὀλίγῳ πλείω χρόνον.

142 MS. cod. legit: ἢν δὲ ὁ χρόνος πλείων τῇ νούσῳ ἀπομηκύνηται, πονέει μᾶλλον κ̀ ἐκπυοῦται· κ̀ ὁκόταν ἔμπυος ᾖ, ἀποιδέῃ, κ̀ ὅκου κ. λ.

quum sic habuerit, iisdem omnibus, quibus priores, curato: per morbi vero exordia purgare oportet, & ante purgationem fovere, & crebris balneis lavare: Inungatur vero & foveatur magis, neque frigeat; a soleque abstineat, neque venere utatur. Hæc si fecerit, neque citissime sanescat, haud novum; morbus enim perdifficilis. At si absque medicamentis curari desideret, per victus rationem crassum facere oportet, sive hoc morbo, sive superiorum aliquo laboret. Cibis nimirum, quos comedere consuevit, in decem partes divisis; deinde parte una subducta, reliquas comedat. Opsonium autem carnem suillam tritam habeat; & eo die decem stadia obambulet: sed postero die, & tertio adusque decem dies adjectione facta, portionem minus edat, & unoquoque die decem, aut plura stadia obambulet. Quum vero ad ultimam cibi portionem pervenerit, ad centum stadia iter faciat, & unam solam partem edat, eoque die centum stadia deambulet; ante cœnam quadraginta, a cœna vero viginti, mane quadraginta. Vinum autem vetus, album, austerum bibat. Hæc autem per tres menses faciat: reliquo deinde tempore subductis deambulationibus, plures cibos comedat, additione eodem, quo detraxerat, modo facta: deambulationem vero ad decimum usque diem subducat; deinde quam maxime quiescat, cibisque puris vescatur, & quam pinguissimis opsoniis, dulciaque omnia ei conferunt. Ab oleribus autem & acidis omnibus abstineat, acribusque & iis, quæ flatum excitant: calida quoque multa lavet, & non algeat. Hæc si fecerit, citissime sanus erit.

49 ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσι [143] πᾶσι
θεραπεύειν, οἷσι κατὰ τὸ πρόσθεν· καὶ κατ'
ἀρχὰς τῆς νούσου· δεῖ δὲ καθῆραι, καὶ πρὸ τῆς
ὑποκαθάρσιος πυριῆσαι, καὶ τοῖσι λουτροῖσι
πυκινὰ λούειν· ἀλειφέσθω δὲ [144] καὶ θαλπέσθω
μᾶλλον, μηδὲ ῥιγούτω· καὶ τοῦ ἡλίου ἀπεχέ-
σθω, καὶ μὴ λαγνευέτω. [145] Ταῦτα ἢν ποιέῃ καὶ
μὴ τάχιστα ὑγιαίνῃ, οὐ καινόν· ἡ νοῦσος γὰρ
ὡς χαλεπή. Ἢν δὲ βούληται ἄνευ φαρμάκων
ἰῆσθαι, χρὴ παχὺν ποιῆσαι ἀπὸ διαίτης, ἤν
τε ταύτην τὴν νοῦσον [146] κάμνοντα, ἤν τε τῶν
προτέρων τινά. Τὰ γοῦν σιτία διελὼν, ἃ με-
μαθήκει ἐσθίειν, ἤγουν δέκα μερίδας· ἔπειτα,
μίην ἀφελὼν μερίδα, τὰ λοιπὰ καταφαγέτω.
Ὄψον δὲ ἐχέτω [147] κρέας ὗος τετριμμένον,
καὶ περιπατεέτω [148] δέκα σταδίους αἰεὶ πλείω
ἑκάστης τῆς ἡμέρης· τῇ δὲ ὑστεραίῃ καὶ τῇ τρί-
50 τῃ, μέχρι τῶν δέκα ἡμερέων προστιθεὶς, με-
ρίδα ἐλάσσω ἐσθιέτω, καὶ περιπατεέτω δέκα
σταδίους [149] ἢ πλείω ἑκάστης ἡμέρης. Ὁκόταν
δὲ ἐς τὴν ἐσχάτην μερίδα ἀφίκηται τοῦ σι-
τίου, καὶ ἐς τοὺς ἑκατὸν σταδίους βαδιζέτω,
καὶ ἐσθιέτω τὴν μίην μερίδα μούνην· καὶ
ταύτης τῆς ἡμέρης περιπατησάτω τοὺς ἑκα-
τὸν σταδίους, [150] πρὸ τοῦ δείπνου τεσσαράκον-
51 τα, μετὰ δὲ τὸ δεῖπνον εἴκοσι, ὄρθρου δὲ
τεσσαράκοντα. [151] Οἶνον δὲ πινέτω μὲν πα-
λαιὸν, λευκὸν, αὐστηρόν. Ταῦτα δὲ ποιεέ-
τω, τρεῖς μῆνας· ἔπειτα τὸν λοιπὸν χρόνον
ὑποβαίνων τῶν περιπάτων, καὶ τῶν σιτίων
πλείω ἐσθιέτω, τὸν αὐτὸν τρόπον, ὥσπερ ἀ-
φήρει, [152] οὕτω προστιθέτω· τῶν δὲ περιπάτων
ἀφαιρείτω μέχρι τῶν δέκα ἡμερέων· ἔπειτα
ἡσυχίην ἐχέτω, ὡς μάλιστα, καὶ εὐωχεέσθω
σιτία τε καθαρὰ, [153] καὶ ὄψα ὡς πιότατα,
καὶ τὰ γλυκέα πάντα ξύμφορα [154] αὐτῷ.
Λαχάνων δὲ καὶ ὀξέων πάντων ἀπεχέσθω,
καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει·
λουέσθω τε πολλῷ καὶ θερμῷ, καὶ μὴ ῥιγούτω.
Ταῦτ' ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται.

ΚΕΦΑ-

VARIÆ LECTIONES.

143 Pro πᾶσι, omnes MSS. codd. & vulgata exemplaria πάθεσι habent; priorem tamen lectionem cum interpretibus prætulimus, quæ etiam in MS. cod. adscribitur. Deinde in cod. habetur καὶ κατ' ἀρχὰς τῆς νούσου πρὸ τῆς ὑποκαθάρσιος πυριῆσαι, cæteris omissis.

144 καὶ θαλπέσθω, & foveatur, deest in MS. cod. & paulo post μὴ δὲ λαγνευέτω Imp. Samb. scribit, pro καὶ μὴ λαγνευέτω.

145 ταῦτα ἢν ποιέῃ, τάχιστα ὑγιὴς ἔσται MS. cod. habet, & omittuntur οὐ καινόν. Postea dicitur ἡ δὲ νοῦσος χαλεπή· ἢν δὲ βούλῃ ἄνευ φαρμάκων ὑγιᾶ ποιῆσαι, παχὺν ἀπὸ διαίτης.

146 κάμνῃ· τὰ σιτία διελὼν, ἃ μεμαθήκει ἐσθίειν· ἔπειτα μίην ἀφελὼν μερίδα MS. cod. habet, & omissa desunt.

147 κρέας ὗος τετριμμένον, καὶ περιπατησάτω MS. cod.

148 Sic MS. cod. scribit, quæ lectio multo melior est vulgata, quæ ita habet δέκα σταδίους ἑκάστης τῆς ἡμέρης. Paulo post ὑποβαίνων, imminuens cibi portiones, Imper. Samb. & Linden. scribunt. Alii προστιθεὶς addens intelligunt de itinere, seu decem stadiis, quotidie adjiciendis; ita ut decimo, & ultimo die centum stadia æger conficiat, & μερίδα conjungunt cum ἐλάσσω, ita ut quotidie pars una cibi detrahatur, & ultimo ac decimo unam solum partem ægrotus comedat, ut paulo inferius diserte dicitur. Lindenus προστιθεὶς omittit, & substituit ὑποβαίνων.

149 ἢ πλείω προστιθεὶς ἑκάστης ἡμέρης Imp. Corn. Deinde MS. cod. scribit: ὁκόταν δ' ἐς τὴν δεκάτην μερίδα ἀφίκηται, καὶ ἐς τοὺς ἑκατὸν σταδίους, ἐσθιέτω τὴν μίην μούνην μερίδα.

150 πρὸ τοῦ δείπνου τεσσαράκοντα addit MS. cod. quam lectionem adhibuimus. Quæ verba in codd. vulgatis desiderantur; sed requiri videntur notante Foesio. Calvus vero, ut numerum conficeret: μετὰ τὸ δεῖπνον τεσσαράκοντα scripsit, ut & ὄρθρου δὲ ἑξήκοντα.

151 MS. cod. scribit οἶνον δὲ πινέτω μὲν παλαιὸν vinum autem bibat vetus, quæ lectio arridet, & probamus pro οἶνον δὲ πινέτω μένδαιον.

152 οὕτω δὲ προστιθείς· τῶν δὲ περιπάτων vulgati codd. pro quibus Lind. habet οὕτω δὴ καὶ προστιθέτω· τῶν δὲ περιπάτων. Verum nos MS. Cod. lectionem utpote meliorem amplectimur.

153 Pro καὶ ὄψα ὡς πιότατα, in MS. cod. scribitur καὶ ὄψα ὡς πλεῖστα ἔχον.

154 αὐτῷ abest in MS. cod. & dicitur λαχάνων δὲ ἀπεχέσθω, καὶ τῶν ὀξέων, καὶ τῶν δριμέων, καὶ ὁκόσα φῦσαν παρέχει, ἁπάντων· καὶ λούσθω πολλῷ.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Περὶ τῆς μεγάλης τῶν κοίλων φλεβῶν νόσου, τῆς τῇ νεφρίτιδι ἐπιγινομένης, ἣ κέδμα παλίνδρομον καλεῖται· καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπειτικῶν.

[155] ΑΠὸ δὲ νεφρίτιδος ἐπιλαμβάνει ἥδε ἡ νοῦσος μεγάλη τῶν φλεβῶν τῶν κοίλων, αἳ τείνουσιν ἀπὸ τῆς κεφαλῆς παρὰ τὰς σφαγὰς διὰ τῆς ῥάχιος ἐς τὸ σφυρὸν τὸ ἐκτὸς τοῦ ποδὸς, καὶ ἐς τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου. [156] Τὸ δὲ νούσημα γίνεται μὲν ἀπὸ φλέγματος καὶ χολῆς, ὁκόταν ἐς τὰς φλέβας ξυῤῥυῇ· αἱ δὲ φλέβες αὗται αἵματός εἰσι πλήρεες, [157] ἢν οὖν τι παρέλθῃ ἀλλοῖον ἐς ταύτας, νοσοῦσι. Τάδε οὖν πάσχει. Ἢν ἐπὶ τὰ δεξιὰ νοσέῃ, ἄρχεται τὴν ὀδύνην παρέχουσα ἐκ τῆς [158] κοτυληδόνος τοῦ ἰσχίου κατ' ἀρχάς· ὁκόσῳ δ' πλείω ἂν χρόνος προΐῃ, καὶ ἀπομηκύνηται, ἥτε ὀδύνη ὀξυτέρη κατέρχεται κατωτέρω· καὶ, ὁκόταν ἐς τὸ σφυρὸν ἀφίκηται τὸ ἐκτὸς τοῦ ποδὸς, [159] καὶ τὸ μεταξὺ τοῦ μεγάλου δακτύλου, ἄρχεται πάλιν ἐς τὴν κεφαλὴν ἔρχεσθαι· [160] καὶ, ὁκόταν ἐν τῇ κεφαλῇ στῇ τὸ ἄλγος, πιέζει ἰσχυρῶς, [161] καὶ δοκέει ὁ ἄνθρωπος διαῤῥήγνυσθαι τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ φλέγματος πληροῦνται, καὶ τὸ πᾶν σῶμα. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ἐλατήριον πίσαι, ἢ θαψίης ῥίζαν [162] ἢ ἐλλεβόρον, ἢ ὀπὸν σκαμμωνίης· μετὰ δὲ τὴν κάθαρσιν ταυτὰ προσφέρειν, ἃ καὶ τοῖσι πρόσθεν. Ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς θεραπείης παύηται, γάλακτι παχύνας, [163] καῦσαι κάτω τὴν ὠμοπλάτην τὴν δεξιὴν τέσσαρας ἐσχάρας, καὶ ἐς τὴν κοτυλίδα τοῦ ἰσχίου τοῦ 52 δεξιοῦ τρεῖς, καὶ ὑπὸ τὸν γλουτὸν δύο, καὶ ἐν τῷ μέσῳ τοῦ μηροῦ δύο, καὶ ὑπὲρ τοῦ γούνατος μίην, [164] καὶ ὑπὲρ τοῦ σφυροῦ μίην· οὗτος ἢν οὕτω καυθῇ, οὐκ ἀφίησιν οὔτε ἄνω, οὔτε κάτω, τὴν νοῦσον διαχωρέειν. Ἢν δέ κου ἡ 53 ὀδύνη ὀφθῇ [165] ῥαγεῖσα, ἢν μὲν στηρίξῃ ἐς τὸ σκέλος, πρὶν ἢ καυθῆναι, χωλὸς ἔσται·

CAPUT XIX.

De magno venarum cavarum morbo nephritidi succedente, qui defluxio recurrens vocatur; ejusque caussis, signis, & curatione.

A Nephritide invadit magnus venarum cavarum morbus, quæ a capite juxta jugulum per spinam, ad exteriorem pedis malleolum, & intermedium magni digiti locum feruntur. Oritur hic morbus a pituita quidem & bile, quum ad venas confluxerint; hæ autem venæ sanguine plenæ sunt; siquid igitur alieni ad eas pervenerit, ægrotant. His itaque afficitur. Si dextra parte morbus sit, per exordia ex coxendicis acetabulo dolorem exhibere incipit: quo autem longius tempus processerit, & productum fuerit, eo dolor acutior ad inferiora descendit, quumque ad malleolum pedis externum, & intermedium magni digiti pervenerit, rursus ad caput ferri incipit: quumque in capite dolor constiterit, vehementer urget, & homo sibi caput disrumpi arbitratur, & oculi pituita implentur, totumque corpus. Huic, quum ita habuerit, elaterium, aut thapsiæ radicem, aut veratrum, aut scammonii succum propinato: post purgationem vero eadem, quæ superioribus, offerto. Si vero hac curatione non sedetur, ubi lacte crassum reddideris, scapulam dextram inferiorem quatuor crustis inurito, coxendicis dextræ acetabulum tribus, 52 inferiores nates duabus, & medium femur duabus, genu superius una, & malleolum superiore parte, una: hic si ita ustus fuerit, neque sursum, neque deorsum morbum progredi sinit. Si vero aliquam in 53 partem dolor affatim, & cum impetu irrumpere visus fuerit, si quidem priusquam uratur, in crus decubuerit, claudus erit;

Variæ Lectiones.

155 In MS. cod. Ἐκ τῆς νεφρίτιδος ἐπιλαμβάνει ἥδε ἡ νοῦσος· καί ἐστι μεγάλη: intra duo puncta scribuntur, ac si essent aliqua rubrica, & a reliquis separantur. Ibidem ἐκ τῆς κεφαλῆς MS. cod.

156 MS. cod. scribit γίνεται δὲ τὸ νούσημα ἀπὸ φλέγματος.

157 ἢν οὖν τι παρέλθῃ ἀλλοῖον ἐς ταύτας scribit MS. cod. id quod melius, & nos sequimur, pro vulgatis: ἢ οὖν τι παρέλθοι ἀλλοῖον ἐς αὐτάς.

158 Hic κοτυλίδα legit Galen. & exponit τὴν κοτύλην τοῦ ἰσχίου. Cæterum in MS. cod. scribitur κοτυληδόνος ἐς τὸν ἰσχίον κατ' ἀρχάς· ὁκόσῳ δ' ἂν πλείω χρόνος προσίῃ. Quæ lectio & in Imp. Sambuc. adscribitur. Paulo post καὶ κατέρχεται in MS. cod. legitur inserto καὶ, fortasse melius.

159 τὸ ἐς τὴν ῥάχιν πάλιν ἀνέρχεται, καὶ ἐς τὴν κεφαλὴν MS. cod. omissa desunt.

160 καὶ ὁκόταν ἐν τῇ κεφαλῇ τὸ ἕλκος στῇ Lind. scribit. Nos vero MS. cod. lectionem amplectimur, legendo: καὶ ὁκόταν ἐν τῇ κεφαλῇ στῇ τὸ ἄλγος, & sane ita legendum esse videtur. Verum vulgati codd. habent: καὶ ὁκόταν ἐς αὐτὴν τὸ ἕλκος στῇ, quumque in *eo ulcus constiterit.*

161 καὶ δοκέει διαῤῥήσσειν τὴν κεφαλὴν, καὶ οἱ ὀφθαλμοὶ αἵματος πίμπλανται· τοῦτον, ὁκόταν οὕτως ἔχῃ, scribit MS. cod. scilicet, *& sibi caput disrumpi videtur, & oculi sanguine implentur.*

162 ἢ ἐλλέβορον MS. cod. pro vulgato ἢ ἐλλεβόρου. Paulo post ταυτὰ, pro ταῦτα, Imp. Corn. quod probavimus.

163 Pro vulgato καῦσαι κάτω, scribitur καῦσαι παρὰ τὴν in MS. cod. Deinde κοτυλίδα ex MS. scripsimus pro vulgato κοτυληδόνα.

164 καὶ ὑπὲρ τοῦ σφυροῦ μίην, desunt hæc verba in MS. cod. & pro οὐκ ἀφίησιν, in cod. legitur οὐ παρήσει.

165 ῥαγεῖσα, Galeno exponitur, δηλοῖ ποτὲ, καὶ τὸ ἀθρόως ὁρμήσασα, ὡς ἐν τῷ δευτέρῳ περὶ νούσων τῶν μείζονι, καὶ ἡ αἱμοῤῥαγία αὐτὴ παρὰ οὕτως σύγκειται, *significat aliquando collectim impetum faciens, ut in secundo de morbis majore, & haimorrhagia ipsa, ab hoc composita est.* Postea legitur in MS. cod. πρὶν καυθῆναι ἐς τὸ σκέλος.

ſi in caput, ſurdus aut cæcus; ſi vero in veſicam, ſimul cum urina (aliquid) ſanguinis maxime quadraginta dies progreditur; ſed ſi in veſicam irruperit, eadem medicamenta, quæ & urinæ difficultate laboranti, exhibenda ſunt; &, ſi aliqua in parte dolor coacervatus ſteterit, urito. Urendæ vero ſunt carnoſæ quidem partes ferramentis; oſſeæ vero & nervoſæ, candelarum fungis; ſed ante hæc, iſta facienda ſunt. Si morbi initio acceſſeris, vinum Mendæum album dilutius quam plurimum per diem potui exhibere oportet; & inebrietur, quoad ſanguis e naribus erumpat: quum autem fluere cœperit, ut minimum tredecim diebus fluit: ubi vero hi dies præterierint, non amplius inebrietur, neque ubi ſemel fluere cœperit: in cibo tamen paulo plus vini bibat, ut ſanguis fluat. Jam vero quibusdam ſedato ſanguine in veſicam irrupit, & ſanguis & pus prodiit. Si igitur irruperit, eadem medicamenta, quæ & urinæ difficultate laboranti, exhibeto; & de eodem vino plus propinato. Hic ſi ita curetur, ciboſque per alvum ſubducentes & opſonia aſſumat, citiſſime ſanus evadit. Morbus autem gravis eſt.

ἢν δὲ ἐς τὴν κεφαλὴν, κωφὸς ἢ τυφλός· ἢν δὲ ἐς τὴν κύϛιν, [166] καὶ προχωρέει ἅμα τῷ οὔρῳ, [167] καὶ τοῦ αἵματος μάλιϛα τεσσαράκοντα ἡμέρας· ἀλλὰ χρὴ, ἢν ἐς τὴν κύϛιν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ ϛραγγουριῶντι· [168] καὶ, ἤν κου ἄλλη ἡ ὀδύνη ϛῇ, καῦσαι. Καίειν δὲ χρὴ, τὰ μὲν σαρκώδεα σιδηρίοισι· τὰ δὲ ὀϛώδεα
54 καὶ νευρώδεα, " μύκησι· πλὴν τάδε πρότερον τούτων χρὴ ποιῆσαι. Ἢν κατ' ἀρχὰς τῇ νούσῳ παραγένῃ, [169] εἰς μὲν τὸ
ποτὸν χρὴ διδόναι οἶνον λευκὸν Μένδαιον, 198
ὑδαρέϛερον, ὡς πλεῖϛον, μεθ' ἡμέρην· καὶ μεθυσκέσθω ἄχρις ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας· ὁκόταν δὲ ἄρξηται ῥέειν, τὸ ἐλάχιϛον ἡμέρας ῥέει δέκα καὶ τρεῖς· ὅταν δὲ αὗται αἱ ἡμέραι [170] διέλθωσι, μηκέτι μεθυσκέσθω, μηδὲ, ὅταν ἄρξηται ἅπαξ ῥεῖν· πινέτω μέντοι ὀλίγῳ πλείονα τὸν οἶνον ἐπὶ σι-
55 τίῳ, " ὅκως ἂν ῥέῃ τὸ αἷμα. [171] Ἤδη δὲ τισι παυσαμένου τοῦ αἵματος, ἐῤῥάγη ἐς τὴν κύϛιν, καὶ ἐχώρησεν αἷμα καὶ πῦα. Ἢν γοῦν ῥαγῇ, διδόναι τὰ αὐτὰ φάρμακα, ἃ καὶ τῷ ϛραγγουριῶντι· καὶ ἀπὸ τοῦ αὐτοῦ οἴνου διδόναι πλέον πιεῖν. Οὗτος, οὕτω μελετώμενος, καὶ τὰ σιτία προσφερόμενος διαχωρητικὰ, καὶ τὰ ὄψα, [172] τάχιϛα ὑγιὴς ἔϛαι. Ἡ δὲ νοῦσος χαλεπή.

CAPUT XX.

De venæ cavæ ſiniſtræ morbo, ſeu defluxione recurrente, ejusque cauſis, ſignis, & curatione.

Alius a vena ſiniſtra morbus. In reliquis quidem eadem multitudine, quæ etiam prior, patitur; ſed in lienem ſtatim, & per morbi exordia, dolor acutus decumbit. Et, niſi mature animadvertat, priusquam decubuerit, ſed ad pulmonem (feratur,) lienis capite apprehenſo, quam citiſſime cruſtis octo fungis candelarum inurito; & quocunque alius dolor decubuerit, urito; ſicque confeſtim ſaneſcet. At niſi uſtus fuerit, ſponte autem ſanus evadat, pleriſque poſt duodecim annos

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Περὶ τῆς κοίλης φλεβὸς τῆς ἀριϛερᾶς νόσου, ἢ τοῦ κέδματος παλινδρόμου, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[173] Ἄλλη ἀπὸ τῆς ἀριϛερῆς φλεβός. Τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει, ἃ καὶ ὁ πρόσθεν· ἐς δὲ τὸν σπλῆνα ὀδύνη ϛηρίζει ὀξείη εὐθὺς, καὶ καταρχὰς τοῦ νουσήματος. Καὶ, ἢν μὴ ξυνίῃ παραχρῆμα, πρὶν καταϛηρίξῃ, [174] ἀλλ' ἢ ἐς τὸν πνεύμονα, τοῦτον μύκησι καῦσαι ὀκτὼ ἐσχάρας, τὰς κεφαλὰς ἀπολαβὼν τοῦ σπληνὸς, ὡς τάχιϛα· [175] καὶ, ὅκου ἂν ἄλλη ὀδύνη καταϛηρίξῃ, καῦσαι· καὶ οὕτω παραχρῆμα ὑγιὴς ἔϛαι. Ἢν δὲ μὴ καυθῇ, ὑγιὴς δὲ γένηται ἀπὸ ταυτομάτου, τοῖσι πολλοῖσι μετὰ [176] δυοκαίδεκα ἔτη

ἤ

Variæ Lectiones.

166 Sic MS. cod. & Charter. quod melius, pro καὶ προχωρέη.

167 MS. cod. ſcribit, καὶ τοῦ αἵματος τεσσαράκοντα ἡμέρῃσιν.

168 MS. cod. καὶ ἤν κου ἄλλη ἡ ὀδύνη ϛῇ, καῦσαι, pro καὶ ἤν κου ἡ ὀδύνη ἁλισθῇ.

169 εἰς μὲν τὸ ποτὸν χρὴ διδόναι, omittuntur hæc verba in MS. codice, & legitur οἶνον λευκὸν μενδαῖον διδόναι πίνειν ὀλίγῳ, ὑδαρέϛερον ὡς πλεῖϛον· μεθ' ἡμέρην, ὡς ἂν αἱμοῤῥαγήσῃ κατὰ τὰς ῥῖνας· ὅταν δὲ ἄρξηται, ἐᾶν ῥυῆναι ἡμέρας τὸ ἐλάχιϛον τρεῖς καὶ δέκα.

170 Pro διέλθωσι, in MS. cod. ſcribitur διαγένωνται· & paulo poſt ὅκω ἂν ῥέῃ ſcribunt Ald. exempl.

171 ἤδη δὲ παυθέντος ſcribitur in MS. cod. pro ἤδη δέ τισι παυσαμένου· poſtea dicitur ἐῤῥάγη τισὶν ἐς τὴν κύϛιν.

172 τάχιϛα ὑγιὴς γένοιτο MS. cod.

173 Ἄλλη δὲ ἥδε ἀπὸ τῆς ἀριϛερῆς MS. cod. habet, & pro φλεβὸς, Imp. Samb. & Fevr. χειρὸς ſcribunt; Martin. vero πάντα, legendum eſſe exiſtimat. Paulo poſt ϛηρίζει vulgati codd. pro quo MS. cod. habet ἐνϛηρίζει.

174 ἀλλ' ἢ ἐς τὸν πνεύμονα ſcribunt omnia exemplar. publicata, præterquam Martin. qui legit ἀλλ' ἴῃ, *ſed eat* in pulmonem. Linden. vero ἁλίσκει τὸν πνεύμονα, *comprehendit pulmonem*, ſcribit, neſcio quo auctore? Verum in MS. cod. ἀλλ' ἢ, omittitur, & dicitur ἐς τὸν σπλῆνα. Ibidem τοῦτον μύκησι Imp. Corn. inſerto τοῦτον, id quod ſequimur

175 καὶ ὅκου ἂν ἄλλη ἡ ὀδύνη ϛηρίξῃ MS. cod.

176 δωδεκάτῳ ἔτει MS. cod. pro δυοκαίδεκα ἔτη. Imp. vero Sambuc. & Fevr. habent δυοκαίδεκα ἔτει. Lind. ſcribit δυοκαιδεκάτῳ ἔτει.

ἡ νοῦσος αὖθις [177] ὑπετροπίασε· καὶ, ἢν λάβηται τοῦ σπληνὸς, τοῖσι πολλοῖσιν ὕδερον ἐποίησεν. Ἀλλὰ χρὴ παραχρῆμα θεραπεύειν ὡς τὴν πρόσθεν, καὶ, ἢν δοκέῃ, καῦσαι [178] ὥσπερ δὴ καὶ τὸν πρότερον, ἢν ἡ ὀδύνη καθεστήκῃ ἐν τοῖσιν αὐτοῖσιν ἄρθροισιν. Ἢν δὲ μὴ οὕτω μελετηθῇ, τὸ λοιπὸν [179] φθειρόμενος θνήσκει· ἡ γὰρ νοῦσος χαλεπή.

vero diebus eadem, quæ prior, in cibo ſumat: potiſſimum vero ejus aquæ, ex qua morbus corripuit, quamplurimum propinato, quo ejus ventrem turbet, & multum dejiciat: ſic enim maxime ſanum facies. Quod ſi tibi videatur crebro etiam clyſtere opus eſſe, ex cneoro trito ad dimidiam heminam, mellis tertia heminæ parte admixta, & betæ ſucco ad quartam heminæ partem diluto; deinde ſic clyſtere ſubluito; & lactis aſinini cocti poſtero die affuſo melle octo heminas exhibeto, aut injecto ſale propinato. Poſt purgationem iiſdem, quibus etiam prior, utatur; & interjectis diebus cibos, & potus eoſdem adhibeat, ſimileſque deambulationes. Hic ſic curatus, brevi hoc morbo liberabitur, intra tertium aut ſextum menſem: quod ſi negligentia aliqua contigerit, neque ſtatim curatus fuerit, cito moritur. Extenuatus quoque iiſdem ad curationem uti debet: prius autem ejus corpus fomentis præhumectare oportet, quo magis medicamentis obſequatur. Verum cito curatio adhibenda; ſin minus, pleriſque morbus conſeneſcit. Ex his autem clyſteres parandi ſunt, utricumque morborum (mederi) volueris. Vini albi heminas duas ſumito, mellis heminam dimidiam, olei heminam dimidiam, nitri Ægyptii torrefacti quadrantem, & ſucci foliorum cucumeris agreſtis tuſorum & expreſſorum heminam: his omnibus mixtis, in ollulam aliquam infuſis & ferveſactis, ſic per infuſum ſubluito.

δὲ μεταξὺ τῶν ἡμερέων, εὐωχέειν τοῖσιν αὐ-
τοῖσιν [278] οἷσι καὶ τὸν πρόσθεν· μάλιστα δὲ
τοῦ ὕδατος τοῦ αὐτοῦ πίνειν διδόναι, ὑπότευ
καὶ τὸ νούσημα ἔλαβεν, ὡς πλεῖστον, ὅκως
ταράξῃ αὐτέου τὴν κοιλίην καὶ ὑποχωρήσῃ
σφόδρα· [279] οὕτως γὰρ μάλιστα ὑγιέα ποιή-
σεις. Ἢν δέ σοι δοκέῃ [280] καὶ κλύζειν θαμι-
νά· χρὴ τοῦ κνεώρου τρίψας, ἥμισύ τε ποιή-
σας, μέλιτος παραμίξας τρίτον μέρος [281] κο-
82 τύλης, διεῖναι, καὶ τευτλίου τέταρτον κο-
τύλης· εἶθ' οὕτω κλύζειν· καὶ ὀνείου γά-
λακτος ἑφθοῦ τῇ ὑστεραίῃ δοῦναι ὀκτὼ κοτύ-
λας, μέλι παραχέων, ἢ ἅλας παραβαλὼν,
πίνειν. Καὶ μετὰ τὴν κάθαρσιν, τοῖσιν αὐ-
τοῖσι χρεέσθω, [282] οἷσι καὶ ὁ πρόσθεν· καὶ
τὰς μεταξὺ τῶν ἡμερέων, σιτίοισι καὶ ποτοῖσι
τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ τοῖσι περιπάτοισιν
ὁμοίως. [283] Οὗτος οὕτω θεραπευόμενος, ἐν
τάχει τῆς νούσου ἀπαλλαγήσεται, τρίμηνος
ἢ ἑξάμηνος· ἢν δὲ ἀμελείη τις ἐγγένηται,
καὶ μὴ παραχρῆμα μελετηθῇ, ἐν τάχει ἀ-
ποθνήσκει. Καὶ τὸν καταλεπτυνόμενον τοῖ-
σιν αὐτοῖσι χρῆσθαι πρὸς ἴησιν· προϋγρῆναι
δὲ χρὴ πρότερον αὐτοῦ τὸ σῶμα πυριήσαντα,
83 [284] ὅκως ἂν μᾶλλον τῷ φαρμάκῳ ὑπα-
κούῃ. Ἀλλὰ χρὴ παραχρῆμα μελετῆν· ἢν
δὲ μὴ, τοῖσι πολλοῖσι ξυγγηράσκει ἡ νοῦσος.
Κλύζειν δὲ χρὴ καὶ τοῖσδε, ὁκοτέρη ἣν βού-
λῃ τῶν νούσων. Οἴνου λευκοῦ δύο κοτύ-
λας λαβὼν, καὶ μέλιτος ἡμικοτύλιον, καὶ
84 ἐλαίου ἡμικοτύλιον, [285] νίτρου τεταρτημό-
ριον Αἰγυπτίου ὀπτοῦ, σικύου ἀγρίου τῶν φύλ-
λων, κόψας καὶ ἐκπιέσας, τοῦ χυλοῦ κοτύ-
λην· ταῦτα μίξας πάντα, [286] ἔς τι χυτρί-
διον ἐγχέαι, καὶ ἐπιζέσας οὕτω κλύζειν.

CAPUT XXIX.

De morbo hepatico ab atra bile, ſeu de hepatis inflammatione ſcirrhoſa, ejuſque cauſis, ſignis, & curatione.

MOrbus hepaticus. Hic morbus oritur ab atra bile, quum ad hepar confluxerit: adoritur autem potiſſimum autumno, in anni mutationibus. His autem afficitur ægrotus. Dolor ipſi acutus ad hepar incidit, & ſub poſtremas coſtas, & ad

ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Περὶ τῆς ἡπατίτιδος τῆς ἀπὸ χολῆς μελαίνης, ἢ περὶ φλεγμονῆς τοῦ ἥπατος σκιῤῥώδους, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[287] ΝΟῦσος ἡπατῖτις. Ἡ δὲ νοῦσος γίνεται ἀπὸ χολῆς μελαίνης, ὁκόταν ἐπιῤῥυῇ ἐς τὸ ἧπαρ· προσπίπτει δὲ μάλιστα μετοπώρου, ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ. Τάδε οὖν πάσχει. Ἐς τὸ ἧπαρ ὀδύνη ὀξείη ἐμπίπτει αὐτῷ, καὶ ὑπὸ τὰς νεάτας πλευρὰς, καὶ ἐς τὸν ὦμον,

VARIÆ LECTIONES.

278 MS. cod. οἷσι καὶ τοὺς πρόσθεν ſcribit: paulo poſt ἀνταράξῃ MS. cod. pro ταράξῃ

279 Pro οὕτως γὰρ μάλιστα ὑγιέα ποιήσεις, in MS. cod. legitur οὕτω γὰρ ἂν τάχιστα ὑγιέα ποιήσαις.

280 Deeſt καὶ in MS. cod. ante κλύζειν θαμινά. Deinde in eodem legitur: χρὴ τοῦ κνεώρου τρίψας ἥμισυ πόσιος.

281 κοτύλης, σευτλίου τέσσαρας κοτύλησι διεῖναι MS. cod. Imp. vero Corn. κοτύλης, διεῖναι μετὰ τευτλίου χυλοῦ τέσσαρας κοτύλας, pro vulgatis: κοτύλης διεῖναι, καὶ τευτλίου τέταρτον κοτύλης.

282 οἷσι καὶ οἱ πρόσθεν MS. cod.

283 MS. codex habet οὗτος οὕτω θεραπευόμενος τάχιστα τὸν καταλεπτυνόμενον δὲ τοῖσιν αὐτοῖσιν ἰῆσθαι.

284 ὅκως ἂν μᾶλλον τῷ φαρμάκῳ ὑπακούσῃ MS. cod. quam lectionem amplectimur, pro ὅκως ἂν μᾶλλον τῷ φαρμάκῳ ὑπακούῃ.

285 Sic MS. cod. pro vulgatis, νίτρου τεταρτημόριον, Αἰγυπτίου ὀπτοῦ. Linden. νίτρου αἰγυπτίου ὀπτοῦ τεταρτημόριον. Corn. νίτρου ἐρυθροῦ *nitri rubri* legit. Martinus autem νίτρου ῥοδωποῦ *nitri roſei* coloris.

286 Pro ἔς τι χυτρίδιον ἐγχέαι, καὶ ἐπιζέσας MS. cod. legit: ἐγχέαι ἐς χυτρίδιον· κἄπειτα ζέσας. Pro vulgato pro ἐπιζέσας Imper. Sambuc. ſcribit ἐκπιέσας *exprimens.*

287 Pro epigraphe in MS. cod. ſcribitur ἡπατῖτις, & omittitur νοῦσος. Et paulo poſt dicitur ὡς ἐπιῤῥυῇ ἐπὶ τὸ ἧπαρ· προσπίπτει δὲ μάλιστα φθινοπώρου, καὶ ἐν τῇσι μεταβολῇσι τοῦ ἐνιαυτοῦ.

ὦμον, ϗ ἐς τὴν κληῖδα, [288] ϗ ὑπὸ τὸν τιτθὸν, ϗ πνὶξ ἔχει ἰσχυρή· ϗ ἐνίοτε ἀπεμέει πελιδνὴν χολήν· ϗ ῥίγος, ϗ πυρετὸς τὰς πρώτας ἡμέρας βληχρότερος ἔχει, ϗ ψαυόμενος ἀλγέει τὸ ἧπαρ, καὶ ἡ χροιὴ ὑποπέλιδνος αὐτέου· καὶ τὰ σιτία, ἃ πρόσθεν [289] ἐβεβρώκει, πνίγει αὐτὸν, καὶ προσπίπτοντα καίει, καὶ στρέφει τὴν κοιλίην. Ταῦτα μὲν πάσχει [290] κατ' ἀρχάς· τῆς δὲ νούσου προϊούσης, οἵτε πυρετοὶ ἀφιᾶσι, ϗ ἀπ' ὀλίγων σιτίων πίμπλαται, [291] καὶ ἐν τῷ ἥπατι ἡ ὀδύνη μούνη λείπεται· καὶ αὐτὴ ποτὲ μὲν ἰσχυρὴ, ποτὲ δὲ [292] ἥσσων διαπαύουσα· ἐνίοτε δὲ ὀξείη λαμβάνει, ϗ πολλάκις ἐξαπίνης ἀφῆκε τὴν ψυχήν. Τούτῳ ξυμφέρει, ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ, [293] τάτε ἄλλα καὶ μὴν ϗ τὰ χλιάσματα προστιθέναι ταῦτα, ἃ καὶ τῇ πλευρίτιδι· ὁκόταν δὲ ἀνῇ ὁ πόνος, λούειν αὐτὸν πολλῷ ϗ θερμῷ, [294] μελίκρητόν

202 τε διδόναι πίνειν, ϗ οἶνον λευκὸν γλυκὺν, ἢ αὐστηρὸν, ὁκότερον ἂν ξυμφέρῃ, ϗ ῥοφήματα ταῦτα, ἃ καὶ τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι. Ὑπὲρ δὲ τῆς ὀδύνης τάδε χρὴ διδόναι πίνειν· ἀλεκτορίδος ὠοῦ ἑφθοῦ [295] τὸ ὠχρὸν τρίψας, παραχέαι τε στρύχνου χυλοῦ ἡμικοτύλιον, ϗ μελίκρητον ἐν ὕδατι πεποιημένον, [296] ἥμισυ ἡμικοτύλιον, τούτοισι διεὶς, διδόναι πίνειν, ϗ παύσει τὴν ὀδύνην· διδόναι δὲ ϗ ἑκάστης ἡμέρης, [297] ἕως ἂν ἡ ὀδύνη παύσηται. Πινέτω δὲ ϗ σιλφίου ὀπὸν, ὁκόσον [298] ὄροβον, ϗ ὀρίγανον τρίβων διεῖναι οἴνῳ λευκῷ, ϗ οὕτως [299] πίνειν νῆστις· ἐπιπινέτω δὲ ϗ τὰ ἐν τῇ πλευρίτιδι διδόμενα φάρμακα, εἵνεκα τῆς ὀδύνης· [300] πινέτω δὲ ϗ γάλα αἴγειον, τρίτον μέρος μέλιτος παραμίσγων· τοῦ δὲ γάλακτος ἔστωσαν τέσσαρες κοτύλαι· τοῦτο ἕωθεν πινέτω, ὁκόταν τἄλλα μὴ πίνῃ. Σιτίων δὲ ἀπεχέσθω, [301] ἕως ἂν κριθῇ ἡ νοῦσος· κρίνεται δὲ μάλιστα ἐν ἑπτὰ ἡμέρῃσι· [302] ἐν ταύτῃσι γὰρ ἀποδηλοῖ, εἰ θανάσιμος, ἢ οὔ. Ἢν δὲ ϗ πνίγμα προσίθηται, τάδε χρὴ διδόναι, ὅκως ἂν ἀπεμέσῃ· [303] μέλι ϗ ὕδωρ, ϗ ὄξος, ϗ ἅλας· ταῦτα μίξας ἐγχέαι ἐς χυτρίδιον καινόν· εἶτα χλιαίνειν, ϗ ταράσσειν ὀριγάνου κλωνίοισι τῆς κεφαλοειδέος ξὺν τῷ καρπῷ· ὁκόταν δὲ χλιανθῇ, [340] ἐκπιεῖν δοῦναι χλιαρόν·

humerum, & ad jugulum, & sub mammam; vehemensque suffocatio detinet: interdum etiam bilem lividam evomit; & rigor, & febris primis diebus imbecillior tenet, dum tangitur, hepar dolet, illius color est sublividus; eumque cibi, quos antea comedebat, strangulant, & in ventrem irruentes incendunt & tormina excitant. Hæc quidem per exordia patitur: at procedente morbo, tum febres remittunt, tum a paucis cibis impletur, & in hepate solus dolor remanet; isque interdum quidem vehemens, interdum minor & interquiescens; quandoque vero acutus invadit, ac sæpe derepente (æger) animam afflavit. Huic confert, quum dolor detinet, tum alia, tum sane fomenta eadem quæ pleuritidi, admovere: quum autem dolor remiserit, ipsum multa calida lavato, & aquam mulsam & vinum album dulce, aut austerum, utrumcunque conduxerit, propinato, easdemque sorbitiones quas pleuritide correpto. Ad dolorem autem hæc potui exhibenda: vitellum ovi gallinacei cocti tritum, succi solani heminæ dimidium, tum aquæ mulsæ semiheminæ dimidium: hæc commixta potui exhibeto, & dolorem sedabunt: quotidie autem exhibenda, quoad cessaverit dolor. Silphii etiam succum ervi quantitate, & origanum tritum vino albo dilutum, eodem modo jejunus bibat: medicamenta vero etiam, quæ in pleuritide doloris gratia exhibentur, superbibat: sed & lac caprinum, tertia mellis parte admixta, bibat; sint autem lactis heminæ quatuor: hoc mane bibat, quum alia non biberit. A cibis autem abstineat, quoad morbus judicatus fuerit; judicatur vero maxime diebus septem: in his enim lethalis sit, necne, manifestum fit. Quod si etiam suffocatio urgeat; hæc, uti revomat, exhibere oportet; mel, aquam, acetum & sales; hæc mixta in ollulam novam infunde; postea tepefacta, & origani capitati ramulis cum semine agitata, tepida ebibenda dato: de-

VARIÆ LECTIONES.

288 κὴ ἐς τὸ τιτθὸν MS. cod. qui paulo post legit κὴ πυρετὸς τὰς μὲν πρώτας ἡμέρας σφόδρα· ἔπειτα μέν τοι βληχρότερος ἔχει κὴ ψαυόμενος ἀλγέει κατὰ τὸ ἧπαρ, κὴ ἡ χροιὴ ὑποπέλιος αὐτέου.

289 ἐβεβρώκει, πνίγει αὐτὸν προσπίπτοντα, κὴ καίει, κὴ στρέφει ἐς τὴν κοιλίην, MS. cod. & Imp. Samb.

290 κατ' ἀρχὰς τῆς νούσου· προϊούσης δὲ τῆς νούσου MS. cod.

291 Sic MS. cod. Imp. Samb. & Fevr. quam lectionem secutus est Lind. pro vulgat. ἐν δὲ τῷ ἥπατι.

292 Sic Imp. Samb. MS. cod. quæ lectio arridet Martin. pro ἧσσαι. Deinde pro λαμβάνει in cod. MS. scribitur ἐπιλαμβάνει.

293 Pro τάτε ἄλλα κὴ μὴν, κὴ τὰ χλιάσματα προστιθέναι ταῦτα, in MS. cod. scribitur: χλιάσματα προστιθέναι ταῦτα.

294 κὴ μελίκρητον δίδου MS. cod. scribit, & paulo post ἢ ὁκότερος ἂν συμφέρῃ· κὴ ῥοφήματα αὐτὰ, κὴ ὁκόσα τῷ ὑπὸ πλευρίτιδος ἑαλωκότι· τῆς δὲ ὀδύνης ἕνεκα.

295 τὸ ὠχρὸν τρίψας παραχέαι MS. cod. quem secuti sumus. Vulgo legebatur τὸ ὑγρὸν τρίψας παραχέας τε, & post μελίκρητον additur ἐπιχέαι.

296 ἥμισυ ἡμικοτυλίου, τούτοισι διεὶς, δοῦναι πίνειν κὴ παύσεις τὴν ὀδύνην· διδόναι δ' ἑκάστης MS. cod.

297 τέως ἂν ἡ ὀδύνη παύσηται MS. cod.

298 Pro ὄροβον, in MS. cod. scribitur ὄβολον.

299 πίνειν νῆστιν MS. cod. & postea legitur διδόμενα τῆς ὀδύνης φάρμακα.

300 πινέτω δὲ κὴ γάλα αἴγειον MS. cod. quod sequimur, in vulgatis αἰγὸς legitur, pro αἴγειον.

301 τέως ἂν κριθῇ MS. cod.

302 Sic sane melius habet MS. cod. pro vulgatis ταύτῃσι γὰρ δηλοῦται. Paulo post προστίθηται MS. cod. quod probamus, pro vulgato πρόσισηται.

303 μέλι κὴ ὕδωρ, κὴ ὄξος, κὴ ἅλας scripsimus ex MS. cod. pro μέλι κὴ ὕδωρ, ὄξος, ἅλας.

304 ἐκπιεῖν δοῦναι· εἶτα ἐπιβαλὼν MS. cod. Deinde pro ἕως ἂν ἱδρώσῃ μάλιστα, in MS. cod. scribitur ὅκως ἂν ἱδρῷ μάλιστα

deinde vestibus injectis, donec maxime exudet, contectum sinito; quumque vomitus prehenderit, levi penna proritatus alacriter vomat: at si vomere nequeat, aquæ mulsæ tepidæ duarum heminarum poculo insuper epoto, sic vomat: & si quid bilis aut pituitæ evomuerit, rursus idem post horas quatuor faciendum, proderit enim. Post morbi autem judicationem, paucis cibis puris exhibitis curato: & si quidem panem edere consueverit, panem calidum & quam maxime purum edat: si vero mazam, (vino dulci) non subactam comedat, antea tamen subactam. Pro opsonio carnes catelli elixas habeat, aut columbi, aut pulli gallinacei, iisque omnibus elixis utatur: piscibus vero, galeo, torpedine, pastinaca, & parvulis batidibus, omnibus elixis. Lavet autem singulis diebus, frigus vitet, & parum obambulet, quoad in tuto sit. Hæc sane si observentur, haud metus est, rursus morbum reverti: hujusmodi enim morbus molestus est, ac diuturnus.

CAPUT XXX.

De hepatico morbo, seu hepatis erysipelate, aut phlegmone erysipelatosa, ejusque caussis, signis, & curatione.

Alius hepaticus morbus. Dolores quidem eodem modo ad hepar urgent; & color a priore differt, malicorio namque est similis. Oboritur autem potissimum morbus æstatis tempore: oritur vero a carnis bubulæ esu, & ebrietate: hæc enim omnia isto anni tempore jecori sunt infestissima, & bilem maxime ad hepar adducunt. His sane afficitur. Dolores acuti ingruunt, neque hora ulla deserunt, sed semper magis urgent. Interdum etiam bilem pallidam vomit; & ubi vomuerit, paulo meliuscule habere videtur: quod si non evomuerit, bilis ad oculos pervenit, & admodum pallidi fiunt, pedesque tument. Hæc interdum quidem vehementer, interdum vero levius patitur: quum autem dies præterierint, in quibus morbus judicatur, ac dolor factus sit mitior,

εἶτα περιβαλὼν ἱμάτια, ἐᾶν περιστείλας, ἕως ἂν ἱδρώσῃ μάλιστα· καὶ, ὁκόταν ἔμετος αὐτὸν ἔχῃ, ἐμεέτω προθύμως, καταματτευόμενος [305] πτερῷ· ἢν δὲ μὴ δύνηται ἐμέσαι, ἐπιπιὼν μελικρήτου χλιαροῦ κύλικα δικότυλον, οὕτως ἐμεέτω· καὶ, ἤν τι ἀπεμέσῃ χολῆς ἢ φλέγματος, αὖθις τὸ αὐτὸ χρὴ ποιέειν ἐπὶ τέσσαρας ὥρας· ὠφελήσει γάρ. Μετὰ δὲ τῆς νούσου τὴν κρίσιν, μελετῆν, [306] σιτία ὀλίγα διδοὺς καθαρά· κἢν μὲν ἄρτον φιλέῃ ἐσθίειν, ἄρτον θερμὸν ὡς μάλιστα καθαρὸν ἐσθιέτω· ἢν δὲ
86 μάζην, ἄτριπτον ἐσθιέτω, πρότερον προφυρήσας. Ὄψον δὲ ἐχέτω, κρέα σκυλακίου ἐφθὰ, ἢ πελειάδος, ἢ ἀλεκτορίδος νεοσσοῦ, [307] χρεέσθω δὲ ἐφθοῖσι πᾶσιν· ἰχθύων δὲ, γαλεῷ, νάρκῃ, τρυγόνι τε,
87 καὶ βατίσι τῇσι μικρῇσι, πᾶσιν ἐφθοῖσι. Λουέσθω δὲ καὶ ἡμέρης ἑκάστης, καὶ τὸ ψῦχος φυλασσέσθω, καὶ περιπατεέτω ὀλίγα, [308] τέως ἐν ἀσφαλείῃ ᾖ. Ταῦτα δὴ ἢν φυλάσσηται, [309] οὐχ ὑποτροπιάσαι τὴν νοῦσον δέος πάλιν· καὶ γὰρ ἡ τοιαύτη νοῦσος, χαλεπή ἐστι καὶ χρονίη.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τῆς ἡπατίτιδος νόσου, ἢ τοῦ ἥπατος ἐρυσιπέλατος, ἢ φλεγμονῆς ἐρυσιπελατώδους, καὶ τῶν ταύτης αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[310] Ἄλλη ἡπατῖτις. Αἱ μὲν ὀδύναι πιέζουσι κατὰ τὰ αὐτὰ ἐς τὸ ἧπαρ· καὶ
88 ἡ χροιὴ διαφέρει τῆς πρόσθεν, [311] σιδιοειδὴς γάρ ἐστιν. Ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἡ νοῦσος ἐμπίπτει· γίνεται δὲ ἀπὸ κρεωφαγίης βοείων κρεῶν, καὶ ἐξ οἰνοφλυγίης· [312] ταῦτα γὰρ πάντα τὴν τοιαύτην τοῦ ἔτεος ὥρην, πολεμιώτατα τῷ ἥπατι, καὶ χολὴν μάλιστα προσίστησι πρὸς τὸ ἧπαρ. Τάδε οὖν πάσχει. Ὀδύναι ὀξεῖαι ἐπιπίπτουσι, [313] καὶ οὐκ ἐκλείπουσιν οὐδεμίην ὥρην, ἀλλ' αἰεὶ μᾶλλον πιέζουσιν. Ἔστι δ' ὅτε καὶ ἐμέει χολὴν ὠχρήν· καὶ, ὁκόταν ἐμέσῃ, ἐπ' ὀλίγον δοκέει ῥάων εἶναι· ἢν δὲ μὴ ἀπεμέσῃ, ἐς τοὺς ὀφθαλμοὺς ἡ χολὴ καθίσταται, καὶ ὠχροὶ γίνονται σφόδρα, καὶ οἱ πόδες οἰδέουσι. Ταῦτα πάσχει, ποτὲ μὲν σφόδρα, ποτὲ δὲ ἧσσον· ὁκόταν δὲ αἱ ἡμέραι παρέλθωσιν, ἐν ᾗσι κρίνεται τὸ νούσημα, ὅ, τε πόνος [314] ἐλαττόνως ἔχῃ, ἢν

VARIÆ LECTIONES.

305 τῷ πτερῷ· ἢν δὲ μὴ ἔμετος ἔχῃ. MS. cod.
306 σιτία ὀλίγα διδοὺς ταῦτα δὲ καθαρά· καὶ ἢν μὲν ἄρτον ἐσθίειν, θερμὸν ὡς μάλιστα ἐσθιέτω MS. cod.
307 Lind. χρεέσθω δὲ ἐφθοῖσι πᾶσιν scribit, hancque lectionem adhibuimus ex MS. cod. in vulgatis exemplaribus χρεέσθω δὲ non adscribuntur.
308 ἕως ἐν ἀσφαλείῃ αὐτὰ MS. cod. habet.
309 In MS. cod. sic legitur: οὐχ ὑποτροπιάσει πάλιν ἡ νοῦσος· ἡ γὰρ νοῦσος χαλεπὴ καὶ χρονίη.
310 Pro epigraphe in MS. cod. scribitur ἄλλη ἧπατος. Deinde pro ἐς τὸ ἧπαρ, in cod. legitur κατὰ τὸ ἧπαρ.
311 σιδιοειδὴς, exponit Galen. in Exegesi, ὠχρὰς ὡς σίδιον, *pallidas velut corium.* Postea in MS. cod. legitur: τοῦ δ' ἔτεος, ὥρος μάλιστα ἡ νοῦσος ἐπιπίπτει, pro vulgatis ἐν δὲ τῷ καιρῷ τοῦ θέρεος μάλιστα ἡ νοῦσος ἐμπίπτει· γίνεται δὲ μάλιστα ἐκ κρεωφαγίης.
312 MS. cod. habet ταῦτα γὰρ πολεμιώτατα ταύτην ὥρην τῷ ἥπατι, καὶ χολὴ μάλιστα περιίσταται.
313 καὶ οὐκ ἐκλείπουσιν *neque deserunt* MS. cod. omissis οὐδεμίην ὥρην. Deinde dicitur ἀλλ' αἰεὶ μᾶλλον ἐμπίπτουσιν.
314 ἐλάσσων ἔχῃ ἀναμάρτητον MS. cod. scribit pro ἐλαττόνως ἔχῃ· ἢν ἀναμάρτητος ᾖ.

ἢν ἀναμάρτητος ᾖ· διαιτεῖσθαι χρὴ τοιαύτῃ διαίτῃ, ᾗ καὶ πρόσθεν· ἢν γὰρ μεθυσθῇ παρὰ καιρὸν, ἢ λαγνεύσῃ, ἢ ἄλλο τι ποιήσῃ μὴ ἐπιτήδειον· τὸ ἧπαρ παραχρῆμα [315] γίνεται σκληρὸν αὐτέῳ, καὶ οἰδέει, καὶ σφύζει ὑπὸ τῆς ὀδύνης, καὶ, ἤν τι σπεύσῃ, πονέει ἐξαπίνης τὸ ἧπαρ καὶ τὸ σῶμα ἅπαν. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ [316] καὶ αἱ πρῶται ἡμέραι παρέλθωσι, πυριῆσαι· εἶτα ὑποκαθῆραι τῷ σκαμμωνίῳ. Ἢν δὲ ἡ κοιλίη ξυγκεκαυμένη ᾖ, [317] κλύσαι τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρόσθεν, ὅ, τι ἄξει καλῶς· καὶ, μετὰ τὸν κλυσμὸν, ὀνείῳ γάλακτι ἑφθῷ ὑποκαθῆραι, ὀκτὼ κοτύλῃσι· μέλι δὲ παραχέων, διδόναι πίνειν. [318] Διδόναι δὲ καὶ τὸ αἴγειον γάλα, τρίτον μέρος μελικρήτου παραμίσγων τὸ ἑωθινὸν, τετρακότυλον κύλικα· διδόναι δὲ καὶ ἑφθοῦ τοῦ αἰγείου δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων, [319] ἢ αὐτὸ μόνον μέλι παραχέων· διδόναι δὲ καὶ τὸ ἵππειον γάλα τὸν αὐτὸν τρόπον τῷ ὀνείῳ. Κἢν μὲν ὑπὸ τούτων μελετωμένη ἡ νοῦσος ἐξέλθῃ, ἅλις· ἢν δὲ μὴ, τάμνειν τοῦ δεξιοῦ ἀγκῶνος τὴν εἴσω φλέβα, καὶ ἀφιέναι τοῦ αἵματος. Ἢν δέ σοι μὴ δοκέῃ, ὀνείῳ γά-
89 λακτι ὑποκαθῆραι [320] ἢ βοείου γάλακτος ὠμοῦ διδόναι δύο κοτύλας, τρίτον μελικρήτου παραμίσγων ἑκάστης ἡμέρης, [321] ἐπὶ ἡμέρας δέκα· εἶτα ἄλλας δώδεκα, ἕκτον μέρος τοῦ μελικρήτου παραχέων, πίνειν διδόναι· τὸ δὲ γάλα αὐτὸ τὸ λοιπὸν διδόναι, ἕως ἂν ἀναπιανθῇ, δύο κοτύλας. Ἢν δὲ μηδὲ οὕτω παύηται, καῦσαι χρὴ, ὁκόταν μέγιστον [322] τὸ ἧπαρ γένηται, καὶ ἐξεστήκῃ μάλιστα· καῦσαι δὲ ἐν πυξίνοισιν ἀτράκτοισι, βάπτων ἐς ἔλαιον ζέον, προςιθέναι δὲ, ἕως ἂν σοι δοκέῃ καλῶς ἔχειν, καὶ κεκαῦσθαι· ἢ μύκησιν ὀκτὼ ἐσχάρας καῦσαι. Ἢν γὰρ τύχῃς καύσας, ὑγιέα ποιήσεις, [323] καὶ τὸν λοιπὸν χρόνον ῥᾷον διάξει· ἢν δὲ μὴ τύχῃ καυθεὶς, ὑπὸ τῶν
203 ἄλλων λοιπὸν ὑγιὴς μὴ γενόμενος, φθειρόμενος ἀποθνήσκει.

si nihil peccatum fuerit; eandem quam prius, victus rationem instituere oportet: nam si intempestive inebriatus fuerit, aut venere usus sit, aut quid aliud minime commodum fecerit; ipsi confestim hepar durum evadit, & tumet, & præ dolore pulsat; ac siqua in re festinarit, derepente hepar, totumque corpus dolet. Huic, quum sic habuerit, primique dies præterierint, fomentum admoveto; deinde scammonio subpurgato. Quod si venter incensus fuerit, clystere proluendus, qui probe ducat, ex iisdem, quibus & in prioribus usus es: ac post clysterem lacte asinino cocto ad heminas octo subpurga; melle autem affuso propina. Lactis etiam caprini poculum quatuor heminarum mensura, aquæ mulsæ triente commixto, mane exhibeto: lactis quoque caprini cocti heminas duas dato, aquæ mulsæ tertia parte admixta, aut solo melle affuso: lac etiam equinum eodem, quo asininum, modo exhibeto. Quod si his curatus morbus cesserit, satis est: sin minus, internam dextri cubiti venam secato, & sanguinem emittito. Si vero id tibi visum non fuerit, lacte asinino aut bubuli lactis crudi heminas duas, tertia mulsæ parte admixta, singulis diebus ad dies decem dato; deinde aliis duodecim diebus, aquæ mulsæ sextante affuso, potui exhibeto. De cætero vero, lac ipsum ad duas heminas, donec pinguior evaserit, exhibendum. At si neque sic sedetur, quum hepar maximum fuerit, maximeque prominuerit, inurere oportet: ure autem buxeis fusis oleo fervente intinctis, eosque donec recte habuerit, ustioque perfecta fuerit, admoveto: aut fungis candelarum octo crustas inurito. Si enim ustio successerit, sanum reddes, ac reliquo tempore facilius deget: at si ustio minime successerit, de cætero per alia remedia non convalescens, contabescit & moritur.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ τῆς τρίτης ἠπατίτιδος ἐκ χολῆς ἀπὸ τοῦ ἥπατος ἐς τὸν ἐγκέφαλον μεταστάσεως, καὶ τῶν αὐτῆς σημείων καὶ τῶν θεραπευτικῶν.

[324] Ἠπατῖτις ἄλλη. Τὰ μὲν ἄλλα πλῆθος τὰ αὐτὰ πάσχει τοῖσι πρόσθεν·

CAPUT XXXI.

De tertia hepatitide ex bilis translatione ab hepate ad cerebrum, ejusque signis, & curatione.

Alia hepatitis. Cætera quidem multitudine eadem, quæ prioribus, contingunt; co-

Variæ Lectiones.

315 *γίνεται αὐτοῦ σκληρὸν* MS. cod. pro *γίνεται σκληρὸν αὐτέῳ*.

316 Pro *καὶ αἱ πρῶται*, in MS. cod. scribitur *ὁκόταν αἱ πρῶται*, & pro *τῷ σκαμμωνίῳ*, legitur *τῇ σκαμμωνίῃ* eodem significatu.

317 Sic MS. cod. quæ lectio melior vulgata, *κλύσαι ἐν τοῖσιν αὐτοῖσιν*, Martinus quoque *ἐν* delet, idque recte.

318 *διδόναι δὲ καὶ τὸ αἴγειον* MS. cod. & omittitur *γάλα*.

319 *ἢ αὐτὸ μόνον μέλι παραχέων* non leguntur in MS. cod. nempe: *aut solo melle affuso*.

320 Sic MS. cod. Imp. Samb. quam lectionem sequitur Lindenus, pro vulgatis *ἢ βοείῳ, καὶ γάλακτος*.

321 MS. cod. habet; *ἐφ' ἡμέρας δέκα· εἶτα ἄλλας δέκα τοῦ μελικρήτου παραμίσγων πίνειν διδόναι· τὸ δὲ λοιπὸν αὐτὸ τὸ γάλα· ἕως ἂν πιανθῇ*.

322 *τὸ ἧπαρ ᾖ* MS. cod. pro *τὸ ἧπαρ γένηται*. Paulo post *κεκαῦσθαι* Servin. habet pro *καῦσαι*.

323 *καὶ τὸν λοιπὸν τοῦ χρόνου* scribitur in MS. cod.

324 Pro epigraphe in MS. cod. scribitur *ἄλλη ἧπατος*. Paulo post pro *τοῖσι* ex MS. cod. scripsimus *τοῖσι*.

color vero niger eſt. Bilis autem hepatis, pituita & ſanguine referta, velut ratiocinamur, erumpit; quumque eruperit, citiſſime inſanit, indignatur, & ſtulta loquitur, & ut canis latrat; & hujus ungues puniceo ſunt colore; oculis cernere non poteſt; pili capitis erecti ſtant; & febris acuta invadit. Huic eadem, quæ prioribus, adhibere oportet; plerique vero intra undecim dies moriuntur; paucique evadunt.

ἡ δὲ χροιὴ μέλαινα. Τῦ δὲ ἥπατος ἡ χολὴ, φλέ-
γματος, καὶ αἵματος πλησθεῖσα, ὡς λογιζόμε-
θα, διαῤῥήγνυται· [325] καὶ, ὁκόταν διαῤῥαγῇ, τά-
χιςα μαίνεται, καὶ ἀγανακτεῖ, καὶ διαλέγεται ἀ-
90 σύνετα, καὶ ὑλακτέει ὡς κύων· [326] καὶ οἱ ὄνυχες
φοινίκεοί εἰσιν αὐτοῦ· καὶ τοῖσιν ὀφθαλμοῖσιν
[327] οὐ δύναται ὁρῇν· καὶ τρίχες αἱ ἐν τῇ κεφαλῇ
ὀρθαὶ ἵςανται· καὶ πυρετὸς ὀξὺς ἐπιλαμβάνει.
Τούτῳ χρὴ προσφέρειν τὰ αὐτὰ, ἃ καὶ τοῖσι
πρόσθεν· οἱ δὲ πολλοὶ ἀποθνήσκουσιν ἐν τῇσιν
ἕνδεκα ἡμέρῃσι· [328] παῦροι δὲ διαφυγγάνουσιν.

CAPUT XXXII.

De primo lienis morbo, ſeu lienis intemperie calida cum bile, aut phlegmone eryſipelatoſa; ejusque ſymptomatis, ſignis, & curatione.

Lienis morbus primus. Gignitur autem ejusmodi morbus, bile ſolis calore commota, quum bilem ad ſe lien traxerit. Hæc igitur patitur. Febris acuta per initia ſuccedit; progrediente vero morbo remittit, præterquam circa lienem ipſum; ſemper autem hic calor perſtat; dolorque acutus per intervalla tum in ilia tum in ventrem incidit. Cibos autem per exordia quidem admittit, non autem admodum ſecedunt: procedente vero morbo, color pallidus evadit, dolor vehemens ingruit, & claviculæ extenuantur, neque cibos, velut per initia, facile admittit, & paucis impletur. Lien autem interdum eodem die magnus, & interdum minor evadit. Huic, quum ſic habuerit, veratrum bibendum dato, tuncque grano cnidio ſubter purgato: poſt purgationem autem veſperi lenticulæ acidioris heminam ſorbendam exhibeto, & betarum mollium heminam, polenta inſperſa. Poſtero vero & tertio die, parvum panem dato; pro opſonio, lenticula utatur; & carne ſuilla contuſa cum lenticula cocta: vinum auſterum, nigrum, paulo meracius bibat; & per hosce dies quietem agat; tamen intus in umbra paululum obambulet.

ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

Περὶ τῆς πρώτης τοῦ σπληνὸς νόσου, ἢ περὶ τῆς τοῦ σπληνὸς δυσκρασίας θερμῆς μετὰ χολῆς, ἢ περὶ φλεγμονῆς ἐρυσιπελατώδους· καὶ τῶν αὐτῆς συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[329] Σπληνὸς νοῦσος πρώτη. Γίνεται δὲ ἡ
τοιαύτη νοῦσος, διὰ θερμασίην τοῦ
ἡλίου χολῆς κινηθείσης, ὁκόταν ἑλκύσῃ ἐφ'
ἑωϋτὸν χολὴν ὁ σπλήν. Τάδε οὖν πάσχει.
Πυρετὸς ὀξὺς ἐπιγίνεται κατ' ἀρχάς· προϊού-
σης δὲ τῆς νούσου ἀφίησι, πλὴν κατ' αὐτὸν
τὸν σπλῆνα· ταύτῃ δὲ αἰεὶ θέρμη ἔχει· καὶ
ὀδύνη ἄλλοτε καὶ ἄλλοτε ἐμπίπτει ὀξείη, καὶ
91 ἐς τὴν λαπάρην, καὶ ἐς τὴν κοιλίην. Τὰ
δὲ σιτία κατ' ἀρχὰς [330] προσίεται μὲν, δια-
χωρέει δὲ οὐ μάλα· προϊούσης δὲ τῆς νούσου,
ἥτε χροιὴ ὠχρὴ γίνεται, καὶ ὀδύνη ἰσχυρὴ
92 ἐμπίπτει, καὶ αἱ κληῖδες λεπτύνονται, καὶ
τὰ σιτία [331] οὐχ ἀμαλῶς προσίεται, ὥσπερ
κατ' ἀρχὰς, καὶ ἀπ' ὀλίγου πίμπλαται. Ὁ
δὲ σπλὴν μέγας ἄλλοτε τῆς αὐτῆς ἡμέρης,
καὶ ἄλλοτε ἐλάσσων γίνεται. Τοῦτον, ὁκόταν
οὕτως ἔχῃ, πίσαι ἐλλέβορον, [332] καὶ τῷ δ' ὑπο-
καθῆραι κνιδίῳ κόκκῳ· ἐς ἑσπέρην δὲ με-
93 τὰ τὴν κάθαρσιν, φακῆς δοῦναι [333] τρυβλίον
ῥοφέειν ὀξυτέρης, καὶ τευτλίων τρυβλίον λα-
παρῶν, ἄλφιτα παραπάσας. Τῇ δ' ὑςεραίῃ
καὶ τῇ τρίτῃ, ἄρτον μικρὸν δοῦναι· ὄψῳ δὲ
φακῇ χρεέσθω· καὶ ὑὸς κρέας ἐν τῇ φακῇ
ἑφθὸν τετριμμένον· οἶνον δὲ πινέτω αὐςη-
ρὸν, μέλανα, ἀκρητέςερον κατ' ὀλίγον·
καὶ ἡσυχίην ἐχέτω ταύτας τὰς ἡμέρας·
πλὴν ἔνδον ὀλίγα [334] περιπατεέτω ἐν σκιῇ.
Τὸν

Variæ Lectiones.

325 καὶ ὁκόταν διαῤῥηχθῇ vulgati codices, pro quo καὶ ὁκόταν διαῤῥαγῇ ex MS. cod. ſcripſimus, quæ lectio in Imp. Samb. Fevr. & Linden. adſcribitur.

326 Sic MS. cod. & Chart. ex MS. Reg. inſerto articulo αὐτοῦ, *hujus*.

327 οὐ δύναται ὁρῇν MS. cod.

328 παῦροι δ' ἐκφυγγάνουσιν habet MS. cod.

329 Σπληνὸς ἡ πρώτη pro epigraphe habet MS. cod. & dicitur: γίνεται δὲ διὰ θερμασίην, interjectis omiſſis, ἡ τοιαύτη νοῦσος, *ejusmodi morbus*, ut ſit: *gignitur bile ſolis calore commota*.

330 Sic MS. cod. ſcribit, & hanc lectionem ſecuti ſunt interpretes, pro προΐεται, *abjicit*, *recuſat*.

331 οὐχ ἀμαλῶς προσίεται MS. cod. pro οὐχ ὁμοίως προΐεται. Nos priorem lectionem prætulimus, & ſic viſus eſt Galen. legiſſe in Exegeſi voce ἀμαλῶς. Paulo poſt ὁ δὲ σπλὴν ἄλλοτε καὶ ἄλλοτε legunt vulgati codd. ſed MS. cod. lectionem, utpote meliorem ſequimur.

332 κάτω hoc in loco habent omnia exemplaria, pro quo ἄνω Martin. reponit, quia ex Aph. 4. Libr. IV. teſtatur purgandum ἄνω, & deorſum grano Cnidio. In MS. cod. καὶ τῷ δ' ὑποκαθῆραι κνιδίῳ κόκκῳ legitur, idque melius.

333 τρία τρυβλία legiſſe videtur Calvus, Martin. & MS. cod. pro λιπαρῶν *pingium*, legunt λαπαρῶν *mollium*; quam lectionem ſecuti ſumus. Mox ῥοφέειν deeſt in MS. cod. & poſtea παραπάσας dicitur pro vulgato παρεμπάσας.

334 περιπατεέτω ἐν τῇ σκιῇ omnia exemplaria, in MS. cod. deeſt τῇ, ut & in Imp. Samb. & Fevr. quæ lectio arridet Lindeno.

Τὸν δὲ λοιπὸν χρόνον τάδε χρὴ προσφέρε-
σθαι· σιτίον μὲν, ἄρτον αὐτοπυρίτην· ὄψον
δὲ ἐχέτω, κρέας κυνὸς μέζονος, ἢ αἰγὸς,
[335] ἢ οἰὸς τετριμμένον, καὶ τάριχος Γαδει-
ρικὸν, ἢ σαπέρδην, καὶ τὰ ὀξέα, καὶ τὰ
ἁλμυρὰ πάντα προσφερέσθω, καὶ τὰ στρυ-
φνά: πινέτω δὲ οἶνον Κῷον ὑπόστρυφνον ὡς
μελάντατον. τῶν δὲ γλυκέων καὶ λιπαρῶν
ἀπεχέσθω, καὶ κνισσωδέων· καὶ σίλφιον μὴ
25 προσφερέσθω, [336] μηδὲ σκόροδα, μηδὲ κρέας
χοίρειον, μηδὲ κεστρέα, μηδὲ νεαρὸν, μη- 94
δὲ τάριχος, μήτε ἔγχελυν, μήτε λάχανον
[337] μηδὲ ἑφθὸν ἄνευ ὄξους. Τρωξίμων δὲ,
ῥαφανίδι χρεέσθω, καὶ σελίνῳ, καὶ ἐς ὄξος
βάπτων, [338] καὶ οἴνῳ ἄλφιτα φυρῶν ἐσθιέτω·
καὶ τοῦ οἴνου ῥοφεέτω ἄκρητον; ἢν δὲ βούλη-
ται, καὶ τὸν ἄρτον ἐς τὸν οἶνον ἐνθρυπτόμε-
νος, ἐσθιέτω θερμόν· διδόναι δὲ καὶ ἰχθύων,
σκορπίον, δράκοντα, κόκκυγα, κωβιὸν, καλ-
λιώνυμον, τούτους ἑφθοὺς [339] καὶ ψυχρούς.
30 Διδόναι δὲ καὶ ἃ μέλλει τὸν σπλῆνα λε-
πτύνειν, ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρ-
ποῦ, ἢ ἰξοῦ τὰ φύλλα, [340] ἢ αἰγοκέρας, 95
ἢ ἄγνου καρπὸν, ἢ πήγανον, ἢ ἡδυόσμου ῥί-
ζην· τούτων τρίβων ὅ, τι ἂν βούλῃ, διδό- 96
ναι [341] ἐν οἴνου κοτύλῃ αὐστηροῦ, νήστει. Ἢν
δὲ δυνατὸς ᾖ, ἀναγκάζειν αὐτὸν ποιεῖν ξύλα
τριήκοντα ἡμέρας· καὶ ἀπ᾽ ἄκρων τῶν ὤμων
παλαιέτω· καὶ περιπατεέτω δι᾽ ἡμέρης· καὶ
ὄψιος εὑδεέτω, πρωΐος δὲ ἐγειρέσθω· [342] καὶ
εὐωχεέσθω, ἃ προείρηται. Ἢν δὲ μὴ ὑπὸ
τούτων ῥηΐσῃ, καῦσαι τὸν σπλῆνα μύκησι,
35 [343] δέκα ἐσχάρας μεγάλας, ὁκόταν μέγι-
στος ᾖ ὁ σπλὴν, καὶ ἐξηρμένος μάλιστα: ἢν
γὰρ τύχῃς καύσας [344] ὡς δεῖ, ὑγιέα ποιή-
σεις ἐν τάχει. Ἡ δὲ νοῦσος δέεται θερα-
πηΐης· χαλεπὴ γὰρ καὶ χρόνιος· ἢν μὴ πα-
ραχρῆμα μελετηθῇ.

Reliquo vero tempore hæc exhibere oportet; in cibo quidem panem cibarium; pro opsonio carnem canis majusculi, aut capræ, aut oviculæ tusam habeat, & salsamentum Gaditanum, aut saperdam, acidaque & salsa omnia, acerbaque exhibeantur: vinum Coum, subastringens, quam nigerrimum bibat; dulcibus, pinguibus, & nidorosis abstineat; silphium minime exhibeatur, neque allia, neque caro porcina, neque mugil, neque recens, neque sale conditus, neque anguilla, neque olus ullum coctum sine aceto. Ex crudis eduliis, radicula & apio aceto intinctis utatur, polentam edat vino subactam; & vinum meracum sorbeat: quod si velit, panem etiam in vino intritum, calidum comedat: ex piscibus vero scorpium, draconem, cuculum, gobium, callionymum, eosque elixos & frigidos exhibeto. Dato etiam singulis diebus, quæ lienem attenuare valent, asphodeli semen, aut visci folia, aut fœnum græcum, aut viticis semen, aut rutam, aut menthæ radicem: ex his quod volueris, tritum, in vini austeri hemina, jejuno exhibeto. Quod si validus fuerit, triginta diebus ipsum ligna secare cogito: summis quoque humeris luctetur, interdiu obambulet; vesperi dormiat, mane vero surgat; & quæ dicta sunt, his vescatur. At si ne his quidem meliuscule habeat; lienem candelarum fungis, quum maximus lien & sublatus maxime fuerit, decem magnis crustis inurito: si enim, ut decet, ustio successerit, sanum reddes in brevi. Hic autem morbus curatione indiget: gravis enim est & diuturnus; nisi confestim curatio adhibita fuerit.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ τῆς δευτέρας τοῦ σπληνὸς νόσου, ἢ τῆς σπληνὸς σκιῤῥώδους φλεγμονῆς, καὶ τῶν ταύτης συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[345] ΑΛλη νοῦσος σπληνός. Γίνεται μὲν ἀπὸ τῶν αὐτῶν, ἀφ᾽ ὧν καὶ ἡ πρόσθεν·

CAPUT XXXIII.

De secundo lienis morbo, aut lienis phlegmone scirrhosa, ac ejus symptomatis, signis, & curatione.

ALius lienis morbus. Ab iisdem quidem, a quibus & prior, oritur: his

VARIÆ LECTIONES.

335 Post ἢ οἰὸς in MS. cod. additur ἢ ὑὸς, aut *suilla*.
336 Pro μηδὲ σκόροδα, μηδὲ κρέας χοίρειον, μηδὲ κεστρέα, μηδὲ νεαρὸν, μηδὲ τάριχος, in MS. cod. scribitur μηδὲ κρέας ὕειον, μηδὲ κεστρέα, μηδὲ ταρίχηρον, μηδὲ νεαρόν.
337 μηδὲ ἑφθὸν editi codd. in MS. cod. ἑφθὸν deest, ut sit: *neque olus ullum sine aceto*.
338 καὶ ἐν οἴνῳ ἄλφιτα φυρῶν ἐσθίειν MS. cod. habet.
339 καὶ ψυχροὺς διδόναι omnia exemplaria vulgata; verum διδόναι abest in MS. cod. & melius omittitur. Deinde legitur τὸν σπλῆνα ἰσχναίνειν, ἑκάστης ἡμέρης, ἀσφοδέλου τοῦ καρποῦ ἢ κίσσου, *asphodeli semen aut hederæ folia*.
340 ἢ αἰγοκέρας MS. cod. quam lectionem sequimur pro vulgatis ἢ αἰγὸς κέρας. Cæterum αἰγοκέρας Galeno exponitur ὅπερ βουκέρας καὶ τῆλις, *quod & fœnum græcum*. Fœni græci autem farinam cum aceto & nitro tritam lienem minuere scribit Dioscorid. Libr. II. cap. 124. Deinde pro ἡδυόσμου, in MS. cod. legitur διδυμαίου. Galenus in Exegesi διδύμη exponit ῥίζαν τῆς βοτάνης, ἥτις καὶ ὄρχις ὀνομάζεται, *radix herbæ, quæ & orchis nominatur*, quod gemina sit radice, bulbosa, duplici, & testiculis simili; unde etiam διδύμιος dicitur Hesych. qui διδυμίου ῥίζαν βοτάνης εἶδος exponit, additque orchin eo nomine appellari.
341 Sic scripsimus ex MS. cod. quæ lectio adnotatur in MSS. Reg. Imp. Samb. Fevr. & prætulit Linden. pro vulgatis ἐν οἴνῳ αὐστηρῷ, *ex vino austero*.
342 In MS. cod. scribitur καὶ εὐωχείσθω τὰ προειρημένα.
343 δέκα ἐσχάρας μεγάλας, in MS cod. non adscribitur μεγάλας.
344 ὡς δεῖ, *ut decet* non habetur in MS. cod. Deinde dicitur ὑγιέα ποιήσεις ἐν τάχει, *sanum reddes in brevi*, quæ lectio probatur. Vulgati codd. ὑγιέα ποιήσεις, πλὴν οὐκ ἐν τάχει, *sanum reddes, non tamen brevi*.
345 Ἄλλη σπληνὸς pro epigraphe scribit MS. cod. omisso νοῦσος. Paulo post pro πάχει οὖν ex cod. scripsimus πάχει δὲ, id quod melius.

his vero ab hoc morbo afficitur: venter inflatur; postea vero lien tumet, durus est, & dolores acuti in lienem incidunt: color autem immutatur, & niger videtur, suppallidus malicorii instar; ex aure male olet; & gingivæ male olent, eæque a dentibus decedunt; & in tibiis ulcera, qualia pustulæ nocturnæ, erumpunt; membra extenuantur; neque stercus per alvum dejicitur. Hunc, quum ita habuerit, iisdem medicamentis, ac eduliis, & potu, exercitationeque, ac reliquis omnibus curato; quumque fæces non dejiciuntur, his alvum subluito: mellis heminæ dimidium, & nitri Ægyptii ovilli tali quantitatem, hæc ex betarum coctarum aqua ad quatuor heminas terito & diluito; deinde hoc infuso subluito. Quod si his morbus non sedetur, ejus lienem velut prioris, inurito; &, si ustio successerit, sanum efficies.

CAPUT XXXIV.

De tertio lienis morbo, aut inflammatione a peculiari plethora, ejusque symptomatis, signis, & curatione.

ALius lienis morbus. Quavis quidem anni tempestate; sed maxime verna, atque a sanguine oritur. Quum enim sanguine lien repletus fuerit, in ventrem erumpit; & in lienem dolores acuti, in mammam, jugulum, humerum, & sub scapulam irruunt: color autem corporis plumbeus, leves cutis lacerationes in tibiis habet, & ex iis magna ulcera oriuntur. Et quæ primum per inferiora secedunt, cruenta sunt, & æruginosa; venter durus subit, & lien tanquam lapis est. Hic morbus superioribus magis lethalis est; ex eoque pauci evadunt. Hunc, quum ita affectus fuerit, iisdem quibus priorem curato, sed medicamentum sursum purgans ne dederis: deorsum vero cocco Cnidio

πάσχει δὲ ὑπὸ τούτου τοῦ νοσήματος, τάδε· [346] ἡ γαστὴρ φυσᾶται· μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει, καὶ σκληρός ἐστι, καὶ ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν ἐς τὸν σπλῆνα· ἡ δὲ χροιὴ τρέ-
97 πεται, καὶ ὁρᾶται μέλας, ὕπωχρος σιδιοειδής· καὶ ἐκ τοῦ ὠτὸς κακὸν ὄζει· [347] καὶ τὰ οὖλα κακὸν ὄζει, καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται· καὶ ἐκ τῶν κνημέων ἕλκεα ἐκρήγνυται, ὁκοῖά περ ἐπινυκτίδες: τὰ δὲ γυῖα λεπτύνεται· [348] καὶ ἡ κόπρος οὐχ ὑποχωρέει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, μελετῆν τοῖσιν αὐτοῖσι φαρμάκοισι καὶ ἐδέσμασι, καὶ ποτῷ, καὶ ταλαιπωρίῃσι, καὶ τοῖσιν ἄλλοισι πᾶσι, [349] καὶ ὑποκλύζειν· ὁκόταν μὴ θέλῃ ἡ κόπρος διαχωρέειν, ἐν τούτοισι μέλιτος ἡμικοτύλιον, καὶ νίτρου Αἰγυπτίου ὁκόσον ἀστράγαλον οἰὸς, ταῦτα τρίψας διεῖναι ἀπὸ τεύτλων ἑφθῶν ὕδατι, τέσσαρσι κοτύλῃσιν· εἶτα οὕτω κλύζειν. Ἢν δὲ μὴ ὑπὸ τούτων ἡ νοῦσος καθίσηται, καῦσαι [350] αὐτοῦ τὸν σπλῆνα, ὡς τὸν πρόσθεν· καὶ, ἢν τύχῃς καύσας, ὑγιέα ποιήσεις.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῆς τρίτης τοῦ σπληνὸς νόσου, ἢ τῆς φλεγμονῆς τῆς ἀπὸ τῆς ἰδίας πληθώρας γινομένης, καὶ τῶν αὐτῆς συμπτωμάτων, καὶ σημείων, καὶ θεραπευτικῶν.

[351] ΑΛλη νοῦσος σπληνός. Γίνεται μὲν τοῦ ἔτεος· ἔαρος ὥρῃ μάλιστα, ἀπὸ δὲ αἵματος. Ὁκόταν γὰρ ἐμπλησθῇ ὁ σπλὴν αἵματος, ἐκρήγνυται ἐς τὴν κοιλίην· καὶ ὀδύναι ὀ-
ξεῖαι ἐς τὸν σπλῆνα ἐμπίπτουσι, καὶ ἐς τὸν 204
τιτθὸν, καὶ ἐς τὴν κληῗδα, καὶ ἐς τὸν ὦμον, καὶ ὑπὸ τὴν ὠμοπλάτην· [352] ἡ δὲ χροιὴ τοῦ γυίου, μολιβδοειδὴς, καὶ ἀμυχὰς ἐν τῇσι κνήμῃσι λαμβάνει, καὶ ἕλκεα μεγάλα γίνεται ἐξ αὐ-
98 τέων. Καὶ τὰ κάτω ὑποχωρέοντα ἅμα [353] τῷ
99 πρώτῳ, αἱματώδεα καὶ ἰώδεα· καὶ [354] ὑπέρχεται ἡ γαστὴρ σκληρὴ, καὶ ὁ σπλὴν καθάπερ λίθος ἐστίν. Οὗτος τῶν πρόσθεν θανατωδέστερος, καὶ ἐξ αὐτέου παῦροι διαφυγγάνουσι. Τοῦτον, [355] ὁκόταν ὧδε ἔχῃ, τοῖσιν αὐτοῖσι θεράπευε, οἷσι καὶ τὸν ἔμπροσθεν, πλὴν ἄνω φάρμακον μὴ δῷς· [356] κάτω δὲ, τοῦ κόκκου τοῦ κνιδίου δοῦ-

VARIÆ LECTIONES.

346 Pro ἡ γαστὴρ φυσᾶται, μετὰ δὲ καὶ ὁ σπλὴν οἰδέει, legitur in MS. cod. ἡ γαστὴρ φυσᾶται μεγάλη· καὶ ὁ σπλὴν οἰδέει, hoc est: *venter magnus inflatur, & lien tumet.* Paulo post ἔπωχρος habent editi Codd. sed ὕπωχρος legendum existimo.

347 καὶ τὰ οὖλα κακὸν ὄζει, καὶ τὰ ἀπὸ τῶν ὀδόντων ἀφίσταται, vulgati codd. MS. cod. vero καὶ τὰ οὖλα ἀφίσταται ἀπὸ τῶν ὀδόντων, καὶ κακὸν ὄζει, *& gingivæ a dentibus decedunt, & male olent.*

348 MS. cod. καὶ ἡ κόπρος οὐ διαχωρέει, *& stercus non dejicitur.*

349 Sic MS. cod. Imp. Samb. & Fevr. quam lectionem amplectitur Lindenus pro vulgato καὶ κλύζειν.

350 αὐτὸν, pro αὐτοῦ, scribit MS. cod.

351 ἄλλη σπληνὸς pro epigraphe habet MS. cod. omisso νοῦσος. Deinde legitur: γίνεται μὲν τοῦ ἔτεος, θέρεος ὥρῃ μάλιστα, ἡ δὲ νοῦσος γίνεται ἀπὸ αἵματος. Ὁκόταν ὁ σπλὴν ἐμπλησθῇ αἵματος.

352 ἡ δὲ χροιὴ τούτου MS. cod. pro ἡ δὲ χροιὴ τοῦ γυίου.

353 τῷ πρώτῳ omnia vulgata exemplaria scribunt. Mercurialis vero τῷ κόπρῳ legere mavult, videlicet & quæ simul cum *stercore* secedunt; nam vox illa (inquit) τῷ πρώτῳ, facile corrupta fuit, Mercurialis emendat ex hac τῷ κόπρῳ Hippocrati familiarissima. Foës. vero τῷ πρώτῳ ferri posse putat, subintellecta voce κόπρῳ, quam Lindenus in textum intulit. In MS. cod. longe aliter legitur hæc sententia, quæ ita est: τὰ πρωὶ αἱματώδεα καὶ οἰνώδεα ὑπέρχεται· ἡ δὲ γαστὴρ σκληρή· hoc est; *& quæ mane per inferiora secedunt, cruenta sunt, & vinosa; venter vero durus* subit: *vinosa* vero fortasse hoc sensu, ut vini rubri fæcibus, ea, quæ secedunt, similia sint; dixerat enim ante *cruenta*, quæ sane vox melius convenit cum colore earum fæcum, quam cum æruginis colore.

354 Proponit Foës. ὑπέρεχεσθαι, pro ὑπέρχεται, hoc sensu, ut venter durus emineat, & extet, ut lienosis accidit.

355 ὁκόταν οὕτως ἔχῃ τοῖσιν αὐτέοισιν· οἷσι καὶ τοὺς πρόσθεν ἰῆσθαι MS. cod. pro ὁκόταν ὧδε ἔχῃ τοῖσιν αὐτοῖσι θεράπευε, οἷσι καὶ τὸν ἔμπροσθεν.

356 τοῦ κνιδίου κόκκου δοῦναι· τῇ δ' ὑστεραίῃ ὀνείου ἢ ἱππείου γάλακτος δοῦναι ἑφθοῦ MS. cod.

δοῦναι· τῇ ὑςεραίῃ καὶ ἱππείου γάλακτος ἑφθοῦ ὀκτὼ κοτύλας, μέλι παραχέων· εἰ δὲ μὴ, βοείῳ ἢ αἰγείῳ ἑφθῷ, δύο χοεῦσι, [357] μέλι παραχέων παρὰ τὴν ἑτέρην κύλικα, ἐναλλὰξ δὲ πίνειν χρή. Ἐς δὲ τὴν ἑσπέρην διδόναι μετὰ τὴν κάθαρσιν [358] ταυτὰ, ἃ καὶ τῷ πρόσθεν, μετὰ τὸ φάρμακον· καὶ, ἢν δοκέῃ, τοῦ αἵματος ἀφελεῖν ἀπὸ τοῦ ἀγκῶνος τοῦ ἀριςεροῦ τῆς εἴσω φλεβός. Τὰς δὲ λοιπὰς τῶν ἡμερέων διδόναι νήςει ἑκάςης ἡμέρης βοείου γάλακτος τέσσαρας κοτύλας, τρίτον μέρος ἅλμης παραμίσγων. Σιτίοισι δὲ, καὶ ποτοῖσι, καὶ τοῖσι ἄλλοισι, τοῖσιν αὐτοῖσι θεραπεύειν, [359] οἷσι καὶ τὸν πρόσθεν· ἀπέχε- 100 σθαι δὲ λαγνείης καὶ οἰνοφλυγίης, καὶ τοῦτον, 101 καὶ τοὺς πρόσθεν. Καὶ, ἢν σοι δοκέῃ, καὶ καῦσαι [360] ὁκόταν παχύτατος, καὶ μέγιςος ὁ σπλὴν γένηται. Καὶ, ἢν τύχῃς [361] καύσας τοῦ καιροῦ, ὑγιέα ποιήσεις· ἢν δὲ μὴ ὑπὸ ταύτης τῆς ἰήσεως ὑγιὴς γένηται, φθειρόμενος χρόνῳ θνήσκει· ἡ γὰρ νοῦσος λίην ἐςὶ χαλεπή.

purgato: postero die quoque lactis equini cocti heminas octo, melle affuso (exhibeto:) sin minus, lacti bubulo aut caprino cocto ad duos congios, melle in altero poculo affuso, & alternatim bibere oportet. Sub vesperum vero post purgationem eadem, quæ priori, exhibeto post medicamentum; sique visum fuerit, sanguinem ex interiore sinistri cubiti vena detrahito. Per reliquos autem dies jejuno singulis diebus lactis bubuli quatuor heminas, tertia muriæ parte admixta, exhibeto. Cibis autem, potibus, & reliquis aliis, iisdem, quibus priorem, curato: tum hic, tum superiores, venere & vinolentia abstineant. Quod, si tibi visum fuerit, etiam cum crassissimus & maximus lien evaserit, inurito. Et, si opportune ustio successerit, sanum efficies: at si sub hac curatione non convalescat, tempore contabescens moritur; nam admodum gravis est morbus.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τῆς τετάρτης τοῦ σπληνὸς νόσου, ἢ τοῦ οἰδήματος τοῦ ἀπὸ τοῦ φλέγματος γενομένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν.

[362] Ἄλλη νοῦσος σπληνός. Προσπίπτει καὶ αὕτη ἡ νοῦσος ἔαρος μάλιςα, ὁκόταν φλέγμα ἀναλάβῃ ὁ σπλὴν ἐς ἑωυτὸν, καὶ μέγας παραχρῆμα γένηται καὶ σκληρός· εἶτ' αὖθις καθίςαται. Καὶ, ὁκόταν μὲν [363] ἐξηρ- 102 μένος ᾖ, ὀδύναι ὀξεῖαι ἐμπίπτουσιν· ὁκόταν δὲ λαπαρὸς ᾖ, ἀνώδυνός ἐςι [364] καὶ, ὁκόταν χρόνος γένηται τῇ νούσῳ, ἀμαυροτέρη δοκέει, καὶ ἐπανίςαται, καὶ ταχέως καθίςαται. Οὗτος, ὁκόταν οὕτως ἔχῃ, κατ' ἀρχὰς τοῦ νοσήματος, τὰ σιτία οὐ δύναται προσίεσθαι, καὶ ταχέως καταλεπτύνεται, καὶ ἀκρησίην ἔχει τὸ σῶμα πολλήν. Τὸ δὲ νούσημα, ἢν μὴ παραχρῆμα θεραπευθῇ, [365] ἢ αὐτόματον καταςῇ, διαλιπὼν πέντε μῆνας ἢ ἕξ, αὖθις ἐπανίςαται· διαλιμπάνει δὲ μάλιςα τὸν χειμῶνα. Τοῦτον κατ' ἀρχὰς ἢν λάβῃς, καῦσον δέκα ἐσχάρας ἐς τὸν σπλῆνα, καὶ παραυθὺς ὑγιέα ποιήσεις· ἢν δὲ μὴ καύσῃς, τοῖσιν αὐτοῖσι φαρμάκοισιν ἰῆσθαι, οἷσι καὶ τοὺς πρόσθεν, καὶ ἐδέσμασι καὶ ποτοῖσι, καὶ ταλαιπωρίῃσιν· οὕτω γὰρ ἂν τάχιςα ὑγιέα

CAPUT XXXV.

De quarto lienis morbo, vel tumore a pituita orto, ejusque signis, & curatione.

Alius lienis morbus. Hic etiam morbus vere potissimum contingit, quum lien in se pituitam exceperit, statimque tumidus & durus evaserit; deinde rursus subsidit. Et, quum quidem sublatus fuerit, dolores acuti incidunt; quum vero mollis est, abest dolor: quumque morbus inveteraverit, obscurior esse videtur, & assurgit, celeriterque deprimitur. Hic, quum sic habuerit, per morbi exordia cibos admittere non potest, & cito extenuatur, magnaque intemperie corpus afficitur. Morbus autem nisi statim curatus, aut sua sponte sedatus fuerit, quinque aut sex intermissis mensibus rursus exsurgit, per hiemem autem præcipue intermittit. Hunc si per exordia curandum sumpseris, decem crustis ad lienem inurito, statimque sanum reddes: quod si non usseris, iisdem medicamentis, & eduliis, & potibus, ac laboribus, quibus superiores, curato: sic enim celerrime sanum red-

Variæ Lectiones.

357 μέλι παραχέων παρὰ τὴν ἑτέρην MS. cod. habet, addito παραχέων, quod probamus. Lind. παραμίσγων scribit. Postea legitur in MS. cod. ἐναλλὰξ δὲ πίνειν, *alternatim vero bibere*, omisso χρὴ *oportet*.

358 ταῦτα vulgati codd. pro quo ταυτὰ scripsimus ex MS. cod.

359 ἐν οἷσι καὶ τὸν πρόσθεν MSS. Reg. habent, inserto ἐν. MS. cod. vero οἷσι καὶ τοὺς πρόσθεν. Paulo post καὶ λαχανοφαγίης Vatic. membr. pro καὶ οἰνοφλυγίης.

360 ὁκόταν παχύτατος ᾖ, καὶ μέγιστος ὁ σπλὴν MS. cod. legit, omisso γένηται, *cum crassissimus, & maximus sit lien*.

361 MS. cod. scribit καύσας κατὰ καιρὸν, pro καύσας τοῦ καιροῦ. Paulo post MS. cod. habet ἡ γὰρ νοῦσός ἐστι χαλεπὴ, *gravis enim est morbus*.

362 Pro epigraphe in MS. cod. scribitur ἄλλη σπληνὸς omisso νοῦσος. Deinde dicitur προσπίπτει ἡ νοῦσος μάλιστα ἦρος.

363 Pro ἐξῃρμένος, Imp. Samb. & Fevr. legunt ἐξηρτημένος, *suspensus*.

364 καὶ ὁκόταν χρόνος ἐγγένηται MS. cod. scribit.

365 ἢ αὐτόματον καταστάθῃ MS. cod.

reddideris. Hujus autem color exalbidus, nunc suppallidus, nunc squallidus est.

ποιήσῃς. [366] Τούτου δὲ ἡ χροιὴ γίνεται
103 ἔκλευκος, ἄρτι ὕπωχρος, ἄρτι αὐχμηρή.

CAPUT XXXVI.

De quinto lienis morbo, inflammatione in scirrbum mutata, ejusque causis, & curatione.

ALius lienis morbus. Ab atra bile potissimum autumno oritur: fit autem ex olerum esu, quæ cruda comeduntur, & aquæ potu. His igitur afficitur, ubi morbus prehenderit; lien valde dolet, & rigor & febris invadit, cibi inappetentia detinet, totumque corpus celeriter concidit. Lien autem magnus quidem admodum non evadit, sed durus, & ad viscera prolabitur, adjacensque (humores) fugit. Hunc, quum ita habuerit, iisdem tum medicamentis, tum eduliis, tum potibus; tum laboribus, quibus etiam superiores, curato. Ac si (se) tibi commiserit, eum, quo alios, modo inurito. Hic morbus in plerisque, si confestim curatus fuerit, cito decedit.

ΚΕΦΑΛΑΙΟΝ Λϛʹ.

Περὶ τῆς πέμπτης τοῦ σπληνὸς νόσου, τῆς φλεγμονῆς ἐς σκιῤῥὸν μεταβαλλομένης, καὶ τῶν ταύτης αἰτίων, καὶ θεραπευτικῶν.

[367] ΑΛλη νοῦσος σπληνός. Γίνεται μετοπώρου μάλιστα ἀπὸ χολῆς μελαίνης· γίνεται δὲ ἀπὸ λαχανοφαγίης τρωξίμων πολλῶν, καὶ ὑδροποσίης. Πάσχει οὖν τάδε, ὁκόταν τὸ νόσημα λάβῃ· ἀλγέει τὸν σπλῆνα σφόδρα, καὶ ῥῖγος καὶ πυρετὸς ἐπιλαμβάνει, καὶ ἀσιτίη ἔχει αὐτὸν, τό, τε γυῖον ξυμπίπτει ταχέως. Ὁ δὲ σπλὴν, μέγας μὲν πάνυ οὐ γίνεται, σκληρὸς δὲ, [368] καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα, καὶ μύζει προσκείμενος. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, τοῖσιν αὐτοῖσιν ἰῆσθαι, καὶ φαρμάκοισι [369] καὶ βρωτοῖσι, καὶ πότοισι, καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν. Καὶ, ἤν σοι παρέξῃ, καῦσαι αὐτὸν, τρόπον ὃν περ καὶ τοὺς ἄλλους. Αὕτη ἡ νοῦσος τοῖσι πολλοῖσιν· ἢν παραχρῆμα μελετηθῇ, ἐν τάχει ἐξέρχεται.

CAPUT XXXVII.

De ictero primo, a bile æstate commota orto; ejusque signis, & curatione.

ICteri quatuor. Primus quidem æstate maxime corripit, a bile commota: bilis igitur sub cute & in capite colligitur, proindeque statim corpus colorem immutat, pallidumque ceu malicorium evadit; oculi pallidi sunt, & sub pilis capitis velut lanugo subest; & rigor & febris prehendit; urinam mejit pallidam, in eaque crassum suppallidum subsidet; mane quamdiu jejunus fuerit, ad os ventriculi & viscera strepitus editur; &, siquis eum alloquatur, aut interroget, ægre fert, ac tristatur, neque audire sustinet. Stercus autem progrediens, ex pallido albicat, & male olet:

ΚΕΦΑΛΑΙΟΝ ΛΖʹ.

Περὶ τοῦ πρώτου ἰκτέρου, ἀπὸ χολῆς τοῦ θέρους κινηθείσης γινομένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν.

ΙΚτεροι τέσσαρες. [370] Ὁ μὲν τοῦ θέρεος μάλιστα ἐπιλαμβάνει, χολῆς κινηθείσης· [371] ἵσταται οὖν ἡ χολὴ ὑπὸ τῷ δέρματι καὶ ἐν τῇ κεφαλῇ, ὥς εὐθὺς ἀλλοχροέει τὸ σῶμα, καὶ γίνεται ὠχρὸν, ὁκοῖόν περ σίδιον. Καὶ ὀφθαλμοὶ ὠχροὶ, καὶ ἐν τῇ κεφαλῇ ὑπὸ τὰς τρί-
104 χας, οἷον [372] χνοῦς ὕπεστι· καὶ ῥῖγος, καὶ πυρετὸς ἐπιλαμβάνει· καὶ οὐρέει ὠχρὸν τὸ οὖρον, καὶ ὑφίσταται ὑπ᾽ αὐτῷ παχὺ ὕπωχρον· καὶ τὸ ἕω-
105 θεν, ἕως ἂν νῆστις ᾖ, πρὸς τὴν καρδίην [373] καὶ πρὸς τὰ σπλάγχνα μύζει· καὶ, ὁκόταν τις αὐτῷ
106 προσφθέγξηται ἢ ἐρωτήσῃ, ἄσσᾶται τε καὶ λυπέεται, καὶ οὐκ ἀνέχεται ἀκροώμενος. Ὁ δὲ ἀπόπατος προϊὼν, [374] ὠχρόλευκος, καὶ κάκοδμος· οὐ-

VARIÆ LECTIONES.

366 MS. cod. hunc locum sic habet: τούτου ἡ χροιὴ γίνεται ἔκλευκος, ἄρτι ὕπωχρος, ἄρτι αὐχμηρὴ, & hæc sane genuina est lectio, sed id emendare, homini præsertim copia MSS. codd. carenti, ac solummodo conjectura propria innixo, non dicam impossibile; verum difficillimum judico. Vulgati codd. scribunt mendose, ἀρτιύπωχρος, καὶ αὐχμηρή.

367 ἄλλη σπληνὸς pro epigraphe scribit MS. cod. omisso νοῦσος. Deinde dicitur γίνεται μὲν μετοπώρου, inserto μὲν, quidem.

368 καὶ προσπίπτει πρὸς τὰ σπλάγχνα scribit MS. cod. pro καὶ παραπίπτει παρὰ τὰ σπλάγχνα.

369 καὶ βρωτοῖσι, καὶ ταλαιπωρίῃσιν, οἷσιν ἂν καὶ τοὺς πρόσθεν· καὶ ἤν σοι παρέξῃ, καῦσαι αὐτὸν legunt omnia vulgata exemplaria. Verum in MS. cod. sic habentur: καὶ βρωτοῖσι, καὶ πότοισι, καὶ ταλαιπωρίῃσιν· ὡς τοὺς πρόσθεν· καὶ ἤν σοι παρέχῃ, καῦσαι τὸν αὐτὸν, *tum eduliis, tum potibus, tum laboribus, velut superiores*, curato: *si tibi se commiserit, eum inurito.*

370 ὁ δὲ μὲν τοῦ θέρεος MS. cod. inserta conjunctione δέ.

371 ἵσταται δὲ ἡ χολὴ ὑπὸ τῷ δέρματι, καὶ ἐν τῇ κεφαλῇ, ὡς εὐθέως ἀλλοτροπέει MS. cod.

372 φλοῦς legunt vulgata exemplaria, de qua voce videsis Foësii Oeconom. voce φλίου. Ast nos hisce missis MS. cod scripturam amplectimur, & χνοῦς legimus, & hæc est genuina lectio.

373 Sic MS. cod. & MSS. Reg. inserto πρός. Paulo post ἀσσᾶται restituimus, id quod melius, pro vulgato ἄσσαι τέ.

374 MS. cod. scribit ὠχρὸς καὶ κάκοδμος.

οὗτος, ὁκόταν ὧδε ἔχῃ, θνήσκει μάλιϛα ἐν τῇσι τεσσαρεσκαίδεκα ἡμέρῃσιν· ἢν δὲ ταύτας διαφύγῃ, ὑγιαίνεται. [375] Μελετῆν δὲ αὐτὸν χρὴ, ὧδε· ὁκόταν ὁ πυρετὸς ἀνῇ, [376] λούειν πολλῷ καὶ θερμῷ, πίνειν τε διδόναι μελίκρητον, καὶ ῥοφήμασι διαχρεέσθω, πτισάνης χυλῷ, μέλι παραχέων (καὶ μὴ συνεψεῖν τὸ μέλι) ἕως ἂν αἱ δεκατέσσαρες ἡμέραι παρέλθωσιν· αὗται γὰρ κρίνουσιν, ἢν θανάσιμον, ἢ οὔ. Μετὰ δὲ ταῦτα, λούειν δὶς τῆς ἡμέρης, καὶ εὐωχέειν τὸ πρῶτον ὀλίγοισιν, [377] ἅσσα ἂν μάλιϛα προσίηται· [378] ἔπειτα πλείω μέντοι διδόναι· πινέτω δὲ οἶνον λευκὸν ὡς πλεῖϛον δι' ἡμέρης· καὶ, ἤν σοι δοκέῃ προϊόντος τοῦ χρόνου ὠχρὸς εἶναι ϗ [379] ἀσθενὴς, ἔμετον αὐτὸν κελεύειν ποιέεσθαι ἀπὸ τῶν σιτίων, [380] ὡς ἐν τῇσιν ἄνω νούσοισιν ἔχει. Καὶ ἢν μὲν ἀπὸ τούτων παύσηται, ἅλις· ἢν δὲ μὴ, ἐλλέβορον πίσαι· [381] μετὰ δὲ τὴν τοιαύτην κάθαρσιν, ἑσπέρην φαγέτω μᾶζαν μαλθακὴν, ἢ ἄρτου τὸ ἐντός· ὄψον δὲ ἐσθιέτω, νεοσσὸν ἀλεκτορίδος δίεφθον, εὐζωμευμένον κρομμύῳ, ϗ κοριάνῳ, ϗ τυρῷ, ϗ ἁλὶ, ϗ σησάμῳ, ϗ ϛαφίδι λευκῇ· οἶνον δὲ πινέτω λευκὸν, αὐϛηρὸν, ὡς παλαιότατον· τὴν δὲ κάτω κοιλίην ὑποκαθῆραι. Τῇ δὲ ὑϛεραίῃ, χυλῷ ἀπ' ἐρεβίνθων λευκῶν· [383] μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω, ϗ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ. Τῇ δὲ τρίτῃ ἀρξάμενος, [384] ἐφ' ἑκάϛης ἡμέρης πινέτω τόδε τὸ ὕδωρ, ἀπὸ τῶνδε ἑψήσας· [385] μαράθρου ῥίζας λεπτὰς, πλῆθος ὁκόσον τρισὶ δακτύλοισι περιλαβεῖν τὴν δραχμίδα, [386] ἐμβάλλειν ϗ ἑψεῖν ἐν δύο χοεῦσιν ὕδατος, ἑψεῖν δὲ ἕως ἂν λειφθῇ τὸ ἥμισυ· [387] καὶ ἐρεβίνθων λευκῶν χοίνικα ἐν δυσὶ χοεῦσι, ϗ 107
τούτου δὲ πιέτω τὸ ἥμισυ· ταῦτα ὁκόταν λειφθῇ, διηθήσας, ἐξαιθριάσαι, [388] ϗ ἀμφότερα μίξας, τούτῳ τῷ ὕδατι καὶ τὸν οἶνον κερήσας, πινέτω, [389] ϗ αὐτὸ τὸ ὕδωρ μοῦνον, ἢν βούληται, πινέτω ὡς πλεῖϛον, ϗ ἄλλο ὕδωρ μὴ πινέτω. Ἢν δὲ τοῦτο τὸ πότον μὴ προσίηται, [390] τόδε σκευάσας οὕτω διδόναι. Ἰσχάδων λευκῶν χοίνικα ἑψήσας ἐν δυσὶ χοεῦσι, διηθῆσαι ϗ ἐξαιθριάσαι· ἔπειτα τὸ ὕδωρ

hic, quum ita habuerit, intra dies quatuordecim potiſſimum moritur: ſi vero hos effugerit, convaleſcit. Eum autem ita curare oportet: quum febris remiſerit, multa calida loto aquam mulſam propinato, & ſorbitionibus utatur, ptiſanæ cremore melle affuſo (atque mel ne concoquas) quoad quatuordecim dies præterierint; hi namque, lethalis ſit, necne, decernunt. Poſtea autem bis die lavato, & in cibo exhibeto primum pauca, quæcunque maxime admiſerit; deinde tamen plura porrigito: vinum album quamplurimum interdiu bibat; &, ſi procedente tempore pallidus ac imbecillus tibi videatur, a cibis vomitum fieri, velut in ſuperioribus morbis habetur, jubeto. Quod ſi his quidem ſedetur, ſatis eſt; ſin minus, veratrum propinato: poſt ejusmodi vero purgationem, veſperi mazam mollem, aut panis medullam comedat: pro opſonio pullum edat gallinaceum percoctum, cum cœpa, coriandro, caſeo, ſale, ſeſamo, & uva paſſa alba probe elixum: vinum autem album, auſterum, quam vetuſtiſſimum bibat: alvumque inferiorem ſubpurgato. Poſtero die, cicerum alborum cremore, melle affuſo, utatur, talisque ſucci heminas duas ebibat. Tertio vero die, ſingulis diebus hanc aquam, ex his decoctam, bibere incipiat: fœniculi radices tenues, quantum pugillo, aut tribus digitis comprehenditur, in duos aquæ congios immittito, & coquito, dum dimidium remaneat: & cicerum alborum chœnicem in duobus (aquæ) congiis, de quo dimidium bibat: hæc quum remanſerint, colata ſub dio exponito, & ambobus permixtis, vinum hac aqua diluat, & bibat; & aquam ipſam ſolam, ſi velit, quam plurimam potet, nec aliam aquam bibat. Quod ſi potum iſtum averſetur, hunc ita paratum exhibeto. Caricarum albarum chœnicem duobus congiis decoctam colato, & ſub dio exponito; deinde aquam hanc

Variæ Lectiones.

375 μελετῆν δ' αὐτὸν τόνδε χρὴ τὸν τρόπον habet MS. cod. pro vulgatis μελετῆν δὲ αὐτὸν χρὴ, ὧδε.

376 MS. cod. λούειν αὐτὸν πολλῷ καὶ θερμῷ· πίνειν δὲ διδόναι μελίκρητον.

377 ἅσσα ἂν μάλιϛα, in MS. cod. abeſt particula ἄν.

378 ἔπειτα μέντοι καὶ πλείω διδόναι· πινέτω δὲ καὶ οἶνον λευκὸν MS. cod.

379 Pro ἀσθενὴς, *imbecillus*, Martinus ſubſtituit ἀσινὴς, *illæſus*, vel ſi ſine ulla gravi offenſa eſt. Mox ἔμετον αὐτὸν κελεύειν ſcribitur in MS. cod. inſerto αὐτόν.

380 ὡς ἐν τῇσι νούσοισι, τῇσιν ἄνω ἔχει, ϗ ἢν μὲν ὑπὸ τουτέων παύηται ſcribit MS. cod.

381 μετὰ δὲ τὴν τοιαύτην, in MS. cod. deeſt τοιαύτην. Deinde ἑσπέρης legitur, pro vulgato ἑσπέρην.

382 ὄψον δ' ἐχέτω MS. cod. legit, pro vulgato ὄψον δ' ἐσθιέτω.

383 μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι· ἐκπιέτω δὲ δύο χοίας τοῦ χυλοῦ, MS. cod. pro vulgatis μέλι δὲ χρὴ τῷ χυλῷ παραχέαι, τούτῳ δὲ χρεέσθω, ϗ ἐκπιέτω δύο κοτύλας τοῦ τοιούτου χυλοῦ.

384 Sic Imp. Cornar. & Lind. pro ἀφ' ἑκάϛης. In MS. cod. ἀφ' non legitur. Poſtea πινέτω τόδε τὸ ὕδωρ, in cod. τόδε τὸ omttuntur.

385 μόρου ῥίζας, *mori radices* ſcribit MS. cod. pro μαράθρου ῥίζας.

386 ἐμβάλλειν ταῦτα Imp. Samb. inſerto ταῦτα. Poſtea pro δύο, in MS. cod. dicitur τρισὶ in *tribus*.

387 ἑψεῖν δὲ ϗ ἐρεβίνθων MS. cod. inſertis ἑψεῖν δέ. Deinde pro ϗ τούτου δὲ πιέτω τὸ ἥμισυ, *& hujus dimidium bibat*, Lindenus legit ἕως ἂν λειφθῇ τὸ ἥμισυ, *donec dimidium relinquatur*, intelligens de coctione, quemadmodum & Cornarius vertit, nempe *ad dimidias item coquito:* quæ lectio magis conſentanea videtur. MS. cod. ſcribit: ϗ τούτου λειπέτω τὸ ἥμισυ.

388 ϗ ἀμφότερα MS. cod. omittit particulam καί. Paulo poſt ϗ τὸν οἶνον κερήσας vulgati codd. ubi κεράσας ſcribit Lind. ex Fevr. MS. cod. autem κίρνας legit, velut in Aſulano cod. κιρνᾶν Imp. Samb.

398 ϗ αὐτὸ τὸ ὕδωρ ψιλὸν MS. cod. pro ϗ αὐτὸ τὸ ὕδωρ μοῦνον.

390 τὸ δὲ αὐτῷ σκευάσας διδόναι MS. cod. pro vulgatis τόδε σκευάσας οὕτω διδόναι.

hanc solam, si velit, aut vino mixtam bibat; eam vero non confertim multam bibat, sed per intervalla dimidiam heminam, ut alvi perfluvium ei ne superveniat; parvoque interposito tempore, bibat. Optima vero & hæc quotidie jejuno potui exhibita, trita & vini albi veteris hemina diluta; apii semen, cucumeris semen, fœniculi semen, cuminum Æthiopicum, adiantum, coriandrum herba, uvæ passæ albæ. Hæc & illa si biberit, juvabitur, celerrimeque sanus evadet.

CAPUT XXXVIII.

De ictero secundo, hieme tum ab ebrietate & rigore, tum a bile per suppressionem coacervata orto, ejusque causis, signis, & curatione.

ALius icterus. Hic hiemis tempore ex temulentia & frigore invadit: primum autem invadere incipit rigor; deinde etiam febris detinet; & corporis humidum sub cute concrescit: ex his autem rem se ita habere proditur. Ejus corpus lividum est, & subdurum; & quæ venæ per corpus distenduntur, sunt pallidæ, majores & crassiores quam antea; quædam etiam subnigræ subtenduntur. Ex his aliquam siquis secuerit, sanguis defluet pallidus, si pallidæ sint venæ; si vero nigræ fuerint, niger sanguis defluet. Et vestem corpori adjacentem præ pruritu ferre non potest; hic ad eundum & ambulandum promptus est, sed præ imbecillitate ejus crura titubant; & vehementer sitit. Hic morbus superiore non minus lethalis est, in longius autem tempus progreditur, nisi primis septem diebus sanescat: quod si morbus producatur, & ad octavum aut nonum diem extendatur, in lectum incidit, morbusque & dolor magis urget, neque exurgere potest, & plerique intra hoc

τοῦτο πινέτω, ἤν τε ψιλὸν αὐτὸ βούληται, ἤν τε σὺν τῷ οἴνῳ κιρνάς· [391] πινέτω δὲ μὴ ἀθρόον πουλὺ, ἀλλὰ κατὰ φορὰν ἡμικοτύλιον, [392] ὅκως μὴ διάῤῥοια αὐτῷ ἐπιγένηται· καὶ, διαλιπὼν χρόνον ὀλίγον, πινέτω. Ἀγαθὰ δὲ καὶ τάδε διδόναι πίνειν νήστει ἑκάστης ἡμέρης, τρίψαντα λεῖα καὶ διέντα κοτύλην οἴνου παλαιοῦ λευκοῦ, σελίνου καρπὸν, σικύου σπέρμα, μαράθρου καρπὸν, Αἰθιοπικὸν κύμινον, ἀδίαντον, κόριον τὴν ποιὴν, ἀσταφίδας λευκάς. Ταῦτα πίνων κἀκεῖνα, [393] ὠφεληθήσεται, καὶ τάχιστα ὑγιὴς ἔσται.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ΄.

Περὶ τοῦ δευτέρου ἰκτέρου τοῦ κατὰ χειμῶνα, ἐκ μέθης καὶ ῥίγους, καὶ χολῆς διὰ τὴν ἐπίσχεσιν συναθροισθείσης, καὶ τῶν τούτου αἰτίων καὶ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλος ἴκτερος. [394] Οὗτος ἐπιλαμβάνει χειμῶνος ἐν ὥρῃ, ἐκ μέθης καὶ ῥίγεος· [395] ἄρχεται δὲ πρῶτον ῥίγος ἐπιλαμβάνειν· ἔπειτα καὶ πυρετὸς κατέχει· δὲ ὑγρὸν τὸ ἐν τῷ σώματι, [396] πήγνυται ἐν τῷ δέρματι· ἐν τοῖσι δὲ δείκνυται, ὅτι οὕτως ἔχει. Πελιδνόν ἐστιν αὐτοῦ τὸ σῶμα, καὶ ὑπόσκληρον· καὶ αἱ φλέβες διὰ τοῦ σώματος τέτανται ὠχραὶ, [397] μείζονες δὲ καὶ παχύτεραι ἢ πρόσθεν εἰσί· [398] τέτανταί τε ὑπομελάντεραι καὶ ἄλλαι φλέβες. Καὶ ἤν τάμῃ τις τινα αὐτῶν, [399] ῥεύσει ἐξελεύσεται τὸ αἷμα ὠχρὸν, ἐάνπερ ὠχραὶ ἔωσιν αἱ φλέβες· ἢν δὲ μέλαιναι ἔωσι, μέλαν τὸ αἷμα ῥεύσεται. [400] Καὶ τὸ ἱμάτιον πρὸς τῷ σώματι προσκείμενον, οὐκ ἀνέχεται ὑπὸ τοῦ κνησμοῦ· οὗτος [401] πρόθυμός ἐστι πρὸς τὸ πορεύεσθαι, καὶ φοιτῆν, ἀλλ' ὑπὸ τῆς
108 ἀσθενείης αὐτοῦ τὰ σκέλεα [402] ὑποφέρεται·
109 καὶ διψῇ σφόδρα. Αὕτη ἡ νοῦσος, [403] ἧσσον
τῆς προτέρης θανασίμη, προέρχεται δὲ πλείω χρόνον, ἢν μὴ ἐν τῇσιν ἑπτὰ πρώτῃσιν ἡμέρῃσιν ὑγιὴς γίνεται· ἢν δὲ ἡ νοῦσος ἀπομηκύνηται, καὶ γένηται ὄγδοος ἢ ἔννατος, [404] συμπίπτει ἐς κλίνην, καὶ ἡ νοῦσος καὶ ἡ ἀλγηδὼν πιέζει μᾶλλον, καὶ ἀνίστασθαι οὐ δύναται, καὶ οἱ πολλοὶ ἐν τούτῳ τῷ

VARIÆ LECTIONES.

391 πινέτω δὲ μὴ πολὺ, μηδὲ ἀθρόον MS. cod. legit.
392 ὅκως ἂν μὴ διάῤῥοια ἐπιγένηται MS. cod. αὐτῷ omisso.
393 ὠφεληθήσεται, καὶ τάχιστα ὑγιὴς γενήσεται vulgati codd. sed ὠφεληθήσεται καὶ non leguntur in MS. cod. Imp. Samb. & Fevr. ut sit: *hac & illa si biberit*, celerrime sanus evadet. Et in cod. MS. scribitur τάχιστα ὑγιὴς ἔσται, pro τάχιστα ὑγιὴς γενήσεται; nos priorem lectionem prætulimus cum Lindeno.
394 Ἐπιλαμβάνει χειμῶνος ὥρῃ MS. cod. ἐπιλαμβάνει μὲν χειμῶνος ἐν ὥρῃ Imp. Samb. & Fevr.
395 MS. cod. ἄρχεται δὲ πρῶτον μὲν τὸ ῥίγος ἐπιλαμβάνειν· εἶτα ὁ πυρετὸς κατέχει.
396 Pro hisce in MS. cod. legitur: ὑπὸ τῷ δέρματι πήγνυται ἅμα τῷ αἵματι· τοῖσι δὲ ἀποδηλοῖ, ὡς οὕτως ἔχει.
397 καὶ μείζονες ἢ πρόσθεν, καὶ παχύτεραι MS. cod.
398 MS. cod. τέτανται δὲ καὶ ὑπομελάντεραι ἄλλαι φλέβες. Mox pro τάμνῃ MSS. Reg. τάμῃ *secuerit*, ac recte.
399 Imp. Samb. ῥεύσεται τὸ αἷμα ὠχρὸν· ἢν ὠχραὶ ἔωσιν, αἱ φλ.
400 καὶ τὸ ἱμάτιον πρὸς τῷ χρώματι legunt vulgata exemplaria; sed pro χρώματι ex MS. cod. σώματι scripsimus. Imp. Samb. vero habet χρώτι.
401 προθύμως περιφοιτᾷν MS. cod. Cæterum si ἀπρόθυμος, *non promptus* legeretur, clarior evaderet sententia: sed nihil immutamus.
402 ὑποφέρειν est vestigium fallere, & τὰ χωρία ὑποφέροντα dicuntur loca lubrica, & quæ vestigium fallunt, videsis Foësii Oeconom. voce ὑποφέρειν.
403 οὕτω ἧσσον vulgati codd. ast οὕτω delevimus, non enim legitur in MS. cod. & delet Imp. Samb. & Fevr. & Lind. Paulo post in MS. cod. scribitur ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ὑγιὴς γίνεται, pro vulgatis, ἐν τῇσι πρώτῃσιν ἡμέρῃσιν· ἔπειτα ὑγιὴς γίνεται, priorem lectionem prætulimus.
404 συμπίπτει εἰς νοῦσον vulgata exemplaria; εἰς νοῦσον, καὶ delent Imp. Samb. & Fevr. Nos vero συμπίπτει ἐς κλίνην, *in lectum incidit* ex MS. cod. legimus: nam paulo post innuit auctor; καὶ ἀνίστασθαι οὐ δύναται, *neque exurgere potest*; quare ex hoc & aliis adductis emendationibus, inæstimabile hujus cod. pretium non satis dilaudari potest.

τῷ χρόνῳ [405] παραχρῆμα φθείρονται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, κατ᾽ ἀρχὰς μὲν τῆς νούσου ἣν παραγένηται, ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι παρέλθωσιν, ἐλλέβορον πίσαι· τὴν δὲ κάτω κοιλίην χυλῷ ὑποκαθῆραι, [406] ὡς ἐν τῇ πρόσθεν, καὶ τἄλλα τὰ αὐτὰ διδόναι φάρμακα· διδόναι δὲ καὶ κανθαρίδας [407] ἄνευ πτερῶν καὶ κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ λευκῷ ἡμικοτυλίῳ· ἤδη δὲ καὶ μέλι παραχέαι ὀλίγον· εἶτα οὕτω διδόναι πιεῖν· τοῦτο πινέτω δὶς ἢ τρὶς τῆς ἡμέρης. Προϊούσης δὲ τῆς νούσου, λουτροῖσι καὶ πυριήμασι θεραπεύειν. Ἐσθιέτω δὲ, [408] ἄσσα προσίεται· οἶνον δὲ πινέτω λευκὸν, αὐστηρόν· καὶ τἄλλα τὰ αὐτὰ [409] προσφέρειν, ἃ καὶ τῷ πρόσθεν. Αὕτη ἡ νοῦσος, χρονίη καὶ χαλεπὴ, [410] ἢν μὴ κατ᾽ ἀρχὰς καλῶς μελετηθῇ.

tempus confestim pereunt. Huic, quum sic habuerit, si ad eum initio morbi accesseris, ubi septem jam dies præterierint, veratrum propinato: inferiorem vero alvum (cicerum alborum) succo, velut in superiore (morbo,) subpurgato, aliaque eadem medicamenta exhibeto: cantharidas etiam sine alis & capite tritas quatuor, & ex vini albi hemina dimidia dilutas exhibeto; jam vero etiam pauco melle affuso, mox ita propinato; idque bis aut ter in die bibat. Procedente autem morbo, balneis & fomentis curato. Quæcunque vero expetit, edat; vinum album, austerum bibat; reliquaque eadem offerantur, quæ & priori. Hic morbus, nisi probe per initia curatus fuerit, diuturnus est & molestus.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Περὶ τοῦ τρίτου ἰκτέρου τοῦ ἐπιδημίου, ἀφ᾽ ἥπατος ἐμφράξεως ἐκ πλησμονῆς καὶ μέθης γινομένου, καὶ τῶν τούτου σημείων, καὶ θεραπευτικῶν.

[411] Ἄλλος ἴκτερος. Ἐπιδήμιος οὗτος καλέεται, διότι πᾶσαν ὥρην ἐπιλαμβάνει· γίνεται δὲ ἀπὸ πλησμονῆς μάλιστα καὶ μέθης· καὶ ἐπειδὰν ῥιγώσῃ· [412] εὐθέως οὖν τὸ σῶμα ἀλλοιοτροπέει, καὶ γίνεται ὠχρὸν, καὶ οἱ ὀφθαλμοὶ σφόδρα ὠχροί· καὶ ὑπὸ τὰς τρίχας καὶ ὑπὸ τοὺς ὄνυχας [413] ἡ νοῦσος ὑπέρχεται· καὶ ῥῖγος καὶ πυρετὸς βληχρὸς ἔχει, καὶ [414] ἀσθενέει τὸ σῶμα, καὶ ἐν τῇ κεφαλῇ ὀδύνη ἔχει, καὶ οὐρέει ὠχρὸν καὶ παχύ. Οὗτος ὁ ἴκτερος ἧσσον θανατώδης τῶν πρόσθεν, [415] καὶ θεραπεύεται μελετώμενος ἐν τάχει. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, [416] σχάσαι αὐτοῦ τοὺς ἀγκῶνας, καὶ ἀφαιρέειν τοῦ αἵματος· ἔπειτα πυριήσας, πίσαι ἐλατήριον· κάτω δὲ αὖθις ὑποκαθῆραι τῇ τρίτῃ, ὀνείῳ γάλακτι. Τὰ δὲ ἄλλα ῥοφήματά τε καὶ πόματα καὶ ἐδέσματα, τὰ αὐτὰ διδόναι, ἃ καὶ τῷ πρόσθεν· καὶ καθαίρειν αὐτοῦ τὴν κεφαλὴν θαμινὰ, [417] καὶ ἀπὸ χαραδρίου πίνειν, 110

CAPUT XXXIX.

De tertio ictero epidemio, ab hepatis obstructione ex satietate & ebrietate, orto; ejusque signis, & curatione.

Alius icterus. Hic popularis vocatur, quod omni tempestate prehendat: a satietate autem & temulentia potissimum oritur; & postquam riguerit, quamprimum sane corpus immutatur, & pallidum evadit, & oculi admodum pallidi; sub capillos & ungues illabitur morbus; & rigor & febris levis detinet, corpus debilitatur, caput dolor occupat, pallidamque & crassam urinam reddit. Hic icterus superioribus minus lethalis est, & curatus brevi sanatur. Huic, quum sic habuerit, cubiti venas incidito, & sanguinem detrahito: deinde fotu admoto, elaterium propinato: tertio vero die, asinino lacte rursus deorsum aliquantum purgato. Reliquas autem sorbitiones, potus, & cibos eosdem, quos & priori, exhibeto; ejus caput crebro purgato, & rupicis (jusculum) bibat, eum-

VARIÆ LECTIONES.

405 MS. cod. παραχρῆμα διαφθείρονται. Paulo post κατ᾽ ἀρχὰς μὲν τῇ νούσῳ, ἣν παραγένηται· ὁκόταν αἱ ἑπτὰ ἡμέραι MS. cod. pro vulgatis κατ᾽ ἀρχὰς μὲν τῆς νούσου ἣν παραγένηται· ὁκόταν ἤδη αἱ ἑπτὰ ἡμέραι.

406 ὡς ἐν τῷ πρόσθεν vulgati codd. MS. cod. vero ὡς ἐν τῇ πρόσθεν, subintellige νούσῳ, quam lectionem prætulimus.

407 ἄνευ τῶν πτερῶν, καὶ τῆς κεφαλῆς, τέσσαρας τρίβων, καὶ διεὶς οἴνῳ ἡμικοτυλίῳ λευκῷ ἢ δεῖ, καὶ μέλι παραχέαι ὀλίγον MS. cod. scribit.

408 MS. cod. ἄσσα ἂν προσίηται habet, pro ἄσσα προσίεται.

409 προσφερέσθω, ἃ καὶ τῇ πρόσθεν vulgata exemplaria, pro quibus in MS. cod. legitur προσφέρειν, ἃ καὶ τῷ πρόσθεν, melius.

410 ἢν κατ᾽ ἀρχὰς μὴ μελετηθῇ MS. cod. omisso καλῶς.

411 ἄλλος ἴκτερος· ἐπιδήμιος καλέεται MS. cod. omisso οὗτος.

412 εὐθὺς MS. cod. scribit pro εὐθέως.

413 ἡ νοῦσος ἐπέρχεται vulgata exempl. Lindenus vero & Foës. ὑπέρχεται. In MS. cod. προέρχεται scribitur.

414 ἀσθενέει τὸ σῶμα MS. cod. habet. Deinde καὶ οὐρέει ὠχρὸν καὶ παχὺ desunt hæc verba in MS. cod.

415 καὶ ἐξέρχεται μελετώμενος *& curatus brevi decedit* MS. cod. scribit, pro καὶ θεραπεύεται μελετώμενος.

416 Pro σχάσαι in MS. cod. scribitur σχάσειν.

417 καὶ ἀπὸ χαλκείου πίνειν legunt omnia exemplaria. Foësius vero χυλαρίου, *succatiunculam* legi mavult, huncque locum fœdissime corruptum esse arbitratur. Calvus χλιαροῦ legisse videtur, & de *tepido potu* accipit. Martinus autem χλιαρίου *a fotu* scribit, quam lectionem præfert Charterius. Cornarius, χυλαρίου & de *succo* bibendum dato, dixit, intelligens de sordibus a defricta carne sumtis, & ex vino albo epotis. MS. cod. χαραδρίου, scribit, quam lectionem secutus est Lind. ex emendationibus Æmilii Porti. Χαραδριος enim avis est, quæ *rupex* aut *galgulus* vocatur, & ab ictericis conspecta in se icterum transfert, quasi ejus carnes terendæ sint, & in vino propinandæ. De ea scribitur apud Plutarchum Sympos. V. cap. 7. & ab Æliano Libr. XVII. cap. 13. & ab Heliodoro de Histor. Æthiopica Libr. III. & Suida & Plin. Libr. XXX. cap. II. Aldrovando Libr. XX. cap. 67. Bocharto Libr. II. Hierozoic. pag. m. 340 - 41.

eumque multa calida lavato ; & derasas rupicis carnes ex vino albo propinato ; & ad reliqua omnia iisdem utatur, & brevi convalescet.

καὶ λούειν αὐτὸν πολλῷ καὶ θερμῷ. [418] καὶ ξύων τοῦ χαραδρίου τὴν σάρκα ἐν οἴνῳ λευκῷ διδόναι πίνειν· καὶ ἐς τὰ ἄλλα πάντα τοῖσιν αὐτοῖσι χρεέσθω, καὶ ἐν τάχει ὑγιὴς ἔσαι.

CAPUT XL.

De quarto ictero, hyberno, a pituita orto ; ejusque signis, & curatione.

ALius icterus. A pituita quidem oritur, præcipueque per hiemem invadit : hujus color albus est ; ejusque pectus pituita plenum est, & salivam multam expuit ; quumque excreat, ei singultus contingit ; & urinam albam & crassam reddit, in cujus imo velut farina subsidet. Hic icterus minime est lethalis, brevique sanescit. Huic, quum ita habuerit, granum Cnidium propinato ; postque purgationem cremoris ptisanæ quatuor heminas, affuso melle sorbendas exhibeto : ventrem vero superiorem per vomitum, velut in superioribus, purgato : sic enim facillime pituitam ex pulmone & arteriis eduxerit : & gargarismum ei frequenter apparato. Hic aliquando levi febre febricitat, & horror tenuis oboritur. De cætero, iisdem, quibus superiores icteros, tum medicamentis, tum fomentis, tum balneis, eduliis, potibus, ac sorbitionibus curato : sic enim potissimum sanum efficies.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Περὶ τοῦ τετάρτου ἰκτέρου τοῦ χειμερινοῦ τοῦ ἀπὸ φλέγματος γινομένου· καὶ τῶν αὐτοῦ σημείων, καὶ θεραπευτικῶν.

ΑΛλος ἴκτερος. Γίνεται μὲν ἀπὸ φλέγματος, [419] ἐπὶ δὲ χειμῶνος μάλιστα ἐπιλαμβάνει· καὶ ἡ χροιὴ αὐτέου λευκή· καὶ τὰ στήθεα αὐτέου πλήρεα γίνεται φλέγματος, [420] καὶ ἀποπτύει τὸ σίαλον πολύ· καὶ, ὁκόταν ἀποχρέμψηται, λυγμὸς αὐτῷ γίνεται· καὶ οὐρέει λευκὸν καὶ παχὺ, [421] καὶ ὑπ' αὐτῷ ὑφίσταται, ὁκοῖον ἄλευρον. [422] Οὗτος ὁ ἴκτερος οὐκ ἔστι θανατώδης, καὶ ἐν τάχει ὑγιαίνεται. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, πῖσαι κνίδιον κόκκον· καὶ μετὰ τὴν κάθαρσιν πτισάνης χυλὸν, μέλι παραχέας, δοῦναι ἐκροφέειν τέσσαρας κοτύλας· τὴν δὲ ἄνω κοιλίην ἐμετοποιεύμενος, [423] κάθαρσιν παρεχέτω ὡς ἐν τῇσι πρόσθεν· αὐτῷ γὰρ ἂν ῥήϊστα τὸ φλέγμα [424] ἀπαγάγοι τοῦ πλεύμονος, καὶ τῶν ἀρτηριῶν· καὶ ἀναγαργαρισμὸν σκευάζειν αὐτῷ θαμινά. Οὗτος ἐνίοτε καὶ πυρεταίνει βληχρῷ πυρετῷ, καὶ φρίκη λεπτὴ ἐπιγίνεται. Καὶ τἄλλα μελετῆν, [425] οἷσι καὶ τοὺς πρόσθεν ἰκτέρους, καὶ φαρμάκοισι, καὶ πυρίῃσι, καὶ λουτροῖσι, καὶ ἐδέσμασι, καὶ ποτοῖσι, καὶ ῥοφήμασιν· [426] οὕτω γὰρ ὡς μάλιστα ὑγιέα ποιήσεις. 206

SECTIO III.

CAPUT XLI.

De typho primo, a bile per corpus commota cum sentiendi, movendique impotentia ; ejusque symptomatis, & curatione.

MOrbus, qui typhus vocatur. Typhus quidem appellatur hic morbus ; invadit autem æstatis tempore, quum canis sidus oritur, bile per corpus agitata.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Περὶ τοῦ πρώτου τύφου τοῦ ἀπὸ τῆς χολῆς ἀνὰ τὸ σῶμα κινηθείσης μετὰ τῆς τοῦ αἰσθητικοῦ, καὶ τοῦ κινητικοῦ ἀκρασίας· καὶ τῶν αὐτοῦ συμπτωμάτων, καὶ θεραπευτικῶν.

111 ΝΟύσημα, " ὅπερ καλεῖται τύφος. [427] Τύφος μὲν τοῦτο τὸ νούσημα καλέεται· ἐπιλαμβάνει δὲ θέρεος ἐν ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης ἀνὰ τὸ σῶμα. Εὐ-

VARIÆ LECTIONES.

418 Pro vulgatis καὶ ξύων τὴν σάρκα, & quum *carnes scalpseris*. MS. cod. habet καὶ χυανίου χαραδρίου τὴν σάρκα : verum quid sit χυανίου nos latet ; hinc suspicari licet ξύων τοῦ scribendum esse, & ita plana erit lectio : καὶ ξύων τοῦ χαραδρίου τὴν σάρκα, & *derasas carnes rupicis* ex vino albo præbe : & hanc lectionem in textum intulimus.

419 Pro ἐπὶ δὲ χειμῶνος, in MS. cod. scribitur τῇ δὲ ὥρῃ χειμῶνος.

420 Sic multo melius MS. cod. scribit, quam lectionem probavimus ; prius enim legebatur καὶ πτύει τὸ σίαλον, καὶ ὁκόταν ἀποχρέμπτηται. Postea in MS. Cod. dicitur λυγμὸς αὐτῷ ἐμπίπτει, pro λυγμὸς αὐτῷ γίνεται.

421 Pro καὶ ὑπ' αὐτῷ ὑφίσταται, ὁκοῖον ἄλευρον, in MS. cod. scribitur, καὶ ἐπ' αὐτῷ ἐφίσταται, οἷον ἄλευρον.

422 MS. cod. habet οὗτος ὁ ἴκτερος ἥκιστα θανάσιμος.

423 καθαρμὸν παρεχέτω, ὡς ἐν τοῖσι πρόσθεν MS. cod.

424 MS. cod. ἀνάγει ἀπὸ τοῦ πλεύμονος καὶ τῶν ἀρτηριῶν· καὶ ἀναγαργαρισμὸν δὲ αὐτῷ σκευάζειν θαμινά.

425 τοῖσιν αὐτοῖσιν, οἷσι καὶ τοὺς πρώτους ἰκτέρους scribit MS. cod.

426 οὕτω γὰρ ἂν Asul. & Basil. exemplar. Foësius vero Chart. & Lind. οὕτω γὰρ ὡς ; quos secuti sumus. Deinde μάλιστα ὑγιέα ποιήσεις omnia exempl. pro quibus MS. cod. habet τάχιστα ὑγιέα ποιήσειας.

427 In MS. cod. τὸ νούσημα ἐπιλαμβάνει θέρεος ὥρῃ, ὁκόταν ὁ κύων τὸ ἄστρον ἐπιτέλλῃ, χολῆς κινηθείσης κατὰ τὸ σῶμα· εὐθέως οὖν πυρέσσει. Cæterum in MS. Cod. habetur ante hæc verba Οὐίφος pro indicatura, & sic in sequentibus capitibus legitur pro τύφος.

Εὐθέως οὖν αὐτὸν πυρετοὶ ἔχουσιν ἰσχυροὶ καὶ καῦμα ὀξύ· [428] καὶ ἀπὸ τοῦ βάρεος ἀσθενείη, καὶ ἀκρησίη τῶν σκελέων καὶ τῶν χειρῶν, ἀχρεῖα γὰρ μάλιστα γίνεταί οἱ· καὶ ἡ γαστὴρ ταράσσεται, καὶ τὰ ὑποχωρέοντα δυσώδεα, καὶ στρόφος ἰσχυρὸς ἐπιγίνεται. Ταῦτά τε πάσχει· [429] καί, ἤν τις ἀναστῆσαι θέλῃ αὐτόν, οὐ δύναται ὀρθοῦσθαι, οὐδὲ τοῖσιν ὀφθαλμοῖσιν ἀνορῆν δύναται ὑπὸ τοῦ καύματος· [430] καί, ἤν τις αὐτὸν ἐρωτᾷ, ὑπὸ τοῦ πόνου οὐ δύναται ἀποκρίνασθαι. Ὁκόταν δὲ μέλλῃ [431] ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ, καὶ φθέγγεται θαρσαλέως· καὶ πιέειν καὶ φαγέειν αἰτέει· [432] καί, ἢν δῷ τις, καὶ φάγῃ, ἐν τάχει ἀφῆκε τὴν ψυχήν, ἢν μὴ ἀπεμέσῃ. Τούτῳ ἡ νοῦσος [433] κρίνεται ἐν ἑπτὰ ἡμέρῃσιν [434] ἢ τεσσαρεσκαίδεκα· πολλοὶ δὲ διαφεύγουσι καὶ ἐς τὰς τέσσαρας καὶ εἴκοσιν· ἢν οὖν ταύτας ἐκφύγῃ, ὑγιὴς ἔσται· ἐν γὰρ ταύτῃσι τῇσιν ἡμέρῃσι [435] διαδηλοῖ, εἰ θανάσιμος, ἢ οὔ. Τοῦτον, ὁκόταν οὕτως ἔχῃ, ὧδε ἰῆσθαι. Ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων, λουτροῦ μὲν ἀπέχεσθαι· ἀλείφειν δὲ οἴνῳ καὶ ἐλαίῳ [436] χλιαίνων ἐς κοίτην· καὶ σιτίων ἀπέχεσθαι· ῥοφήματα δὲ λεπτὰ καὶ ψυχρὰ διδόναι. Οἶνον δὲ πινέτω μέλανα, αὐστηρόν, [437] ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μή, λευκόν, ὑδαρέα, αὐστηρόν· ἢν δὲ δίψα ἰσχυρὴ πιέζῃ [438] τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν, κέλευε ἐξεμέειν, [439] ταῦτα δὶς ἢ τρὶς ποιήσας. Καί, ὁκόταν τὸ καῦμα ἔχῃ, ῥάκια βάπτων ὕδατι ψυχρῷ, προστιθέναι, ᾗ ἂν μάλιστα φῇ καίεσθαι· [440] ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα, ἀνιέναι τὰ ψύγματα. [441] Οὗτος, ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης, αἴφνης κινδυνεύσει [442] καταλιπὼν τὴν ψυχήν· [443] ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς τὰ αὐτά, ἃ καὶ τῷ ὑπὸ τῆς πλευρίτιδος ἐχομένῳ. Ὁκόταν δὲ ἐξαναστῇ, ἀνακομίζειν σιτίῳ, καὶ ποτῷ, καὶ λουτροῖσιν ὡς τάχιστα· ἡ γὰρ νοῦσος χαλεπή, καὶ παῦροι [444] διαφεύγουσιν.

Statim igitur eum febres vehementes corripiunt, & acutus ardor, & a gravitate imbecillitas, crurumque ac manuum impotentia, quæ nullum ei usum præstant; venter perturbatur, & quæ dejiciuntur, graviter olent, vehementiaque tormina succedunt. His etiam afficitur; siquis eum erigere velit, rectus stare nequit, neque oculis intueri præ ardore; &, siquis ipsum interroget, præ dolore respondere non potest. Quum vero interiturus est, tum acutius cernit, tum audacter loquitur; & potum & cibum postulat; &, si quis cibum exhibuerit, brevi etiam, nisi evomuerit, animam emittit. Huic morbus septem aut quatuordecim diebus judicatur: multi vero etiam ad viginti quatuor perveniunt: hos igitur, si effugerit, convalescet; his enim diebus, lethalis sit, necne, declaratur. Hunc ita se habentem ita curato. Primis diebus balneo quidem abstineat; vino autem & oleo tepido in cubili illinito: cibis abstineat; sorbitiones autem tenues & frigidas exhibeto. Vi-
112 num autem, si ipsi conferat, nigrum, austerum bibat; sin minus, album, aquosum, austerum: quod si vehemens sitis ex ardore urgeat, ubi confertim potum multum exhibueris, vomere jubeto, idque bis aut ter facito. Quumque ardor tenuerit, attrita lintea frigidæ immersa, qua præcipue parte ardere se dixerit, admoveto: at si horror corpus detinuerit, refrigerantia remittito. Hic, quum laboraverit, maxime periclitabitur, ne ex hujusmodi dolore derepente animam emittat: verum ei ad dolorem eadem medicamenta, quæ pleuritide laboranti, studiose exhibenda sunt. Quum vero surrexerit, cibo, potu, & balneis quam citissime recreandus est: morbus enim gravis est, paucique
113 evadunt.

VARIÆ LECTIONES.

428 καὶ ὑπὸ τοῦ βάρεος MS. cod. qui paulo post scribit καὶ ἐκ τῶν χειρῶν ἄχρειος γίνεται μάλιστα· καὶ ἡ γαστὴρ.

429 καὶ ἢν τις οὐ δύναται ἀνορθοῦσθαι MS. cod. omissis ἀναστῆσαι θέλῃ αὐτόν.

430 MS. cod. scribit καὶ ἢν τις αὐτὸν ἐρωτᾷ τι, ὑπὸ τοῦ πόνου ἀκούων οὐ δύναται ἀποκρίνεσθαι.

431 ἀποθανεῖσθαι, ὀξύ τε ὁρᾷ MS. cod. pro vulgatis ἀποθνήσκειν, ὀξύτερά τε ὁρῇ.

432 MS. cod. καί, ἢν δοῖ τις, καὶ φάγῃ, ἐν τάχει ἀφῆκε τὴν ψυχήν· ἢν μὴ ἀπεμέσῃ MS. cod. quem secuti sumus, pro vulgatis καί, ἢν δῷ τις καταφαγεῖν, ἐν τάχει μεθῆ, καὶ τὴν ψυχήν· ἢν μὴ ἐξεμέσῃ.

433 αὕτη κρίνεται, in MS. cod. deest αὕτη, hic, & nos delevimus.

434 ἢ τεσσαρεσκαίδεκα· πολλοὶ δὲ διαφεύγουσι καὶ ἐς τὰς τέσσαρας καὶ εἴκοσιν· ἢν οὖν ταύτας ἐκφύγῃ ὑγιὴς ἔσται· ἐν γὰρ ταύτῃσι MS. cod. quem secuti sumus, pro vulgatis ἢ δεκατέσσαρσι· πολλοὶ δὲ διατρέχουσι ἐς τὰς εἰκοσιτέσσαρας· ἢν γοῦν ταύτας διέλθῃ, ὑγιὴς ἔσται· καὶ γὰρ ἐν ταύτῃσι τ. ἡ.

435 Sic MS. cod. Imp. Samb. quæ lectio Lindeno probatur ex Fevr. pro δηλοῦται vulgato.

436 χλιήνας ἐς κοίτην MS. cod. habet, pro χλιαίνων κ. τ. λ.

437 MS. cod. ἢν ξυμφέρῃ· ἢν δὲ μή, λευκὸν αὐστηρὸν ὑδαρέστερον, pro vulgatis ἢν ξυμφέρῃ αὐτῷ· ἢν δὲ μή, λευκόν, ὑδαρόν, αὐστηρόν; sed pro ὑδαρόν, Imper. Sambuc. ὑδαρέα scribit, quam lectionem ex Fevr. adhibuit Lindenus.

438 τοῦ ὕδατος ἀθρόον διδοὺς πίνειν MS. cod. habet, pro vulgatis τοῦ καύματος, ἀθρόον διδοὺς πίνειν.

439 MS. cod. legit ταῦτα δὶς ἢ τρὶς ἐφεξῆς ποιήσαι.

440 ἢν δὲ φρίκην ἔχῃ τὸ σῶμα vulgata exemplaria MS. cod. autem scribit: ἢν δὲ φρίξῃ τὸ σῶμα.

441 οὗτος ὁκόταν μάλιστα πονέῃ ὑπὸ τῆς ὀδύνης, κινδυνεύσει τότε ἀφεῖναι τὴν ψυχήν MS. cod. scribit. Vulgati autem codd. οὗτος ὁκόταν πονῇ, μάλιστα ἀπὸ τῆς τοιαύτης ὀδύνης αἴφνης κινδυνεύσει.

442 Pro καταλιπών, MS. Reg. καταλιπεῖν. Fevr. vero ἀφιέναι, quæ lectio in Imp. Samb. etiam adscribitur.

443 ἀλλὰ διδόναι αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα κατὰ ταῦτα, ἃ καὶ τῷ κ. τ. λ. MS. cod. legit, pro vulgatis ἀλλὰ διδόναι χρὴ αὐτῷ τῆς ὀδύνης τὰ φάρμακα μετὰ σπουδῆς τὰ αὐτά, ἃ καὶ τῷ κ. τ. λ.

444 διαφεύγουσι legunt omnia exemplaria; διαφυγγάνουσι Imp. Samb. MS. Reg. & Lindenus ex Fevr. MS. cod. ἐκφυγγάνουσι.

CAPUT XLII.

De typho ſecundo, a ſuperflua corporis humiditate, ejusque cauſis, ſignis, & curatione.

ALius typhus. Morbus quidem omni anni tempeſtate invadit: ob corporis autem humiditatem oritur, quum cibos humidos & copioſum potum carnes exſorbuerint, & madidæ factæ ſint; ab his potiſſimum morbus generatur. Per exordia igitur febris tertiana aut quartana exoriri incipit; dolor vehemens capiti inſidet, & interdum in corpore, ſed intermittit; & ſalivam evomit, crebro ructat, & oculorum regiones dolet; vultus (ut apua) exalbeſcit, ad pedes tumor delabitur, interdum vero etiam totum corpus tumet; & ad pectus & dorſum aliquando dolor excurrit; venter turbatur; oculis acriter intuetur; ſputum copioſum & ſpumoſum expuit, quod faucibus adhæreſcere videtur, ipſasque exaſperat, plerumque vero etiam fauces inflammantur. Hic, quum ſic habuerit, ſicque dolor preſſerit, eique vehemens erectæ cervicis ſpiratio inciderit; interdum, frequenterque, derepente intra ſeptem aut quatuordecim dies præ dolore animam emittit: plerique vero etiam ad vigeſimum quartum perdurant. Sæpe quoque derepente morbus remittit, & ſanus eſſe videtur: verum diligenter cavere oportet, quoad quatuor & viginti dies præterierint; hos enim ſi effugerit, vix moritur. Huic, quum ita habuerit, primis diebus ſorbitio, farina elixa, tenui melle affuſo, exhibenda eſt: vinum vero nigrum paulatim potui dandum, prout voluerit, temperatum. At cibos, priusquam hi dies præterierint, ne porrigito: polypos ex vino coctos edendos dato; & jus ſorbendum; radiculasque multas comedendas. Et naſturtii ſemen toſtum, molitum, & tenuiter cribratum; deinde in vinum nigrum, auſterum injiciens cum tenui, modica polenta mane bibendum dato. Balneo abſtineat, quoad hi dies præterierint: vino & oleo tepefactis, in cubili illine,

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Περὶ τοῦ δευτέρου τύφου τοῦ δι' ὑγρασίην τοῦ σώματος γινομένου, καὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

ἌΛλος τύφος. Ἐπιλαμβάνει μὲν τὸ νούσημα πᾶσαν ὥρην· γίνεται δὲ δι' ὑγρασίην τοῦ σώματος, ὁκόταν τὰ σιτία ὑγρὰ ἐόντα, καὶ τὸ ποτὸν πουλὺ αἱ σάρκες ἀναπίωσι, καὶ πλαδαραὶ γίνωνται· ἀπὸ τούτων τὸ νούσημα γίνεται μάλιστα. Ἄρχεται οὖν ὁ πυρετὸς τριταῖος ἢ τεταρταῖος κατ' ἀρχὰς γινόμενος, καὶ πόνος ἰσχυρὸς [445] ἐν τῇ κεφαλῇ ἐνίσταται, ἐνίοτε δὲ καὶ ἐν τῷ σώματι [446] διαλείπων· καὶ ἐμέει σίαλον,
114 καὶ ἐρεύγεται πυκνὰ, καὶ ἀλγέει τὰς [447] χώρας
115 τῶν ὀφθαλμῶν· καὶ τὸ πρόσωπον [448] ἀφύει, καὶ ἐς τοὺς πόδας οἴδημα κατέρχεται, ἐνίοτε δὲ καὶ ὅλον τὸ σῶμα ἀποιδέει· καὶ ἐς τὰ στήθεα, [449] καὶ ἐς τὸ μετάφρενον ἐνίοτε ἡ ὀδύνη τρέχει· καὶ ἡ
116 γαστὴρ τετάρακται· καὶ τοῖσιν ὀφθαλμοῖσιν [450] ἐσορᾷ ἰσχυρῶς· καὶ τὸ σίαλον ἀποπτύει πολλὸν καὶ ἀφρῶδες, καὶ ἐν τῇ φάρυγγι [451] δο-
117 κέει ἐνέχεσθαι, καὶ κέρχνει αὐτόν· πολλά-
118 κις δὲ καὶ φλεγμαίνει ὁ φάρυγξ. Οὗτος, ὁκόταν οὕτως ἔχῃ, καὶ οὗτος ὁ πόνος πιέζῃ, καὶ ὀρθόπνοιη ἰσχυρὴ ἐμπίπτῃ· [452] ἔστιν ὅτε καὶ πολλάκις ἐξαπίνης ἀπὸ τοῦ πόνου τὴν ψυχὴν ἀφῆκεν ἐν ἑπτὰ ἡμέρῃσιν, ἢ ἐν δεκατέσσαρσι· πολλοὶ δὲ διαφέρουσι [453] καὶ ἕως τῶν εἰκοσιτεσσάρων ἡμερέων. Πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε, καὶ δοκέει ὑγιὴς εἶναι· ἀλλὰ φυλάσσεσθαι χρὴ, [454] ἄχρις ἂν αἱ τέσσαρες καὶ εἴκοσιν ἡμέραι παρέλθωσιν· ἢν γὰρ ταύτας διαφύγῃ, οὐ μάλα θνήσκει. Τούτῳ, ὁκόταν ὧδε ἔχῃ, ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων [455] χρὴ ῥοφήματα διδόναι, ἄλητον κάθεφθον, λεπτὸν μέλι παραχέων· πίνειν δὲ διδόναι μέλανα οἶνον κατ' ὀλίγον, ὅκως ἂν βούληται κεκρημένον. [456] Σιτία δὲ μὴ προσφέρειν, πρὶν ἂν αἱ ἡμέραι παρέλθωσι· πουλύποδας δὲ ἐν οἴνῳ ἑφθοὺς διδόναι ἐσθίειν· καὶ τὸν ζωμὸν ῥοφάνειν· καὶ ῥαφανίδας τρώγειν πολλάς. Καὶ καρδάμου καρπὸν φώσας, ἀλέσαι καὶ σῆσαι λεπτά· [457] ἔπειτα ἐπ' οἶνον ἐπιβαλὼν μέλανα στρυφνὸν, καὶ ἄλφιτα λεπτὰ ὀλίγα διδόναι πίνειν ἕωθεν. Λουτροῦ δὲ 207
ἀπεχέσθω, μέχρις ἂν αἱ ἡμέραι παρέλθωσιν· οἴνῳ δὲ καὶ ἐλαίῳ χλιήνας, ἀλείφειν ἐς κοίτην, καὶ

VARIÆ LECTIONES.

445 MS. cod. habet: ἐν τῇ κεφαλῇ ἐνέστηκεν.

446 καὶ διαλείπει· καὶ ἐμέει σίαλα MS. cod. pro vulgatis διαλείπων, καὶ ἐμέει σίαλον.

447 Sic quidem legunt omnia exemplaria. Calvus vero κόρας, *pupillas*, legiſſe videtur.

448 Hunc locum exponens Erotianus τὸ χρῶμα ἀφυῶδες, λευκοπέλιον, *album & lividum* explicat ἀπὸ τῆς ἀφύης τοῦ ἰχθυδίου ὀνομασμένον *a piſciculo Aphya ſive Apua dictum.* Galenus vero in Exegeſi ἀφύει exponit ἀπολευκαίνεται καὶ ὥσπερ ἀφύης τὸ χρῶμα ἔχει, *exalbeſcit, ac velut apua colorem habet.*

449 καὶ ἐς τὸ μετάφρενον ἡ ὀδύνη ἔχει· ἐνίοτε δὲ καὶ ἡ γαστὴρ MS. cod. ſcribit.

450 ἐξορέωσι ἰσχυρῶς vulgati codd. Lindenus autem ἐξορῶσι ἰσχυρῶς. In MS. cod. melius ἐσορᾷ ſcribitur, id quod ſequimur.

451 In MS. cod. ſic legitur: δοκέει τι ἐνέχεσθαι, καὶ κέρχνειν αὐτὴν τοῦτο· ὁκόταν οὕτως ἔχῃ, ὁ πόνος πιέζῃ.

452 ἔστι δ' ὅτε καὶ ὀρθοπνοίη ἰσχυρὴ ἐπιπίπτει καὶ πολλάκις MS. cod. Imp. Samb.

453 καὶ ἐς τὰς εἴκοσι τέσσαρας· πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀφῆκε MS. cod. ſcribit, pro vulgatis: καὶ ἕως τῶν εἴκοσι τεσσάρων ἡμερέων· πολλάκις δὲ καὶ ἐξαπίνης ἡ νοῦσος ἀνῆκε.

454 ἕως ἂν τέσσαρες MS. cod. pro ἄχρις ἂν αἱ τέσσαρες.

455 χρὴ ante ῥοφήματα omittitur, & dicitur ῥόφημα διδόναι ἄλευρον.

456 σιτία δὲ μὴ προσφερέσθω MS. cod.

457 Sic MS. cod. quod multo melius eſt vulgatis: εἶτα πινέτω οἶνον μέλανα, ἐπιβαλὼν στρυφνόν.

" καὶ [458] ἐκμάσσειν καὶ γλυκυσίδης καρποῦ δέκα κόκκους ἑψῶν ἐν οἴνῳ μέλανι, διδόναι πίνειν· καὶ γογγυλίδας διέφθους ποιέων, [459] ῥοφανέτω τοῦ χυλοῦ, ἀρτύσας τυρῷ ἀνάλτῳ, καὶ μήκωνι, καὶ ἁλὶ, καὶ ἐλαίῳ, καὶ σιλφίῳ, καὶ ὄξει. Ἢν δὲ καὶ φάρμακον βούλῃ πίσαι, [460] τοῦ κνιδίου κόκκου πίσαι· καὶ μετὰ τὴν κάθαρσιν, ἀλεύρου ἑφθοῦ, καὶ λιπαροῦ δοῦναι " δύο τρυβλία ἐκροφέειν· οἶνον δὲ πινέτω τὸν αὐτόν. [461] Τούτῳ τῶν φαρμάκων, καὶ ῥοφημάτων, [462] καὶ ποτῶν ὅ, τι ἂν διδῷς, ὀνήσειεν, ἤν τε κατὰ ἓν, [463] ἤν τε κατὰ πλείω προσφέρῃς· καὶ οὕτω τάχιστα ὑγιέα ποιήσεις. Ἡ δὲ νοῦσος χαλεπὴ, [464] καὶ παῦροι διαφυγγάνουσιν.

119 & absterge: ac pæoniæ seminis grana decem ex vino nigro decocta potui exhibeto: & raporum probe decoctorum jusculum sorbeat, caseo insulso conditum, papavere, sale, oleo, silphio, & aceto. Quod si medicamentum propinare velis, granum Cnidium propinato; & post purgationem, farinæ coctæ, & pinguis duas
120 heminas sorbendas dato, idemque vinum bibat. Huic medicamenta, sorbitiones, & potiones, quascunque dederis, sive singula per se, sive plura simul exhibueris, profuerint; sicque citissime sanum reddideris. Morbus autem gravis est, paucique effugiunt.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Περὶ τοῦ τρίτου τύφου τοῦ ἀπὸ χολῆς σαπείσης καὶ τῷ αἵματι ἀναμεμιγμένης, καὶ ἐς τὰς φλέβας καὶ τὰ ἄρθρα κατασηριζομένης, γινομένου, ὅθεν ἡ δυσκινησία· καὶ περὶ τῶν τούτου αἰτίων, καὶ σημείων, καὶ θεραπευτικῶν.

Ἄλλος τύφος. Γίνεται μὲν καὶ οὗτος διὰ τόδε· ὁκόταν ἡ χολὴ σαπεῖσα μιγῇ τῷ αἵματι ἀνὰ τὰς φλέβας καὶ τὰ ἄρθρα, [465] ὁκόταν τὸ αἷμα στῇ· ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι· κατασηρίζεται δὲ ἐνίοτε καὶ εἰς τὸ ἄλλο πᾶν σῶμα, καὶ ὀδύνας παρέχει ὀξείας. [466] Καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου χωλοὶ γίνονται, ὁκόταν ἀπολαμφθεῖσα ἐν τοῖσιν ἄρθροισιν ἡ χολὴ πωρωθῇ· ἡ δὲ ὀδύνη διαλείπουσα ἐπιλαμβάνει, καὶ διὰ τριῶν ἡμερέων, καὶ διὰ τεσσάρων. Τοῦτον, ὁκόταν ὧδε ἔχῃ, μελετῆν οὕτως. [467] Τῆς ὀδύνης ἐπικρατεούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, ἐλαίῳ ὑπαλείψας. Ὁκόταν δὲ ἀνῇ, δοῦναι αὐτῷ ἐλλέβορον, πυριήσας πρόσθεν ἅπαν τὸ σῶμα. Τῇ δὲ ὑστεραίῃ ὀῤῥὸν αἰγὸς ἑψήσας, δοῦναι πιεῖν δύο χοέας, [468] παρὰ τὸν ἕτερον χοέα μέλι παραχέας, παρὰ δὲ τὸν ἕτερον ἅλας παραβαλών· εἶτα κύλικα παρὰ κύλικα [469] παραλλάσσων πινέτω, ἕως ἂν ἐκπίῃ ἅπαν. Ἐς ἑσπέρην δὲ μετὰ τὴν κάθαρσιν, φακῆς τρυβλίον ῥοφεέτω,

CAPUT XLIII.

De tertio typho ex bilis putrefactæ, sanguini permixtæ, in venas & articulos decubitu, orto, unde motionis difficultas; ac de ejus causis, signis, & curatione.

Alius typhus. Hic quidem hanc ob causam gignitur; quum bilis putrefacta sanguini per venas & articulos permixta fuerit, quum sanguis steterit; in articulis autem præcipue consistit; quandoque etiam in reliquum corpus universum decumbit, doloresque acutos exhibet. Plerique etiam ex hujusmodi morbo claudi evadunt, quum bilis in articulis intercepta in tofum obduruerit; dolor vero intermittens per tres & quatuor dies invadit. Hunc, quum ita affectus fuerit, sic curato. Dolore in corpore exuperante, fotus tepentes, oleo prius illito, parare & admovere oportet. Quum autem remiserit, veratrum ipsi exhibeto, fotu prius universo corpori admoto. Postero autem die serum lactis caprini decoctum ad duos congios potui exhibeto, ad alterum congium melle affuso, ad alterum vero sale injecto; deinde vicissim alternatis poculis bibat, donec totum ebibat. Sub vesperum vero post purgationem, lenticulæ heminam sorbeat, &

VARIÆ LECTIONES.

458 ἐκμάσσειν, de hac voce vide Foësii Oecon. voce ἐκμάττειν.
459 ῥοφανέτω τοῦ χυλοῦ omnia publicata exemplaria legunt: verum pro τοῦ χυλοῦ, Imp. Samb. τοῦ χυμοῦ eodem significatu, sed in MS. cod. τοῦ χυλοῦ deest.
460 τοῦ κνιδίου κόκκου Imp. Samb. deleto πίσαι. Paulo post τρία τρυβλία Calvus legisse videtur.
461 Sic MS. cod. scribit relate ad ægrum, pro καὶ τῶν φαρμάκων.
462 καὶ ποτῶν ὅ, τι ἂν διδοῖς, ὀνήσεις MS. cod. & Imp. Samb. pro vulgatis καὶ ποτῶν ὅ, τι ἂν διδῷς, ὀνήσειεν.
463 ἤν τε καὶ πλείω προσφέρῃς· καὶ τάχιστα in MS. cod. scribitur, pro ἤν τε καὶ πλείω προσφέρῃς· καὶ οὕτω τάχιστα.
464 καὶ παῦροι ἐκφυγγάνουσιν MS. cod.
465 Pro ὁκόταν τὸ αἷμα στῇ· ἐνίσταται δὲ μάλιστα ἐν τοῖσιν ἄρθροισι· κατασηρίζεται δὲ ἐνίοτε καὶ εἰς τὸ ἄλλο πᾶν σῶμα. In MS. cod. scribitur: καὶ ὁκόταν στῇ, οἴδημα ἀνίσχει· μάλιστα μὲν ἐν τοῖσιν ἄρθροισι, καὶ κατασηρίζει ἐνίοτε δὲ καὶ ἐς τὸ ἄλλο σῶμα, & quum constiterit, tumor exoritur, maxime in articulis, & aliquando in reliquum corpus incumbit.
466 καὶ οἱ πολλοὶ ἐκ ταύτης τῆς νούσου MS. cod. pro καὶ οἱ πολλοὶ ἐκ τῆς τοιαύτης νούσου.
467 Pro τῆς ὀδύνης ἐπικρατεούσης ἐν τῷ σώματι, χλιάσματα χρὴ ποιέειν καὶ προστιθέναι, in MS. cod. scribitur: ὁκόταν μὲν ἡ ὀδύνη ἔχῃ ἐν τῷ σώματι χλιάσματα προστιθέναι, hoc est: quum quidem dolor in corpore fuerit, fotus admovere convenit.
468 παρὰ τὸν ἕτερον χοέα μέλι παραχέας vulgati codd. MS. cod. autem μέλι παραχέας παρὰ τὸν ἕτερον χοέα scribit.
469 Pro παραλλάσσων; in MS. cod. scribitur ἐναλλάσσων, permutatis, scilicet poculis.

& betarum pinguium heminam, polenta aspersa, bibat: pulli gallinacei carnem, aut columbæ, aut turturis, aut oviculæ, aut suis, pinguem edat: veratrum autem sexto quoque die exhibeto. Et sicubi in articulis tumor exoriatur, nec abscedere queat, admota cucurbitula sanguinem detrahito, compunctis ferri cuspide triangulari vicinis genu partibus, & genibus, in quibus tumor extiterit; nullum tamen alium articulum compungas. Intermediis autem diebus cibum sumat, panem quidem maxime assatum, mazam autem quam maxime melle & oleo subactam: sed opsonium habeat potissimum volucrem assatam nullo sale conditam; sin minus, etiam cum jure coctam, absque caseo tamen, sesamo, & sale. At piscibus utatur maxime carnosis, assis tamen, ad eundem modum, quo carnes, coctis, origano consperso & oleo subunctis. Vinum autem si conferat, album bibat; sin secus, nigrum; & per circuitus interdiu post cœnam & mane se exerceat: serum autem & lac pro tempore semper bibat: quod si tibi visum fuerit, etiam asininum lac decoctum exhibeto. Et, si sanus evaserit, a frigore & æstu sibi caveat, neque cibis admodum repleatur; periculum enim est, ne rursus morbus revertatur. Sic igitur curatus hic morbus, sex mensibus sanatur: tot enim mensium intervallo, lethalis sit, necne, judicatur; qui etiamsi confestim curetur, molestus tamen est, & plerisque commoritur.

[470] καὶ τεύτλων τρυβλίον λιπαρῶν, ἄλφιτα παραπάσσας, [471] ἐκπιέτω· καὶ νεοσσοῦ ἀλεκτορίδος κρέας, ἢ πελειάδος, ἢ τρυγόνος, ἢ ὄϊος; [472] ἢ ὑὸς πίονος τρωγέτω· τὸν δὲ ἐλλέβορον δι' ἕκτης ἡμέρης διδόναι. Καὶ, ἤν κου τῶν ἄρθρων ἀποιδίσκηται, καὶ μὴ θέλῃ ἀφίσασθαι, σικύην προσβαλὼν, ἀφαιρέειν τοῦ αἵματος, κατακεντῶν ἀκίδι τριγώνῳ ἐς τὰ γούνατα, καὶ ἐν τοῖσι γούνασιν, ἐν οἷσι τὸ οἴδημα· τῶν δὲ ἄλλων ἄρθρων μηδὲν κεντριώσῃς. Τὰς δὲ μεταξὺ τῶν ἡμερέων, σιτίον προ-
121 σφερέσθω, ἄρτον μὲν ὡς ὀπτότατον, [473] μᾶζαν δὲ ψαιστὴν ὡς μάλιστα· [474] ὄψον δὲ ἐχέτω μάλιστα μὲν ὄρνιθα ὀπτὴν ἄναλτον· εἰ δὲ μὴ, [475] καὶ ἑφθὴν ἐζωμευμένην, πλὴν ἄνευ τυροῦ, καὶ σησάμου, καὶ ἁλός. Ἰχθύσι δὲ χρεέσθω τοῖσι σαρκώδεστάτοισιν, [476] ὀπτοῖσι δὲ,
122 τὸν ἴσον τρόπον τοῖσι κρέασιν ἑψῶν αὐτὰ, δι' ὀριγάνου πασὰ, καὶ ἐλαίῳ ὑποχρίσας. Οἶνον δὲ πινέτω λευκὸν, ἢν ξυμφέρῃ· [477] ἢν δὲ μὴ, μέλανα· καὶ ἐν περιόδοισι ταλαιπωρεέτω δι' ἡμέρης, καὶ μετὰ τὸ δεῖπνον, καὶ ὄρθριος· ὀῤῥὸν δὲ καὶ γάλα τὴν ὥρην πινέτω αἰεί· ἤν δέ σοι δοκέῃ, [478] καὶ ὄνειον γάλα διδόναι ἀφεψήσας. Καὶ, ἢν ὑγιὴς γένηται, ἐν φυλακῇ αὐτὸν εἶναι τοῦ ψύχεος, καὶ τοῦ πνίγεος, καὶ τῶν σιτίων μὴ λίην ἐμπιπλάσθω· κίνδυνος γὰρ αὖθις ὑποτροπιάσαι τὴν νοῦσον. [479] Αὕτη τοιγαροῦν ἡ νοῦσος, οὕτω θεραπευομένη, ἐν ἓξ μησὶν ὑγιὴς γίνεται· [480] ἐν γὰρ τῶν τοσούτων μηνῶν τῷ διαστήματι κρίνεται, ἤν τε θανάσιμος, ἤν τε μή· ἢν καὶ παραχρῆμα θεραπεύηται, πλὴν ἡ νοῦσος χαλεπὴ, καὶ τοῖσι πλείστοισι συναποθνήσκει.

CAPUT XLIV.

De quarto typho ex superflua humiditate a fructuum aut placentæ esu genita, facto, ejusque signis, prognosticis, & curatione.

ALius typhus. Oritur quidem hic morbus fructuum autumnalium tempore, quum quis se omni genere fructuum expleverit: plerisque vero inde etiam ejusmodi

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Περὶ τοῦ τετάρτου τύφου τοῦ ἀπὸ πλάδου ἐξ ὀπώρας ἢ πλακοῦντος βρώσεως, πεποιημένου, καὶ τῶν αὐτοῦ σημείων, καὶ προγνωστικῶν, καὶ θεραπευτικῶν.

ΑΛλος τύφος. [481] Γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης καιρῷ, ὁκόταν τὶς πλησθῇ παντοίης ὀπώρης· τοῖσι δὲ πολλοῖσι [482] καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιά-

VARIÆ LECTIONES.

470 καὶ τεύτλων τρυβλίον λιπαρῶν omnia exemplaria; in MS. cod. τρυβλίον deest.

471 Pro ἐκπιέτω, in MS. cod. legitur ἐκφαγέτω, *comedat:* quæ lectio non est contemnenda.

472 ἢ ὑὸς πίονος, scribitur in MS. cod. quod melius videtur & nos secuti sumus, pro ἢ ὑὸς πῖον.

473 ψαιστὴν μᾶζαν exponit Galen. in Exegesi, τὴν μέλιτι καὶ ἐλαίῳ πεφυραμένην, *mazam oleo & melle subactam*, videsis Foësii Oeconom. voce ψαιστή.

474 ὄψον δ' ἐχέτω μάλιστα μὲν ὄρνιθα ὀπτὴν ἄναλτον, MS. cod. habet pro ὄψα δὲ ἐχέτω ὡς μάλιστα μὲν ὀπτὰ, ὀρνίθεια δὲ ἄναλτα vulgatis.

475 καὶ ἑφθὴν ἐζωμευμένην ἄνευ τυροῦ MS. cod. pro vulgatis: καὶ ἑφθὰ, ἐζωμευμένα, πλὴν ἄνευ τυροῦ.

476 ὀπτοῖσι δὲ, τὸν αὐτὸν τρόπον τοῖσι κρέασιν, ἑψῶν αὐτὰ δι' ὀριγάνου πασοῦ, καὶ ἐλαίῳ ὑποχρίσας MS. cod. quæ lectio Lindeno probatur. Vulgati codd. ὀπτοῖσι δὲ τὸν ἴσον τρόπον τοῖς κρέασιν ἑψῶν, δι' ὀριγάνου πασὰ, ἐλαίῳ αὐτὰ ὑποχρίσας. Imp. Cornar. ibidem καὶ ante ἑψῶν addit, *& coctis*, vertit.

477 ἢν δ' οὐ ξυμφέρῃ, μέλανα omnia exemplaria habent. Lindenus ἢν δὲ μὴ ξυμφέρῃ, μέλανα. Quam Lind. lectionem præ se fert MS. cod. omisso ξυμφέρῃ, hoc sensu, *quod si non, nigrum* scilicet vinum bibat, quæ lectio placet.

478 καὶ ὄνειον γάλα, in MS. cod. omittitur γάλα. Paulo post αὐτὸν ἔχειν τοῦ ψύχεος, καὶ τοῦ πνίγεος, καὶ τῶν σιτίων μὴ λίην πιμπλάσθω eodem significatu effert MS. cod.

479 αὕτη τοιγαροῦν ἡ νοῦσος omnia exemplaria scribunt, in MS. autem cod. τοιγαροῦν *itaque* non legitur.

480 οὗτοι γὰρ κρίνουσιν, εἰ θανάσιμος, ἢ οὔ, ἢν παραχρῆμα θεραπεύηται· ἡ γὰρ νοῦσος χαλεπὴ multo concinnius habet MS. cod.

481 Γίνεται μὲν τὸ νούσημα ἐν ὀπώρης καιρῷ μάλιστα Imp. Samb. quam lectionem secutus est Linden. ex Fevr. MS. cod. vero γίνεται μὲν τὸ νούσημα ὀπώρης, cæteris omissis.

482 καὶ ἀπὸ τῶνδε ἐγένετο ἡ τοιαύτη νοῦσος scribit Lindenus. MS. cod. vero δὲ καὶ ἀπὸ τῶνδε ἐγένετο τὸ νούσημα· deinde dicitur: φάγουσι πλακοῦντα καὶ σησάμην, pro φάγοντες πλακοῦντα καὶ σησάμης vulgatis. Paulo post μέλι τὸ ἑφθὸν, Martinus μέλι τὸ ὀπτὸν legit; nam (inquit) in sesamide mel est πεφρυγμένον, & Aristot. Lib. IV. cap. 5. μελιτώματα, quæ ficta sunt, ad assa referuntur.

τοιάδε νοῦσος· Φάγουσι πλακοῦντος, καὶ
σησάμης, καὶ τῶν ἄλλων μελιτωθέντων ἀ-
πλείως. Τὸ γὰρ μέλι τὸ ἑφθὸν, καυματῶ-
δές ἐστι, [483] καὶ προσπλάσσεται τῇ κοιλίῃ· ἔ-
πειτα, ὁκόταν κατεψηθῇ ἐν τῇ κοιλίῃ, [484] ἀ-
ναζέεται· καὶ ἐξαπίνης ἡ γαστὴρ ἀείρεται, καὶ
πίμπραται, καὶ δοκέει διαῤῥήσσεσθαι. Ἔπειτα
δὲ ἐξαπίνης διάῤῥοια ἐπεγένετο· καὶ, ὁκόταν
ἅπαξ ἄρξηται χωρέειν, πολλὰς ἡμέρας κα-
θαίρεται, καὶ πολλοὶ μετὰ ταύτην τὴν κά-
θαρσιν ὑγιέες ἐγένοντο. Ὁκόταν οὖν παύση-
ται αὐτόματος καθαιρόμενος, φακῶν χυμοῦ
ἀναγκάσαι αὐτὸν ἐκπιεῖν τρία ἡμίχοα, ἅ-
λας παραβάλλων· μετὰ δὲ τὴν κάθαρσιν τοῦ
χυμοῦ, ἐς ἑσπέρην φακῆς τρυβλίον ῥοφεέ-
τω ψυχρῆς ἀνάλτου ([485] σίλφιον δὲ ἐπι- 123
ζεέσθω πουλὺ) καὶ τεύτλου τρυβλίον ἀνηδύν-
του, λιπαροῦ, ἄλφιτα παραπάσσων. Οἶνον
δὲ πινέτω μέλανα, αὐστηρὸν, κατ' ὀλίγον.
[486] Τὸ δὲ λοιπὸν τοῦ χρόνου, τὰ αὐτὰ ποιεέ-
τω, καὶ σιτία προσφερέσθω, ἄρτον ἑξόπτον,
μάζαν τε ψαιστὴν ὡς μάλιστα. Τὰς δὲ πρώτας
τῶν ἡμερέων, ἄλευρον φαγέτω κάθεφθον,
ἀποψύχων, καὶ μέλι παραχέων· οἶνον δὲ πι-
νέτω μέλανα, [487] αὐστηρόν· ἕως ἂν καταστῇ
ἡ νοῦσος, ταῦτα προσφερέσθω. Ὁ δὲ ὑπὸ
τῆς ὀπώρης ληφθεὶς τῇ νούσῳ, φῦσαν παρέ-
χει, καὶ στρόφον, καὶ ὀδύνην· καὶ τὰ σιτία
οὐκ ἐθέλει διαχωρέειν, καὶ ἡ γαστὴρ μεγάλη
καὶ σκληρὴ αὐτῷ ἐστι, καὶ ῥίγος, καὶ πυρε-
τὸς ἔχει. Τούτῳ, ἢν μὲν αὐτομάτη ταρα-
208 χθῇ ἡ κοιλίη, ἐν εἴκοσιν ἡμέρῃσι τὸ ἐλά-
χιστον καθαίρεται, καὶ, ὁκόταν παύσηται
καθαιρόμενος, [488] ὑγιὴς παραχρῆμα ἔσται.
Ἢν δὲ μὴ καθαρθῇ, καθαίρειν αὐτὸν τῷ τοῦ
ἱπποφέω ὀπῷ, ἢ τῷ κνιδίῳ κόκκῳ· ἐς ἑσπέ-
ρην δὲ ταῦτα διδόναι, [489] ἃ καὶ τῷ αὐτο- 124
μάτῳ καθαιρομένῳ. Τῇ δ' ὑστεραίῃ, ἢν μὲν
πυρετὸς ἔχῃ, ἡσυχίην ἐχέτω· διδόναι δὲ αὐ-
τῷ πίνειν τοῦ αὐτοῦ οἴνου, ὡς ἐν ψυχροτάτῳ
ὕδατι· ἢν δὲ μὴ ἔχῃ πυρετὸς, διαιτήσθω
δίαιταν μὴ ὑγρὴν, ἀλλ' ἰσχυροτέρην· καὶ
περιπατεέτω πρὸς τὰ σιτία τεκμαιρόμενος.
Ὑπὸ τουτέου τοῦ νοσήματος, πολλοῖσιν ἤδη
ὕδερος ἐξεγένετο· καὶ, ἢν δοκέῃ σοι κλύζειν,
[490] τοῖσιν αὐτοῖσι κλύσον, οἷσι καὶ τὸν ὑδε-
ριῶντα. Ἢν δὲ βούλῃ, τοῖσδε κλύζειν. Ἐν
μελικρήτου κοτύλῃ ποιὴν θαψίης ἐγκαῦ- 125
σαι· εἶτα οὕτως ἐγκλύσαι. Οὗτος, οὕτω
θεραπευόμενος, τάχιστα ὑγιὴς ἔσται.

